ΕΣτω τρίγωνον τὸ ΑΒΓ, καὶ ἐκβεβλήσθω αὐτοῦ μία πλευρὰ ἡ ΒΓ ἐπὶ τὸ Δ· λέγω ὅτι ἡ ἐκτὸς γωνία, ἡ ὑπὸ ΑΓΔ, μείζων ἐστὶν ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον, τῶν ὑπὸ ΓΒΑ, ΒΑΓ γωνιῶν.

Τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Ε, καὶ ἐπιζευχθεῖσα ἡ ΒΕ ἐκβεβλήσθω ἐπὶ τὸ Ζ, καὶ κείσθω τῇ ΒΕ ἴση ἡ ΕΖ, καὶ ἐπιζεύχθω ἡ ΖΓ, καὶ διήχθω ἡ ΑΓ ἐπὶ τὸ Η.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΓ, ἡ δὲ ΒΕ τῇ ΕΖ, δύο δὴ αἱ ΑΕ, ΕΒ δυσὶ ταῖς ΓΕ, ΕΖ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΑΕΒ γωνίᾳ τῇ ὑπὸ ΖΕΓ ἴση ἐστὶν, κατὰ κορυφὴν γὰρ· βάσις ἄρα ἡ ΑΒ βάσει τῇ ΖΓ ἴση ἐστὶ, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΖΕΓ τριγώνῳ ἐστὶν ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΕ τῇ ὑπὸ ΕΓΖ. μείζων δέ ἐστιν ἡ ὑπὸ ΕΓΔ τῆς ὑπὸ ΕΓΖ· μείζων ἄρα ἡ ὑπὸ ΑΓΔ τῆς ὑπὸ ΒΑΕ. ὁμοίως δὴ, τὴν ΒΓ τετμημένην δίχα, δειχθήσεται καὶ ἡ ὑπὸ ΒΓΗ, τουτέστιν ἡ ὑπὸ ΑΓΔ, μείζων καὶ τῆς ὑπὸ ΑΒΓ.

Παντὸς ἄρα τριγώνου μιᾶς τῶν πλευρῶν ἐκβεβλημένης, ἡ ἐκτὸς γωνία ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον μείζων ἐστίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Παντὸς τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσι, πάντη μεταλαμβανόμεναι.

ΕΣτω τρίγωνον τὸ ΑΒΓ· λέγω ὅτι τοῦ ΑΒΓ τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσι, πάντη μεταλαμβανόμεναι.

Ἐκβεβλήσθω γὰρ ἡ ΒΓ ἐπὶ τὸ Δ.

Καὶ ἐπεὶ τριγώνου τοῦ ΑΒΓ ἐκτός ἐστι γωνία ἡ ὑπὸ ΑΓΔ, μείζων ἐστὶ τῶν ἐντὸς καὶ ἀπεναντίον, τῆς ὑπὸ ΑΒΓ. κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΓΒ τῶν ὑπὸ ΑΒΓ, ΒΓΑ μείζονές εἰσιν. ἀλλ' αἱ ὑπὸ ΑΓΔ, ΑΓΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ΑΒΓ, ΒΓΑ δύο ὀρθῶν ἐλάσσονές εἰσι. ὁμοίως δὲ δείξομεν, ὅτι καὶ αἱ ὑπὸ ΒΑΓ, ΑΓΒ δύο ὀρθῶν ἐλάσσονές εἰσι, καὶ ἔτι αἱ ὑπὸ ΓΑΒ, ΑΒΓ.

PROP. XVI. THEOR.

Omnis trianguli uno latere producto, angulus exterior major eſt utrolibet interiorum & oppoſitorum.

SIT triangulum ABΓ, & producatur latus BΓ uſque ad Δ: dico exteriorem angulum AΓΔ majorem eſſe utrolibet interiorum & oppoſitorum ΓBA, BAΓ.

Secetur [per 10. prop.] AΓ bifariam in E, & ducta recta BE producatur ad Z, & ponatur [per 3. prop.] EZ æqualis rectæ BE, & ducatur recta ZΓ, & producatur AΓ ad H.

Quoniam igitur AE æquatur rectæ EΓ, & BE rectæ EZ, duæque AE, EB æquantur duabus ΓE, EZ, altera alteri, angulus etiam AEB æquatur [per 15. prop.] angulo ZEΓ; eſt enim ad verticem: baſis AB æquatur [per 4. prop.] baſi ZΓ, & triangulum ABE æquatur triangulo ZEΓ, & reliqui anguli reliquis angulis æquantur, alter alteri, quibus æqualia latera ſubtenduntur: eſt igitur angulus BAE æqualis angulo EΓZ. major autem eſt [per 9. ax.] angulus EΓΔ angulo EΓZ: major eſt igitur angulus AΓΔ angulo BAE. eodem modo, ſi BΓ ſecetur bifariam, demonſtrabitur angulum BΓH, id eſt [per 15. prop.] angulum AΓΔ, majorem eſſe angulo ABΓ.

Omnis igitur trianguli uno latere producto, angulus exterior major eſt utrolibet interiorum & oppoſitorum. quod erat demonſtrandum.

PROP. XVII. THEOR.

Omnis trianguli duo anguli ſunt minores duobus rectis, quomodocunque ſumpti.

SIT triangulum ABΓ: dico duos angulos trianguli ABΓ, quomodocunque ſumptos, minores eſſe duobus rectis.

Producatur enim [per 2. poſt.] BΓ ad Δ.



Et quoniam AΓΔ eſt exterior angulus trianguli ABΓ, major eſt [per 16. prop.] interiore & oppoſito ABΓ. addatur communis angulus AΓB: anguli igitur AΓΔ, AΓB ſunt majores angulis ABΓ, BΓA. ſed anguli AΓΔ, AΓB æquantur [per 13. prop.] duobus rectis: anguli igitur ABΓ, BΓA ſunt minores duobus rectis. eodem modo demonſtrabimus angulos BAΓ, AΓB minores eſſe duobus rectis; itemque angulos ΓAB, ABΓ.

Omnis igitur trianguli duo anguli ſunt minores duobus rectis, quomodocunque ſumpti. quod erat demonſtrandum.

Prop. XVIII. Theor.

Omnis trianguli majus latus majorem angulum ſubtendit.

SIT triangulum ABΓ, habens latus AΓ majus latere AB: dico angulum etiam ABΓ majorem eſſe angulo BΓA.

Quoniam enim latus AΓ majus eſt latere AB, ponatur [per 3. prop.] recta AΔ æqualis lateri AB, & ducatur recta BΔ.



Et quoniam AΔB eſt exterior angulus trianguli BΔΓ, major eſt [per 16. prop.] interiore & oppoſito ΔΓB. æqualis autem eſt [per 5. prop.] angulus AΔB angulo ABΔ, quia latus AB æquatur lateri AΔ: ideoque major eſt angulus ABΔ angulo AΓB; angulus igitur ABΓ multo major eſt angulo AΓB.

Omnis igitur trianguli majus latus ſubtendit majorem angulum. quod erat demonſtrandum.

Prop. XIX. Theor.

Omnis trianguli majori angulo majus latus ſubtenditur.

SIT triangulum ABΓ, habens angulum ABΓ majorem angulo BΓA: dico latus AΓ majus eſſe latere AB.

Si enim non ſit majus: latus AΓ, vel eſt æquale lateri AB, vel ipſo minus. æquale autem non eſt latus AΓ lateri AB: nam tum angulus ABΓ æqualis eſſet [per 5. prop.] angulo AΓB. non eſt autem æqualis: nec igitur latus AΓ lateri AB æquale erit. neque tamen minus eſt latus AΓ latere AB: tum enim angulus ABΓ minor eſſet [per 18. prop.] angulo AΓB. at non eſt minor: nec igitur latus AΓ minus erit latere AB. demonſtratum autem eſt non eſſe æquale: majus eſt igitur latus AΓ latere AB.



Omnis igitur trianguli majori angulo majus latus ſubtenditur. quod erat demonſtrandum.

Prop. XX. Theor.

Omnis trianguli duo latera ſunt majora reliquo, quomodocunque ſumpta.

SIT enim triangulum ABΓ: dico trianguli ABΓ duo latera, quomodocunque ſumpta, majora eſſe reliquo; nempe BA, AΓ latere BΓ; & AB, BΓ latere AΓ; & BΓ, ΓA latere AB.

Παντὸς ἄρα τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσι, πάντη μεταλαμβανόμεναι. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιη'.

Παντὸς τριγώνου ἡ μείζων πλευρὰ τὴν μείζονα γωνίαν ὑποτείνει.

Ἔστω τρίγωνον τὸ ΑΒΓ, μείζονα ἔχον τὴν ΑΓ πλευρὰν τῆς ΑΒ· λέγω ὅτι καὶ γωνία ἡ ὑπὸ ΑΒΓ μείζων ἐστὶ τῆς ὑπὸ ΒΓΑ.

Ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ ΑΓ τῆς ΑΒ, κείσθω τῇ ΑΒ ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΒΔ.

Καὶ ἐπεὶ τριγώνου τοῦ ΒΔΓ ἐκτὸς ἐστι γωνία ἡ ὑπὸ ΑΔΒ, μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπεναντίον, τῆς ὑπὸ ΔΓΒ. ἴση δὲ ἡ ὑπὸ ΑΔΒ τῇ ὑπὸ ΑΒΔ, ἐπεὶ καὶ πλευρὰ ἡ ΑΒ τῇ ΑΔ ἐστιν ἴση· μείζων ἄρα καὶ ἡ ὑπὸ ΑΒΔ τῆς ὑπὸ ΑΓΒ· πολλῷ ἄρα ἡ ὑπὸ ΑΒΓ μείζων ἐστὶ τῆς ὑπὸ ΑΓΒ.

Παντὸς ἄρα τριγώνου ἡ μείζων πλευρὰ τὴν μείζονα γωνίαν ὑποτείνει. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Παντὸς τριγώνου ὑπὸ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει.

Ἔστω τρίγωνον τὸ ΑΒΓ, μείζονα ἔχον τὴν ὑπὸ ΑΒΓ γωνίαν τῆς ὑπὸ ΒΓΑ· λέγω ὅτι καὶ πλευρὰ ἡ ΑΓ πλευρᾶς τῆς ΑΒ μείζων ἐστίν.

Εἰ γὰρ μή· ἤτοι ἴση ἐστὶν ἡ ΑΓ τῇ ΑΒ, ἢ ἐλάσσων. ἴση μὲν οὐκ ἔστιν ἡ ΑΓ τῇ ΑΒ· ἴση γὰρ ἂν ἦν καὶ γωνία ἡ ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΑΓΒ. οὐκ ἔστι δέ· οὐκ ἄρα ἴση ἐστὶν ἡ ΑΓ τῇ ΑΒ. οὐδὲ μὴν ἐλάσσων ἐστὶν ἡ ΑΓ τῆς ΑΒ· ἐλάσσων γὰρ ἂν ἦν καὶ γωνία ἡ ὑπὸ ΑΒΓ τῆς ὑπὸ ΑΓΒ. οὐκ ἔστι δέ· οὐκ ἄρα ἐλάσσων ἐστὶν ἡ ΑΓ τῆς ΑΒ. ἐδείχθη δέ, ὅτι οὐδὲ ἴση ἐστί· μείζων ἄρα ἐστὶν ἡ ΑΓ τῆς ΑΒ.

Παντὸς ἄρα τριγώνου ὑπὸ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κ'.

Παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι, πάντη μεταλαμβανόμεναι.

Ἔστω γὰρ τρίγωνον τὸ ΑΒΓ· λέγω ὅτι τοῦ ΑΒΓ τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι, πάντη μεταλαμβανόμεναι, αἱ μὲν ΒΑ, ΑΓ τῆς ΒΓ, αἱ δὲ ΑΒ, ΒΓ τῆς ΑΓ, αἱ δὲ ΒΓ, ΓΑ τῆς ΑΒ.

Διηχθω

Διήχθω γὰρ ἡ ΒΑ ἐπὶ τὸ Δ σημεῖον, καὶ κείσθω τῇ ΓΑ ἴση ἡ ΔΑ, καὶ ἐπεζεύχθω ἡ ΔΓ.

Producatur enim latus BA ad punctum Δ, & [per 3. prop.] ponatur ΔA æqualis rectæ ΓA, & jungatur ΔΓ.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΓ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΔΓ τῇ ὑπὸ ΑΓΔ· ἀλλ' ἡ ὑπὸ ΒΓΔ γωνία τῆς ὑπὸ ΑΓΔ μείζων ἐστὶ· μείζων ἄρα ἡ ὑπὸ ΒΓΔ τῆς ὑπὸ ΑΔΓ. καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ ΔΓΒ, μείζονα ἔχον τὴν ὑπὸ ΒΓΔ γωνίαν τῆς ὑπὸ ΒΔΓ, ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει, ἡ ΔΒ ἄρα τῆς ΒΓ ἐστὶ μείζων. ἴση δὲ ἡ ΔΒ ταῖς ΑΒ, ΑΓ· μείζονες ἄρα αἱ ΒΑ, ΑΓ τῆς ΒΓ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ μὲν ΑΒ, ΒΓ τῆς ΓΑ μείζονές εἰσιν· αἱ δὲ ΒΓ, ΓΑ τῆς ΑΒ.

Quoniam igitur ΔA æqualis est rectæ AΓ, erit etiam [per 5. prop.] angulus AΔΓ æqualis angulo AΓΔ: est autem [per 9. ax.] angulus BΓΔ major angulo AΓΔ; major est igitur angulus BΓΔ angulo AΔΓ. quoniam etiam triangulum ΔΓB habet angulum BΓΔ majorem angulo BΔΓ, & [per 19. prop.] majorem angulum subtendit majus latus, latus ΔB majus erit latere BΓ. est autem recta ΔB æqualis lateribus AB, AΓ: majora igitur sunt latera BA, AΓ latere BΓ. eodem modo ostendemus latera AB, BΓ majora esse latere ΓA; & latera BΓ, ΓA majora latere AB.

Πάντως ἄρα τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι, πάντη μεταλαμβανόμεναι. ὅπερ ἔδει δεῖξαι.

Omnis igitur trianguli duo latera, quomodocunque sumpta, sunt majora reliquo. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κα'.

Ἐὰν τριγώνου ἐπὶ μιᾶς τῶν πλευρῶν ἀπὸ τῶν περάτων δύο εὐθεῖαι ἐντὸς συσταθῶσιν· αἱ συσταθεῖσαι τῶν λοιπῶν δύο τριγώνου πλευρῶν ἐλάσσονες μὲν ἔσονται, μείζονα δὲ γωνίαν περιέξουσι.

Prop. XXI. Theor.

Si à terminis unius lateris trianguli duæ rectæ intus constituantur: hæ reliquis duobus trianguli lateribus minores quidem erunt, majorem vero angulum comprehendent.

Τριγώνου γὰρ τοῦ ΑΒΓ ἐπὶ μιᾶς τῶν πλευρῶν τῆς ΒΓ, ἀπὸ τῶν περάτων τῶν Β, Γ, δύο εὐθεῖαι ἐντὸς συνεστάτωσαν αἱ ΒΔ, ΔΓ· λέγω ὅτι αἱ ΒΔ, ΔΓ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τῶν ΒΑ, ΑΓ ἐλάσσονες μὲν εἰσι, μείζονα δὲ γωνίαν περιέχουσι, τὴν ὑπὸ ΒΔΓ τῆς ὑπὸ ΒΑΓ.

Trianguli enim ABΓ in uno latere BΓ, à terminis B, Γ, constituantur intus duæ rectæ BΔ, ΔΓ: dico rectas BΔ, ΔΓ minores esse duobus reliquis trianguli lateribus BA, AΓ, angulum tamen comprehendere BΔΓ majorem angulo BAΓ.

Διήχθω γὰρ ἡ ΒΔ ἐπὶ τὸ Ε.



Producatur enim recta BΔ ad punctum E.

Καὶ ἐπεὶ παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι· τοῦ ΑΒΕ ἄρα τριγώνου αἱ δύο πλευραὶ αἱ ΑΒ, ΑΕ τῆς ΒΕ μείζονές εἰσι. κοινὴ προσκείσθω ἡ ΕΓ· αἱ ἄρα ΒΑ, ΑΓ τῶν ΒΕ, ΕΓ μείζονές εἰσι. πάλιν, ἐπεὶ τοῦ ΓΕΔ τριγώνου αἱ δύο πλευραὶ αἱ ΓΕ, ΕΔ τῆς ΓΔ μείζονές εἰσι, κοινὴ προσκείσθω ἡ ΔΒ· αἱ ΓΕ, ΕΒ ἄρα τῶν ΓΔ, ΔΒ μείζονές εἰσιν. ἀλλὰ τῶν ΒΕ, ΕΓ μείζονες ἐδείχθησαν αἱ ΒΑ, ΑΓ· πολλῷ ἄρα αἱ ΒΑ, ΑΓ τῶν ΒΔ, ΔΓ μείζονές εἰσι.

Et cum omnis trianguli duo latera [per 20. prop.] sint majora reliquo: trianguli ABE duo latera AB, AE sunt majora latere BE. communis addatur recta EΓ; sunt igitur latera BA, AΓ majora rectis BE, EΓ. rursus, quoniam trianguli ΓEΔ duo latera ΓE, EΔ sunt majora latere ΓΔ, communis addatur ΔB: sunt igitur rectæ ΓE, EB majores rectis ΓΔ, ΔB. sed latera BA, AΓ ostendebantur esse majora rectis BE, EΓ: sunt igitur BA, AΓ multo majora quam BΔ, ΔΓ.

Πάλιν, ἐπεὶ παντὸς τριγώνου ἡ ἐκτὸς γωνία τῆς ἐντὸς καὶ ἀπεναντίον μείζων ἐστί· τοῦ ΓΔΕ ἄρα τριγώνου ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΔΓ μείζων ἐστὶ τῆς ὑπὸ ΓΕΔ. διὰ τὰ αὐτὰ ἄρα καὶ τοῦ ΑΒΕ τριγώνου ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΓΕΒ μείζων ἐστὶ τῆς ὑπὸ ΒΑΓ. ἀλλὰ τῆς ὑπὸ ΓΕΒ μείζων ἐδείχθη ἡ ὑπὸ ΒΔΓ· πολλῷ ἄρα ἡ ὑπὸ ΒΔΓ μείζων ἐστὶ τῆς ὑπὸ ΒΑΓ.

Rursus, quoniam angulus, qui extra est quemvis triangulum, major est [per 16. prop.] interiore & opposito; angulus BΔΓ, qui extra est triangulum ΓΔE, major est angulo ΓEΔ. eadem de causa angulus ΓEB, qui extra est triangulum ABE, major est angulo BAΓ. ostensum autem est angulum BΔΓ majorem esse angulo ΓEB: angulus igitur BΔΓ multo major est angulo BAΓ.

Si igitur à terminis unius lateris trianguli duæ rectæ intus conſtituantur: hæ reliquis duobus trianguli lateribus ſunt quidem minores, angulum vero comprehendunt majorem. quod erat demonſtrandum.

Εαν ἀρα τριγώνε ἀπὸ μιᾶς τῶν πλευρῶν ἀπὸ τῶν περάτων δύο αἱ εὐθεῖαι ἐντὸς συσταθῶσιν· αἱ συσταθεῖσαι τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ἐλάσσονες μέν εἰσι, μείζονα δὲ γωνίαν περιέχουσιν. ὅπερ ἔδει δεῖξαι.

PROP. XXII. PROBL.

E tribus rectis, quæ tribus rectis datis ſunt æquales, triangulum conſtituere: oportet autem duas, utcunque ſumptas, majores eſſe reliqua.

ΠΡΟΤΑΣΙΣ κβ'.

Ἐκ τριῶν εὐθειῶν, αἱ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις εὐθείαις, τρίγωνον συστήσασθαι· δεῖ δὴ τὰς δύο τῆς λοιπῆς μείζονας εἶναι, πάντη μεταλαμβανομένας.

SInt tres datæ rectæ A, B, Γ, quarum duæ utcunque ſumptæ ſint majores reliqua; nempe A & B majores quam Γ, item A & Γ majores quam B, denique B & Γ majores quam A: oportet è rectis lineis, æqualibus ipſis A, B, Γ, triangulum conſtituere.

Ponatur recta linea Δ E, finita quidem ad Δ, infinita vero verſus E; & ponatur [per 3. prop.] Δ Z æqualis rectæ A, & recta Z H æqualis rectæ B, rectæ autem Γ ſit æqualis H Θ; & centro Z, intervallo autem Z Δ, deſcribatur [per 3. poſt.] circulus Δ K Λ; & rurſus centro H, intervallo H Θ, deſcribatur circulus K Λ Θ, & ducantur rectæ K Z, K H: dico triangulum K Z H, fieri è tribus lineis rectis, æqualibus ipſis rectis A, B, Γ.



A ———
B ———
Γ ———

Quoniam enim punctum Z eſt centrum circuli Δ K Λ, recta Z Δ æqualis eſt [per 15. def.] rectæ Z K: at Z Δ æquatur rectæ A; recta igitur K Z æqualis eſt rectæ A. rurſus, quoniam punctum H eſt centrum circuli Λ K Θ, æqualis eſt H Θ rectæ H K: eſt autem H Θ æqualis rectæ Γ; eſt igitur K H æqualis rectæ Γ. rectæ autem B æqualis eſt Z H: tres igitur rectæ K Z, Z H, H K æquantur tribus rectis A, B, Γ.

E tribus idcirco rectis K Z, Z H, H K, quæ tribus datis rectis A, B, Γ ſunt æquales, conſtituitur triangulum K Z H. quod erat faciendum.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς εὐθεῖαι αἱ A, B, Γ, ὧν αἱ δύο τῆς λοιπῆς μείζονες ἔστωσαν, πάντη μεταλαμβανόμεναι, αἱ μὲν A B τῆς Γ, αἱ δὲ A Γ τῆς B, καὶ ἔτι αἱ B Γ τῆς A· δεῖ δὴ ἐκ τῶν ἴσων ταῖς A, B, Γ τρίγωνον συστήσασθαι.

Ἐκκείσθω τις εὐθεῖα ἡ Δ E, πεπερασμένη μὲν κατὰ τὸ Δ, ἄπειρος δὲ κατὰ τὸ E· καὶ κείσθω τῇ μὲν A ἴση ἡ Δ Z, τῇ δὲ B ἴση ἡ Z H, τῇ δὲ Γ ἴση ἡ H Θ· καὶ κέντρῳ μὲν τῷ Z, διαστήματι δὲ τῷ Z Δ, κύκλος γεγράφθω ὁ Δ K Λ· καὶ πάλιν, κέντρῳ μὲν τῷ H, διαστήματι δὲ τῷ H Θ, κύκλος γεγράφθω ὁ K Λ Θ, καὶ ἐπεζεύχθωσαν αἱ K Z, K H· λέγω ὅτι ἐκ τριῶν εὐθειῶν, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς A, B, Γ, τρίγωνον συνέσταται τὸ K Z H.

Ἐπεὶ γὰρ τὸ Z σημεῖον κέντρον ἐστὶ τοῦ Δ K Λ κύκλου, ἴση ἐστὶν ἡ Z Δ τῇ Z K· ἀλλὰ ἡ Z Δ τῇ A ἐστιν ἴση, καὶ ἡ K Z ἄρα τῇ A ἐστιν ἴση. πάλιν, ἐπεὶ τὸ H σημεῖον κέντρον ἐστὶ τοῦ Λ K Θ κύκλου, ἴση ἐστὶν ἡ H Θ τῇ H K· ἀλλὰ ἡ H Θ τῇ Γ ἐστιν ἴση, καὶ ἡ K H ἄρα τῇ Γ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ Z H τῇ B ἴση· αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ K Z, Z H, H K τρισὶ ταῖς A, B, Γ ἴσαι εἰσίν.

Ἐκ τριῶν ἄρα εὐθειῶν ταῖς K Z, Z H, H K, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις εὐθείαις ταῖς A, B, Γ, τρίγωνον συνέσταται τὸ K Z H. ὅπερ ἔδει ποιῆσαι.

PROP. XXIII. PROBL.

Ad datam rectam, & ad datum in ea punctum, dato angulo rectilineo angulum rectilineum æqualem conſtituere.

ΠΡΟΤΑΣΙΣ κγ'.

Πρὸς τῇ δοθείσῃ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ, τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ ἴσην γωνίαν εὐθύγραμμον συστήσασθαι.

SIT data recta linea A B, & in ea datum punctum A, datus autem angulus rectilineus ſit Δ Γ E: oportet ad datam rectam A B, & ad datum in ea punctum A, dato angulo rectilineo Δ Γ E æqualem angulum rectilineum conſtituere.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ A B, τὸ δὲ πρὸς αὐτῇ σημεῖον τὸ A, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ ὑπὸ Δ Γ E· δεῖ δὴ πρὸς τῇ δοθείσῃ εὐθείᾳ τῇ A B, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A, τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ ὑπὸ Δ Γ E ἴσην γωνίαν εὐθύγραμμον συστήσασθαι.

Εἰλήφθω

Εἰλήφθω ἐφ' ἑκατέρας τῶν ΓΔ, ΓΕ τυχόντα σημεῖα τὰ Δ, Ε, καὶ ἐπεζεύχθω ἡ ΔΕ· καὶ ἐκ τριῶν εὐθειῶν, αἱ εἰσιν ἴσαι τρισὶ ταῖς ΓΔ, ΔΕ, ΓΕ, τρίγωνον συνεστάτω τὸ ΑΖΗ, ὥστε ἴσην εἶναι τὴν μὲν ΓΔ τῇ ΑΖ, τὴν δὲ ΓΕ τῇ ΑΗ, καὶ ἔτι τὴν ΔΕ τῇ ΖΗ.



Ἐπεὶ οὖν αἱ δύο αἱ ΔΓ, ΓΕ δυσὶ ταῖς ΖΑ, ΑΗ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΔΕ βάσει τῇ ΖΗ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΓΕ γωνίᾳ τῇ ὑπὸ ΖΑΗ ἐστὶν ἴση.

Πρὸς ἄρα τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α, τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ ὑπὸ ΔΓΕ ἴση γωνία εὐθύγραμμος συνέσταται ἡ ὑπὸ ΖΑΗ. ὅπερ ἔδει ποιῆσαι.

Sumantur in utraque recta ΓΔ, ΓΕ puncta quælibet Δ, Ε, & ducatur recta ΔΕ: & è tribus rectis lineis, quæ æquales sint tribus ΓΔ, ΔΕ, ΓΕ, conſtituatur [per 22. prop.] triangulum ΑΖΗ; ita ut ΓΔ æquetur rectæ ΑΖ, recta autem ΓΕ rectæ ΑΗ, recta denique ΔΕ rectæ ΖΗ.

Quoniam igitur duæ rectæ ΔΓ, ΓΕ æquantur duabus rectis ΖΑ, ΑΗ, altera alteri, & baſis ΔΕ æquatur baſi ΖΗ; angulus ΔΓΕ [per 8. prop.] æqualis eſt angulo ΖΑΗ.

Ad datam igitur rectam lineam ΑΒ, & ad datum in ea punctum Α, dato angulo rectilineo ΔΓΕ conſtituitur æqualis angulus rectilineus ΖΑΗ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ κδ'.

Ἐὰν δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ, ἑκατέραν ἑκατέρᾳ, τὴν δὲ γωνίαν τῆς γωνίας μείζονα ἔχῃ τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην· καὶ τὴν βάσιν τῆς βάσεως μείζονα ἕξει.

Prop. XXIV. Theor.

Si duo triangula habeant duo latera duobus lateribus æqualia, alterum alteri; angulum autem angulo majorem, qui ab æqualibus rectis comprehenditur: etiam baſim baſi majorem habebunt.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ ταῖς δυσὶ πλευραῖς ταῖς ΔΕ, ΔΖ ἴσας ἔχοντα, ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ, τὴν δὲ ΑΓ τῇ ΔΖ, γωνία δὲ ἡ ὑπὸ ΒΑΓ γωνίας τῆς ὑπὸ ΕΔΖ μείζων ἔστω· λέγω ὅτι καὶ βάσις ἡ ΒΓ βάσεως τῆς ΕΖ μείζων ἐστίν.

SInt duo triangula ΑΒΓ, ΔΕΖ, quæ duo latera ΑΒ, ΑΓ duobus lateribus ΔΕ, ΔΖ habent æqualia, alterum alteri, latus nempe ΑΒ lateri ΔΕ, atque latus ΑΓ lateri ΔΖ; angulus autem ΒΑΓ ſit major angulo ΕΔΖ: dico baſim ΒΓ majorem eſſe baſi ΕΖ.

Ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ γωνίας, συνεστάτω πρὸς τῇ ΔΕ εὐθείᾳ, καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Δ, τῇ ὑπὸ ΒΑΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΕΔΗ· καὶ κείσθω ὁπότερα τῶν ΑΓ, ΔΖ ἴση ἡ ΔΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΗΕ, ΖΗ.



Quoniam enim angulus ΒΑΓ major eſt angulo ΕΔΖ, conſtituatur [per 23. prop.] ad rectam ΔΕ, & ad punctum in ea Δ, angulus ΕΔΗ æqualis angulo ΒΑΓ: ponaturque ΔΗ [per 3. prop.] æqualis alterutri rectarum ΑΓ, ΔΖ, & ducantur ΗΕ, ΖΗ.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΑΓ τῇ ΔΗ, δύο δὴ αἱ ΒΑ, ΑΓ δυσὶ ταῖς ΕΔ, ΔΗ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΒΑΓ γωνίᾳ τῇ ὑπὸ ΕΔΗ ἴση ἐστί· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΗ ἐστὶν ἴση. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΔΗ τῇ ΔΖ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΔΖΗ γωνία τῇ ὑπὸ ΔΗΖ· μείζων ἄρα ἡ ὑπὸ ΔΖΗ τῆς ὑπὸ ΕΗΖ, πολλῷ ἄρα μείζων ἐστὶν ἡ ὑπὸ ΕΖΗ τῆς ὑπὸ ΕΗΖ. καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ ΕΖΗ, μείζονα ἔχον τὴν ὑπὸ ΕΖΗ γωνίαν τῆς ὑπὸ ΕΗΖ· ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει· μείζων ἄρα πλευρὰ ἡ ΕΗ τῆς ΕΖ. ἴση δὲ ἡ ΕΗ τῇ ΒΓ· μείζων ἄρα καὶ ἡ ΒΓ τῆς ΕΖ.

Itaque quoniam ΑΒ æquatur rectæ ΔΕ, & recta ΑΓ rectæ ΔΗ, duæ rectæ ΒΑ, ΑΓ æquantur duabus ΕΔ, ΔΗ, altera alteri, & angulus ΒΑΓ æquatur [per conſtruct.] angulo ΕΔΗ: baſis igitur ΒΓ æqualis erit [per 4. prop.] baſi ΕΗ. rurſus, quoniam ΔΗ æqualis eſt rectæ ΔΖ, & angulus ΔΖΗ eſt [per 5. prop.] æqualis angulo ΔΗΖ; major erit ΔΖΗ angulo ΕΗΖ, multoque igitur major erit angulus ΕΖΗ angulo ΕΗΖ. & quoniam triangulum ΕΖΗ habet angulum ΕΖΗ majorem angulo ΕΗΖ; majorem autem angulum [per 19. prop.] majus latus ſubtendit: eſt latus ΕΗ majus latere ΕΖ. verum ΕΗ æquale eſt [per conſtruct.] lateri ΒΓ; itaque latus ΒΓ majus eſt latere ΕΖ.

Si igitur duo triangula habeant duo latera duobus lateribus æqualia, alterum alteri; angulum autem habeant angulo majorem, qui ab æqualibus rectis comprehenditur: etiam basim basi majorem habebunt. quod erat demonstrandum.

Prop. XXV. Theor.

Si duo triangula habeant duo latera duobus lateribus æqualia, alterum alteri; basim autem habeant basi majorem: habebunt etiam angulum majorem angulo, qui ab æqualibus rectis comprehenditur.

SInt duo triangula ABΓ, ΔEZ, quæ habent duo latera AB, AΓ æqualia duobus lateribus ΔE, ΔZ, alterum alteri, latus quidem AB lateri ΔE, & latus AΓ lateri ΔZ; basis autem BΓ sit major basi EZ: dico angulum BAΓ majorem esse angulo EΔZ.



Si enim non sit major, vel est æqualis ei, vel minor. æqualis autem non est angulus BAΓ angulo EΔZ, sic enim esset [per 4. prop.] basis BΓ æqualis basi EZ: non est autem; angulus igitur BAΓ non est æqualis angulo EΔZ. sed neque minor, sic enim esset [per 24. prop.] basis BΓ minor basi EZ: atqui non est; angulus igitur BAΓ non est minor angulo EΔZ. ostensum autem est eum non esse æqualem: major est igitur angulus BAΓ angulo EΔZ.

Si igitur duo triangula habeant duo latera duobus lateribus æqualia, alterum alteri; basim autem habeant basi majorem: habebunt etiam angulum majorem angulo, qui ab æqualibus rectis comprehenditur. quod erat demonstrandum.

Prop. XXVI. Theor.

Si duo triangula duos angulos duobus angulis æquales habeant, alterum alteri, unumque latus uni lateri æquale; vel quod æqualibus adjacet angulis, vel quod uni æqualium angulorum subtenditur: & reliqua latera reliquis lateribus æqualia, alterum alteri, & reliquum angulum reliquo angulo æqualem habebunt.

SInt duo triangula ABΓ, ΔEZ, quæ duos angulos ABΓ, BΓA duobus angulis ΔEZ, EZΔ æquales habent, alterum alteri, angulum scilicet ABΓ æqualem angulo ΔEZ, angulum vero BΓA angulo EZΔ: habeant autem & unum latus uni lateri æquale; & primum, quod æqua-

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ, ἑκατέραν ἑκατέρᾳ, τὴν δὲ γωνίαν τῆς γωνίας μείζονα ἔχῃ τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην· καὶ τὴν βάσιν τῆς βάσεως μείζονα ἕξει. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κε'.

Ἐὰν δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ, ἑκατέραν ἑκατέρᾳ, τὴν βάσιν δὲ τῆς βάσεως μείζονα ἔχῃ· καὶ τὴν γωνίαν τῆς γωνίας μείζονα ἕξει, τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ ταῖς δυσὶ πλευραῖς ταῖς ΔΕ, ΔΖ ἴσας ἔχοντα, ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ, τὴν δὲ ΑΓ τῇ ΔΖ, βάσις δὲ ἡ ΒΓ βάσεως τῆς ΕΖ μείζων ἔστω· λέγω ὅτι καὶ γωνία ἡ ὑπὸ ΒΑΓ γωνίας τῆς ὑπὸ ΕΔΖ μείζων ἐστίν.



Εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν αὐτῇ, ἢ ἐλάσσων. ἴση μὲν οὐκ ἔστιν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΕΔΖ, ἴση γὰρ ἦν καὶ ἡ βάσις ἡ ΒΓ βάσει τῇ ΕΖ· οὐκ ἔστι δέ, οὐκ ἄρα ἴση ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΕΔΖ. ἀλλ' οὐδὲ μὴν ἐλάσσων, ἐλάσσων γὰρ ἦν καὶ βάσις ἡ ΒΓ βάσεως τῆς ΕΖ· οὐκ ἔστι δέ, οὐκ ἄρα ἐλάσσων ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ. ἐδείχθη δὲ οὐδ' ἴση· μείζων ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ, ἑκατέραν ἑκατέρᾳ, τὴν δὲ βάσιν τῆς βάσεως μείζονα ἔχῃ· καὶ τὴν γωνίαν τῆς γωνίας μείζονα ἕξει, τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Ἐὰν δύο τρίγωνα τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχῃ, ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις, ἢ τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει, ἑκατέραν ἑκατέρᾳ, καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ.

Ἔστωσαν δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, τὰς δύο γωνίας τὰς ὑπὸ ΑΒΓ, ΒΓΑ δυσὶ ταῖς ὑπὸ ΔΕΖ, ΕΖΔ ἴσας ἔχοντα, ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΕΖΔ· ἐχέτω δὴ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην· πρότερον, τὴν πρὸς ταῖς ἴσαις γωνίαις

τὴν

τὴν ΒΓ τῇ ΕΖ· λέγω ὅτι καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει, ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ, τὴν δὲ ΑΓ τῇ ΔΖ, καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΔΕ, μία αὐτῶν μείζων ἔσται. ἔστω μείζων ἡ ΑΒ, καὶ κείσθω τῇ ΔΕ ἴση ἡ ΗΒ, καὶ ἐπεζεύχθω ἡ ΗΓ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΒΗ τῇ ΔΕ, ἡ δὲ ΒΓ τῇ ΕΖ, δύο δὴ αἱ ΒΗ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΗΒΓ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἴση ἐστί· βάσις ἄρα ἡ ΗΓ βάσει τῇ ΔΖ ἴση ἐστὶ, καὶ τὸ ΗΓΒ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον ἔσται, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΗΓΒ γωνία τῇ ὑπὸ ΔΖΕ. ἀλλὰ ἡ ὑπὸ ΔΖΕ τῇ ὑπὸ ΒΓΑ ὑπόκειται ἴση· καὶ ἡ ὑπὸ ΒΓΗ ἄρα τῇ ὑπὸ ΒΓΑ ἴση ἐστὶν, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΔΕ· ἴση ἄρα. ἔστι δὲ καὶ ἡ ΒΓ τῇ ΕΖ ἴση, δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἴση ἐστίν· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΔΖ ἴση ἐστί, καὶ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴση ἐστίν.



ΑΛΛΑ δὴ πάλιν, ἐστωσαν αἱ ὑπὸ τὰς ἴσας γωνίας πλευραὶ ὑποτείνουσαι ἴσαι, ὡς ἡ ΑΒ τῇ ΔΕ· λέγω πάλιν, ὅτι καὶ αἱ λοιπαὶ πλευραὶ ταῖς λοιπαῖς πλευραῖς ἴσαι ἔσονται, ἡ μὲν ΑΓ τῇ ΔΖ, ἡ δὲ ΒΓ τῇ ΕΖ, καὶ ἔτι ἡ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ λοιπῇ τῇ ὑπὸ ΕΔΖ ἴση ἐστίν.

Εἰ γὰρ ἄνισός ἐστιν ΒΓ τῇ ΕΖ, μία αὐτῶν μείζων ἐστίν. ἔστω εἰ δυνατὸν μείζων ἡ ΒΓ, καὶ κείσθω τῇ ΕΖ ἴση ἡ ΒΘ, καὶ ἐπεζεύχθω ἡ ΑΘ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΒΘ τῇ ΕΖ, ἡ δὲ ΑΒ τῇ ΔΕ, δύο δὴ αἱ ΑΒ, ΒΘ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΑΘ βάσει τῇ ΔΖ ἴση ἐστὶ, καὶ τὸ ΑΒΘ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσι· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΘΑ γωνία τῇ ὑπὸ ΕΖΔ. ἀλλὰ ἡ ὑπὸ ΕΖΔ τῇ ὑπὸ ΒΓΑ γωνίᾳ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ΒΘΑ ἄρα τῇ ὑπὸ ΒΓΑ ἐστὶν ἴση, τριγώνου δὴ τοῦ ΑΘΓ ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΘΑ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΒΓΑ, ὅπερ ἀδύνατον· οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΒΓ τῇ ΕΖ, ἴση ἄρα. ἔστι δὲ καὶ ἡ ΑΒ τῇ ΔΕ ἴση, δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΔΖ ἴση ἐστὶ, καὶ τὸ ΑΒΓ

libus adjacet angulis, latus nempe ΒΓ lateri ΕΖ: dico & reliqua latera reliquis lateribus æqualia habere, alterum alteri, latus ſcilicet ΑΒ lateri ΔΕ, & latus ΑΓ lateri ΔΖ, & reliquum angulum ΒΑΓ reliquo angulo ΕΔΖ.

Si enim latus ΑΒ ſit inæquale lateri ΔΕ, eorum alterum erit majus. ſit ΑΒ majus, & ponatur [per 3. prop.] ΗΒ recta æqualis lateri ΔΕ, & ducatur ΗΓ.

Quoniam igitur latus ΒΗ æquale eſt lateri ΔΕ, latus autem ΒΓ lateri ΕΖ, duo nempe latera ΒΗ, ΒΓ æqualia duobus ΔΕ, ΕΖ, alterum alteri, & angulus ΗΒΓ æqualis eſt angulo ΔΕΖ: baſis igitur ΗΓ æquatur [per 4. prop.] baſi ΔΖ, & triangulum ΗΓΒ æquabitur triangulo ΔΕΖ, & reliqui anguli reliquis angulis æquabuntur, alter alteri, quibus æqualia latera ſubtenduntur: eſt igitur angulus ΗΓΒ æqualis angulo ΔΖΕ. angulus autem ΔΖΕ ponitur æqualis angulo ΒΓΑ: eſt igitur angulus ΒΓΗ æqualis angulo ΒΓΑ, minor majori, quod fieri non poteſt. non eſt igitur latus ΑΒ inæquale lateri ΔΕ: ergo eſt æquale. eſt autem ΒΓ latus æquale lateri ΕΖ, atque duo latera ΑΒ, ΒΓ æquantur duobus ΔΕ, ΕΖ, alterum alteri, & angulus ΑΒΓ æquatur angulo ΔΕΖ: baſis igitur ΑΓ [per 4. prop.] æquatur baſi ΔΖ, & reliquus angulus ΒΑΓ æquatur reliquo angulo ΕΔΖ.



Quin & rurſum, ſint latera quæ æqualibus angulis ſubtenduntur æqualia, latus ſcilicet ΑΒ lateri ΔΒ: dico rurſus, quod & reliqua latera reliquis lateribus æquabuntur, nempe ΑΓ lateri ΔΖ, & ΒΓ lateri ΕΖ; & reliquus etiam angulus ΒΑΓ æquabitur reliquo angulo ΕΔΖ.

Si enim inæquale ſit latus ΒΓ lateri ΕΖ, eorum alterum majus erit. ſit (ſi fieri poteſt) ΒΓ majus, ponaturque [per 3. prop.] ΒΘ æquale lateri ΕΖ, & ducatur ΑΘ.

Et quoniam latus ΒΘ æquale eſt lateri ΕΖ, & latus ΑΒ lateri ΔΕ, duo nempe latera ΑΒ, ΒΘ æqualia duobus ΔΕ, ΕΖ, alterum alteri, & angulos comprehendunt æquales: baſis igitur ΑΘ [per 4. prop.] æquatur baſi ΔΖ, & triangulum ΑΒΘ æquatur triangulo ΔΕΖ, & reliqui anguli reliquis angulis æquabuntur, alter alteri, quibus æqualia latera ſubtenduntur: angulus igitur ΒΘΑ æquatur angulo ΕΖΔ. ſed [ex hyp.] angulus ΕΖΔ æqualis eſt angulo ΒΓΑ: eſt igitur ΒΘΑ angulus æqualis angulo ΒΓΑ; trianguli nempe ΑΓΘ exterior angulus ΒΘΑ æqualis interiori & oppoſito ΒΓΑ, quod [per 16. prop.] fieri non poteſt: latus igitur ΒΓ non eſt inæquale lateri ΕΖ, igitur æquale. eſt autem ΑΒ æquale lateri ΔΕ; duo idcirco latera ΑΒ, ΒΓ æquantur duobus lateribus ΔΕ, ΕΖ, alterum alteri, & comprehendunt angulos æquales: baſis igitur ΑΓ [per 4. prop.] æquatur baſi ΔΖ, & triangu-

lum

lum ABΓ æquatur triangulo ΔEZ, & reliquus angulus BAΓ æquatur reliquo EΔZ.

Si igitur duo triangula duos angulos duobus angulis habeant æquales, alterum alteri, unumque latus uni lateri æquale; vel quod æqualibus adjacet angulis, vel quod uni æqualium angulorum ſubtenditur: & reliqua latera reliquis lateribus æqualia, alterum alteri, & reliquum angulum reliquo angulo æqualem habebunt. quod erat demonſtrandum.

τελγωνον τῷ ΔEZ τριγώνῳ ἴσον ἐστὶ, καὶ ἡ λοιπὴ γωνία ἡ ὑπὸ BAΓ τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ EΔZ ἴση ἐστίν.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχῃ, ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην ἔχῃ, ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις, ἢ τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει, ἑκατέραν ἑκατέρᾳ, καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ. ὅπερ ἔδει δεῖξαι.

Prop. XXVII. Theor.

Si in duas rectas lineas recta linea incidens alternos angulos inter ſe æquales fecerit, parallelæ erunt rectæ lineæ.

ΠΡΟΤΑΣΙΣ κζ'.

Ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιῇ, παράλληλοι ἔσονται αἱ εὐθεῖαι.

IN duas enim rectas lineas AB, ΓΔ recta linea EZ incidens alternos angulos AEZ, EZΔ æquales inter ſe faciat: dico rectam lineam AB rectæ ΓΔ parallelam eſſe.

Si enim non eſt parallela, productæ AB, ΓΔ, vel ad partes BΔ convenient, vel ad partes AΓ. producantur, conveniantque ad partes BΔ in puncto H.



Jam, angulus AEZ, qui extra eſt triangulum EHZ, major eſt [per 16. prop.] interiore & oppoſito EZH: ſed & [ex hyp.] æqualis, quod fieri non poteſt; non igitur AB, ΓΔ, productæ ad partes BΔ, convenient. ſimiliter demonſtrabitur neque convenire ad partes AΓ: quæ vero in neutras partes conveniunt, ſunt [per 35. def.] inter ſe parallelæ; parallela igitur eſt AB ipſi ΓΔ.

Quare ſi in duas rectas lineas recta linea incidens alternos angulos inter ſe æquales fecerit, rectæ lineæ erunt parallelæ. quod erat demonſtrandum.

Εἰ γὰρ δύο εὐθείας τὰς AB, ΓΔ εὐθεῖα ἐμπίπτουσα ἡ EZ, τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ AEZ, EZΔ ἴσους ἀλλήλαις ποιείτω· λέγω ὅτι παράλληλός ἐστιν ἡ AB τῇ ΓΔ εὐθείᾳ.

Εἰ γὰρ μή, ἐκβαλλόμεναι αἱ AB, ΓΔ συμπεσοῦνται, ἤτοι ἐπὶ τὰ B, Δ μέρη, ἢ ἐπὶ τὰ AΓ. ἐκβεβλήσθωσαν, καὶ συμπιπτέτωσαν ἐπὶ τὰ BΔ μέρη κατὰ τὸ H.

Τριγώνου δὴ τοῦ EHZ ἡ ἐκτὸς γωνία ἡ ὑπὸ AEZ μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπεναντίον γωνίας τῆς ὑπὸ EZH· ἀλλὰ καὶ ἴση, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα αἱ AB, ΓΔ ἐκβαλλόμεναι συμπεσοῦνται ἐπὶ τὰ B, Δ μέρη. ὁμοίως δὴ δειχθήσεται, ὅτι οὐδὲ ἐπὶ τὰ A, Γ· αἱ δὲ ἐπὶ μηδέτερα τὰ μέρη συμπίπτουσαι, παράλληλοί εἰσι· παράλληλος ἄρα ἐστὶν ἡ AB τῇ ΓΔ.

Ἐὰν ἄρα εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιῇ, παράλληλοι ἔσονται αἱ εὐθεῖαι. ὅπερ ἔδει δεῖξαι.

Prop. XXVIII. Theor.

Si in duas rectas lineas recta linea incidens exteriorem angulum interiori & oppoſito & ad eaſdem partes æqualem fecerit; vel interiores & ad eaſdem partes duobus rectis æquales: rectæ lineæ erunt inter ſe parallelæ.

ΠΡΟΤΑΣΙΣ κη'.

Ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὴν ἐκτὸς γωνίαν τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσην ποιῇ, ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας ποιῇ· παράλληλοι ἔσονται αἱ εὐθεῖαι.

IN duas enim rectas lineas AB, ΓΔ recta linea EZ incidens exteriorem angulum EHB interiori & oppoſito & ad eaſdem partes HΘΔ æqualem faciat; vel interiores & ad eaſdem partes BHΘ, HΘΔ duobus rectis æquales: dico rectam lineam AB rectæ ΓΔ parallelam eſſe.

Quoniam enim EHB angulus æqualis eſt angulo HΘΔ, angulus autem EHB æqualis [per 15. prop.] angulo AHΘ; erit & angulus AHΘ angulo HΘΔ æqualis: & ſunt alterni; parallela igitur eſt [per 27. prop.] AB ipſi ΓΔ.

Εἰς γὰρ δύο εὐθείας τὰς AB, ΓΔ εὐθεῖα ἐμπίπτουσα ἡ EZ τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ EHB τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίᾳ τῇ ὑπὸ HΘΔ ἴσην ποιείτω, ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰς ὑπὸ BHΘ, HΘΔ δυσὶν ὀρθαῖς ἴσας· λέγω ὅτι παράλληλός ἐστιν ἡ AB τῇ ΓΔ.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ EHB τῇ ὑπὸ HΘΔ, ἀλλὰ ἡ ὑπὸ EHB τῇ ὑπὸ AHΘ ἐστὶν ἴση, καὶ ἡ ὑπὸ AHΘ ἄρα τῇ ὑπὸ HΘΔ ἐστὶν ἴση· καί εἰσιν ἐναλλάξ· παράλληλος ἄρα ἐστὶν ἡ AB τῇ ΓΔ.

ΠΑΛΙΝ

ΠΑΛΙΝ, ἐπεὶ αἱ ὑπὸ ΒΗΘ, ΗΘΔ δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΑΗΘ, ΒΗΘ δυσὶν ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ ΑΗΘ, ΒΗΘ τῶν ὑπὸ ΒΗΘ, ΗΘΔ ἴσαι εἰσί. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΒΗΘ, λοιπὴ ἄρα ἡ ὑπὸ ΑΗΘ λοιπῇ τῇ ὑπὸ ΗΘΔ ἐστὶν ἴση· καί εἰσιν ἐναλλάξ· ὥστε παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.



Ἐὰν ἄρα εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὴν ἐκτὸς γωνίαν τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ὁμόπλευρον ἴσην ποιῇ, ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας· παράλληλοι ἔσονται αἱ εὐθεῖαι. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κθ'.

Ἡ εἰς τὰς παραλλήλους εὐθείας εὐθεῖα ἐμπίπτουσα τάς τε ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιεῖ, καὶ τὴν ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ὁμόπλευρον, καὶ τὰς ἐντὸς καὶ ὁμόπλευρα δυσὶν ὀρθαῖς ἴσας.

ΕΙΣ γὰρ παραλλήλους εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπιπτέτω ἡ ΕΖ· λέγω ὅτι τάς τε ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΑΗΘ, ΗΘΔ ἴσας ποιεῖ, καὶ τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ ΕΗΒ τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη τῇ ὑπὸ ΗΘΔ ἴσην, καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰς ὑπὸ ΒΗΘ, ΗΘΔ δυσὶν ὀρθαῖς ἴσας.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΗΘΔ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΑΗΘ. καὶ ἐπεὶ μείζων ἐστὶν ἡ ὑπὸ ΑΗΘ τῶν ὑπὸ ΗΘΔ, κοινὴ προσκείσθω ἡ ὑπὸ ΒΗΘ· αἱ ἄρα ὑπὸ ΑΗΘ, ΒΗΘ τῶν ὑπὸ ΒΗΘ, ΗΘΔ μείζονές εἰσιν. ἀλλὰ καὶ αἱ ὑπὸ ΑΗΘ, ΒΗΘ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ἄρα ὑπὸ ΒΗΘ, ΗΘΔ δύο ὀρθῶν ἐλάσσονές εἰσιν. αἱ δὲ ἀπ' ἐλασσόνων ἢ δύο ὀρθῶν ἐκβαλλόμεναι εἰς ἄπειρον συμπίπτουσιν· αἱ ἄρα ΑΒ, ΓΔ ἐκβαλλόμεναι εἰς ἄπειρον συμπεσοῦνται. οὐ συμπίπτουσι δέ, διὰ τὸ παραλλήλους αὐτὰς ὑποκεῖσθαι· οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΗΘΔ, ἴση ἄρα.



ΑΛΛΑ ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΕΗΒ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ΕΗΒ ἄρα τῇ ὑπὸ ΗΘΔ ἐστὶν ἴση.

ΚΟΙΝΗ προσκείσθω ἡ ὑπὸ ΒΗΘ· αἱ ἄρα ὑπὸ ΕΗΒ, ΒΗΘ τῶν ὑπὸ ΒΗΘ, ΗΘΔ ἴσαι εἰσίν. ἀλλὰ αἱ ὑπὸ ΕΗΒ, ΒΗΘ δυσὶν ὀρθαῖς ἴσαι εἰσί· καὶ αἱ ὑπὸ ΒΗΘ, ΗΘΔ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἡ ἄρα εἰς τὰς παραλλήλους εὐθείας εὐθεῖα ἐμπίπτουσα τάς τε ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιεῖ, καὶ τὴν ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ὁμόπλευρον τὴν αὐτὴν μέρη ἴσην, καὶ τὰς ἐντὸς καὶ ὁμόπλευρα τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας. ὅπερ ἔδει δεῖξαι.

RURSUS, quoniam anguli BHΘ, HΘΔ duobus rectis ſunt æquales, & ſunt [per 13. prop.] AHΘ, BHΘ æquales duobus rectis: erunt anguli AHΘ, BHΘ angulis BHΘ, HΘΔ æquales. communis auferatur BHΘ, reliquus igitur AHΘ eſt æqualis reliquo HΘΔ; & ſunt alterni: ergo AB ipſi ΓΔ [per 27. prop.] eſt parallela.

Si igitur in duas rectas recta linea incidens exteriorem angulum interiori & oppoſito & ad eaſdem partes æqualem fecerit; vel interiores & ad eaſdem partes duobus rectis æquales: rectæ lineæ erunt inter ſe parallelæ. quod erat demonſtrandum.

PROP. XXIX. THEOR.

In parallelas rectas lineas recta linea incidens & alternos angulos inter ſe æquales, & exteriorem interiori & oppoſito & ad eaſdem partes æqualem, & interiores & ad eaſdem partes duobus rectis æquales efficit.

IN parallelas enim rectas lineas AB, ΓΔ recta linea incidat EZ: dico illam alternos angulos AHΘ, HΘΔ inter ſe æquales efficere; & exteriorem EHB interiori & oppoſito & ad eaſdem partes HΘΔ æqualem, & interiores & ad eaſdem partes BHΘ, HΘΔ duobus rectis æquales.

Si enim inæqualis eſt AHΘ ipſi HΘΔ, unus ipſorum major eſt. ſit major AHΘ. & quoniam angulus AHΘ major eſt angulo HΘΔ, communis apponatur BHΘ: anguli igitur AHΘ, BHΘ angulis BHΘ, HΘΔ majores ſunt. ſed anguli AHΘ, BHΘ ſunt [per 13. prop.] æquales duobus rectis: ergo BHΘ, HΘΔ anguli ſunt duobus rectis minores. quæ vero à minoribus, quàm ſunt duo recti, in infinitum producuntur rectæ lineæ [per 11. ax.] inter ſe convenient: ergo rectæ lineæ AB, ΓΔ in infinitum productæ convenient inter ſe. atqui non conveniunt, cum parallelæ ponantur: non igitur inæqualis eſt AHΘ angulus angulo HΘΔ, ideo æqualis.

ANGULUS autem AHΘ æqualis eſt [per 15. prop.] angulo EHB: ergo & EHB ipſi HΘΔ æqualis erit.

COMMUNIS apponatur BHΘ: anguli igitur EHB, BHΘ ſunt æquales angulis BHΘ, HΘΔ. ſed EHB, BHΘ æquales ſunt [per 13. prop.] duobus rectis: ergo & BHΘ, HΘΔ duobus rectis æquales erunt.

In parallelas igitur rectas lineas recta linea incidens & alternos angulos inter ſe æquales, & exteriorem interiori & oppoſito & ad eaſdem partes æqualem, & interiores & ad eaſdem partes duobus rectis æquales efficit. quod erat demonſtrandum.

PROP. XXX. THEOR.

Quæ eidem rectæ lineæ ſunt parallelæ & inter ſe ſunt parallelæ.

SIT utraque ipſarum AB, ΓΔ ipſi EZ parallela: dico & AB ipſi ΓΔ parallelam eſſe.

Incidat enim in ipſas recta linea HK.

Et quoniam in parallelas rectas lineas AB, EZ recta linea HK incidit, angulus AHΘ [per 27. prop.] angulo HΘZ eſt æqualis. rurſus, quoniam in parallelas rectas lineas EZ, ΓΔ recta linea incidit HK, æqualis eſt HΘZ angulus [per 28. prop.] angulo HKΔ. oſtenſus autem eſt & angulus AHK angulo HΘZ æqualis: ergo & AHK ipſi HKΔ æqualis erit; & ſunt alterni: parallela igitur eſt AB [per 29. prop.] ipſi ΓΔ.



Ergo quæ eidem rectæ lineæ ſunt parallelæ & inter ſe ſunt parallelæ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λ'.

Αἱ τῇ αὐτῇ εὐθείᾳ παράλληλοι καὶ ἀλλήλαις εἰσὶ παράλληλοι.

Ἔστω ἑκατέρα τῶν AB, ΓΔ τῇ EZ παράλληλος· λέγω ὅτι καὶ ἡ AB τῇ ΓΔ ἐστὶ παράλληλος.

Ἐμπιπτέτω γὰρ εἰς αὐτὰς εὐθεῖα ἡ HK.

Καὶ ἐπεὶ εἰς παραλλήλους εὐθείας τὰς AB, EZ εὐθεῖα ἐμπέπτωκεν ἡ HK, ἴση ἄρα ἡ ὑπὸ AHΘ τῇ ὑπὸ HΘZ. πάλιν, ἐπεὶ εἰς τὰς παραλλήλους εὐθείας τὰς EZ, ΓΔ εὐθεῖα ἐμπέπτωκεν ἡ HK, ἴση ἐστὶν ἡ ὑπὸ HΘZ τῇ ὑπὸ HKΔ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ AHK τῇ ὑπὸ HΘZ ἴση· καὶ ἡ ὑπὸ AHK ἄρα τῇ ὑπὸ HKΔ ἐστὶν ἴση· καί εἰσιν ἐναλλάξ. παράλληλος ἄρα ἐστὶν ἡ AB τῇ ΓΔ.

Αἱ ἄρα τῇ αὐτῇ εὐθείᾳ παράλληλοι καὶ ἀλλήλαις εἰσὶ παράλληλοι. ὅπερ ἔδει δεῖξαι.

PROP. XXXI. PROBL.

Per datum punctum, datæ rectæ lineæ parallelam rectam lineam ducere.

SIT datum quidem punctum A, data vero recta linea BΓ: oportet, per A punctum, ipſi BΓ rectæ lineæ parallelam rectam lineam ducere.

Sumatur in BΓ quodvis punctum Δ, & jungatur AΔ; conſtituaturq; [per 23. prop.] ad rectam lineam ΔA, & ad punctum in ipſa A, angulo AΔΓ æqualis angulus ΔAE; & in directum ipſi EA recta linea AZ producatur.



Quoniam igitur in duas rectas lineas BΓ, EZ recta linea AΔ incidens alternos angulos EAΔ, AΔΓ inter ſe æquales efficit, EZ ipſi BΓ [per 27. prop.] parallela erit.

Per datum igitur punctum A, datæ rectæ lineæ BΓ parallela ducta eſt recta linea EAZ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ λα'.

Διὰ τοῦ δοθέντος σημείου, τῇ δοθείσῃ εὐθείᾳ παράλληλον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Ἔστω τὸ μὲν δοθὲν σημεῖον τὸ A, ἡ δὲ δοθεῖσα εὐθεῖα ἡ BΓ· δεῖ δὴ διὰ τοῦ A σημείου, τῇ ΓB εὐθείᾳ παράλληλον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Εἰλήφθω ἐπὶ τῆς BΓ τυχὸν σημεῖον τὸ Δ, καὶ ἐπεζεύχθω ἡ AΔ· καὶ συνεστάτω πρὸς τῇ ΔA εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A, τῇ ὑπὸ ΑΔΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΔAE· καὶ ἐκβεβλήθω ἐπ' εὐθείας τῇ AE εὐθεῖα ἡ AZ.

Καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς BΓ, EZ εὐθεῖα ἐμπέπτωκεν ἡ AΔ τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ EAΔ, AΔΓ ἴσας ἀλλήλαις πεποίηκε, παράλληλος ἄρα ἐστὶν ἡ EZ τῇ BΓ.

Διὰ τοῦ δοθέντος ἄρα σημείου τοῦ A, τῇ δοθείσῃ εὐθείᾳ τῇ BΓ παράλληλος εὐθεῖα γραμμὴ ἦκται ἡ EAZ. ὅπερ ἔδει ποιῆσαι.

PROP. XXXII. THEOR.

Omnis trianguli uno latere producto, exterior angulus duobus interioribus & oppoſitis eſt æqualis; & trianguli tres interiores anguli duobus rectis ſunt æquales.

SIT triangulum ABΓ, & unum ipſius latus BΓ producatur in Δ: dico angulum exteriorem AΓΔ duobus interioribus & oppoſitis ΓAB, ABΓ æqualem eſſe; & trianguli tres in-

ΠΡΟΤΑΣΙΣ λβ'.

Παντὸς τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης, ἡ ἐκτὸς γωνία δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ἴση ἐστί· καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἔστω τρίγωνον τὸ ABΓ, καὶ προσεκβεβλήσθω αὐτοῦ μία πλευρὰ ἡ BΓ ἐπὶ τὸ Δ· λέγω ὅτι ἡ ἐκτὸς γωνία ἡ ὑπὸ AΓΔ ἴση ἐστὶ τοῖς δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ταῖς ὑπὸ ΓAB, ABΓ· καὶ αἱ ἐντὸς

τρίγωνα τρεῖς γωνίαι, αἱ ὑπὸ ΑΒΓ, ΒΓΑ, ΓΑΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

teriores angulos ΑΒΓ, ΒΓΑ, ΓΑΒ duobus rectis esse æquales.



Ηχθω γὰρ, διὰ τοῦ Γ σημείου, τῇ ΑΒ εὐθείᾳ παράλληλος ἡ ΓΕ.

Καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΕ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΑΓ· αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΒΑΓ, ΑΓΕ ἴσαι ἀλλήλαις εἰσί. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΕ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΒΔ· ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΕΓΔ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΑΒΓ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΒΑΓ ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΑΓΔ ἐκτὸς γωνία ἴση ἐστὶ δυσὶ τοῖς ἐκτὸς καὶ ἀπεναντίον τοῖς ὑπὸ ΒΑΓ, ΑΒΓ.

Ducatur enim, per punctum Γ, [per 31. prop.] ipsi ΑΒ rectæ parallela ΓΕ.

Et quoniam ΑΒ ipsi ΓΕ parallela est, & in ipsas incidit ΑΓ: alterni anguli ΒΑΓ, ΑΓΕ [per 29. prop.] inter se æquales sunt. rursus, quoniam ΑΒ parallela est ipsi ΓΕ, & in ipsas incidit recta linea ΒΔ: exterior angulus ΕΓΔ interiori & opposito ΑΒΓ est æqualis. ostensus autem est angulus ΑΓΕ æqualis angulo ΒΑΓ: quare totus ΑΓΔ exterior angulus æqualis est duobus interioribus & oppositis ΒΑΓ, ΑΒΓ.

ΚΟΙΝΗ προσκείσθω ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΓΒ τρισὶ ταῖς ὑπὸ ΑΒΓ, ΒΓΑ, ΓΑΒ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΑΓΔ, ΑΓΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσί· καὶ αἱ ὑπὸ ΑΓΒ, ΓΒΑ, ΓΑΒ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσί.

Communis addatur ΑΓΒ: anguli igitur ΑΓΔ, ΑΓΒ tribus ΑΒΓ, ΒΓΑ, ΓΑΒ sunt æquales. sed [per 13. prop.] anguli ΑΓΔ, ΑΓΒ sunt æquales duobus rectis: ergo & ΑΓΒ, ΓΒΑ, ΓΑΒ duobus rectis sunt æquales.

Παντὸς ἄρα τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης, ἡ ἐκτὸς γωνία δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ἴση ἐστί· καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὅπερ ἔδει δεῖξαι.

Omnis igitur trianguli uno latere producto, exterior angulus duobus interioribus & oppositis est æqualis; & trianguli tres interiores anguli duobus rectis sunt æquales. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λγ'.

Αἱ τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι εὐθεῖαι, καὶ αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν.

Prop. XXXIII. Theor.

Quæ æquales & parallelas ad easdem partes conjungunt rectæ lineæ, ipsæ etiam sunt æquales & parallelæ.

Ἔστωσαν ἴσαι τε καὶ παράλληλοι αἱ ΑΒ, ΓΔ, καὶ ἐπιζευγνύτωσαν αὐτὰς ἐπὶ τὰ αὐτὰ μέρη εὐθεῖαι αἱ ΑΓ, ΒΔ· λέγω ὅτι καὶ αἱ ΑΓ, ΒΔ ἴσαι καὶ παράλληλοί εἰσιν.

Sint æquales & parallelæ ΑΒ, ΓΔ, & ipsas conjungant ad easdem partes rectæ lineæ ΑΓ, ΒΔ: dico ΑΓ, ΒΔ æquales & parallelas esse.

Ἐπεζεύχθω γὰρ ἡ ΒΓ.

Jungatur enim ΒΓ.



Καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΓ· αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΒΓ, δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΓΔ, ΒΓ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση ἐστίν· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΒΔ ἐστὶν ἴση, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστί, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΓΒΔ. καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς ΑΓ, ΒΔ εὐθεῖα ἐμπέπτωκε ἡ ΒΓ τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΑΓΒ, ΓΒΔ ἴσας ἀλλήλαις ποιοῦσα· παράλληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΒΔ. ἐδείχθη δὲ αὐτῇ καὶ ἴση.

Et quoniam ΑΒ parallela est ipsi ΓΔ, & in ipsas incidit ΒΓ: alterni anguli ΑΒΓ, ΒΓΔ [per 29. prop.] æquales sunt. rursus, quoniam ΑΒ est æqualis ΓΔ, communis autem ΒΓ, duæ ΑΒ, ΒΓ duabus ΓΔ, ΒΓ sunt æquales; & angulus ΑΒΓ æqualis angulo ΒΓΔ: basis igitur ΑΓ [per 4. prop.] basi ΒΔ est æqualis, triangulumque ΑΒΓ æquale triangulo ΒΓΔ, & reliqui anguli reliquis angulis æquales erunt, alter alteri, quibus æqualia latera subtenduntur: ergo angulus ΑΓΒ angulo ΓΒΔ est æqualis. & quoniam in duas rectas lineas ΑΓ, ΒΔ recta ΒΓ incidens alternos angulos ΑΓΒ, ΓΒΔ æquales inter se efficit: parallela est [per 27. prop.] ΑΓ ipsi ΒΔ. ostensa autem est & eidem æqualis.

Αἱ ἄρα τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι εὐθεῖαι, καὶ αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν. ὅπερ ἔδει δεῖξαι.

Quæ igitur æquales & parallelas ad easdem partes conjungunt rectæ lineæ, ipsæ etiam sunt æquales & parallelæ. quod erat demonstrandum.

Prop. XXXIV. Theor.

Parallelogrammorum ſpatiorum tam latera oppoſita quam anguli oppoſiti inter ſe æquantur, & illa diameter bifariam ſecat.

SIT parallelogrammum ΑΓΔΒ, cujus autem diameter ΒΓ: dico ΑΓΔΒ parallelogrammi latera oppoſita & angulos oppoſitos inter ſe æquari, & diametrum ΒΓ ipſum bifariam ſecare.

Quoniam enim parallela eſt ΑΒ ipſi ΓΔ, & in ipſas incidit recta linea ΒΓ: anguli alterni ΑΒΓ, ΒΓΔ [per 29. prop.] inter ſe ſunt æquales. rurſus, quoniam ΑΓ ipſi ΒΔ parallela eſt, & in ipſas incidit ΒΓ, alterni anguli ΑΓΒ, ΓΒΔ ſunt inter ſe æquales: duo igitur triangula ſunt ΑΒΓ, ΓΒΔ, quæ duos angulos ΑΒΓ, ΒΓΑ duobus angulis ΒΓΔ, ΓΒΔ æquales habent, alterum alteri; & unum latus uni lateri æquale, quod æqualibus adjacet angulis, utrique commune ΒΓ: ergo & reliqua latera [per 26. prop.] reliquis lateribus æqualia habebunt, alterum alteri, & reliquum angulum reliquo angulo æqualem: æquale igitur eſt latus quidem ΑΒ lateri ΓΔ, latus vero ΑΓ ipſi ΒΔ, & angulus ΒΑΓ angulo ΒΔΓ. & quoniam angulus ΑΒΓ eſt æqualis angulo ΒΓΔ, & angulus ΓΒΔ angulo ΑΓΒ: erit totus angulus ΑΒΔ æqualis toti ΑΓΔ. oſtenſus autem eſt & angulus ΒΑΓ angulo ΒΔΓ æqualis.



Parallelogrammorum igitur ſpatiorum latera oppoſita & anguli oppoſiti inter ſe æquantur.

Dico etiam diametrum eas bifariam ſecare. quoniam enim æqualis eſt ΑΒ ipſi ΓΔ, communis autem ΒΓ; duæ ΑΒ, ΒΓ duobus ΔΓ, ΓΒ ſunt æquales, altera alteri, & angulus ΑΒΓ æqualis eſt angulo ΒΓΔ: baſis igitur ΑΓ [per 4. prop.] baſi ΒΔ æqualis eſt, ideoque triangulum ΑΒΓ triangulo ΒΓΔ æquale erit.

Ergo diameter ΒΓ parallelogrammum ΑΓΔΒ bifariam ſecat. quod erat demonſtrandum.

Prop. XXXV. Theor.

Parallelogramma, ſuper eadem baſi & in eiſdem parallelis conſtituta, inter ſe ſunt æqualia.

SInt parallelogramma ΑΒΓΔ, ΕΒΓΖ ſuper eadem baſi ΒΓ & in eiſdem parallelis ΑΖ, ΒΓ conſtituta: dico ΑΒΓΔ parallelogrammum ΕΒΓΖ parallelogrammo eſſe æquale.

Quoniam enim parallelogrammum eſt ΑΒΓΔ, ΑΔ [per 34. prop.] æqualis eſt ΒΓ. eadem quoque ratione & ΕΖ eſt æqualis ΒΓ: quare & ΑΔ æqualis erit ΕΖ. & communis ΔΕ: tota igitur ΑΕ toti ΔΖ [per 2. ax.] eſt æqualis. eſt autem

ΠΡΟΤΑΣΙΣ λδ'.

Τῶν παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσί, καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει.

Ἔστω παραλληλόγραμμον τὸ ΑΓΔΒ, διάμετρος δὲ αὐτοῦ ἡ ΒΓ· λέγω ὅτι τοῦ ΑΓΔΒ παραλληλογράμμου αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσί, καὶ ἡ ΒΓ διάμετρος αὐτὸ δίχα τέμνει.

Ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΒΓ· αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσί. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΒΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΓΒ, ΓΒΔ ἴσαι ἀλλήλαις εἰσί· δύο δὴ τρίγωνά ἐστι τὰ ΑΒΓ, ΓΒΔ τὰς δύο γωνίας τὰς ὑπὸ ΑΒΓ, ΒΓΑ δυσὶ ταῖς ὑπὸ ΒΓΔ, ΓΒΔ ἴσας ἔχοντα, ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν τῇ μιᾷ πλευρᾷ ἴσην, τὴν πρὸς ταῖς ἴσαις γωνίαις, κοινὴν αὐτῶν τὴν ΒΓ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς ἴσας ἕξει, ἑκατέραν ἑκατέρᾳ, καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ἴση ἄρα ἡ μὲν ΑΒ πλευρὰ τῇ ΓΔ, ἡ δὲ ΑΓ τῇ ΒΔ, καὶ ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΒΔΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΒΓΔ, ἡ δὲ ὑπὸ ΓΒΔ τῇ ὑπὸ ΑΓΒ· ὅλη ἄρα ἡ ὑπὸ ΑΒΔ ὅλῃ τῇ ὑπὸ ΑΓΔ ἴση ἐστίν. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΒΔΓ ἴση.

Τῶν ἄρα παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

Λέγω δὴ ὅτι καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΒΓ, δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΔΓ, ΓΒ ἴσαι εἰσίν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση ἐστί· καὶ βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΒΔ ἴση ἐστί, καὶ τὸ ΑΒΓ ἄρα τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν.

Ἡ ἄρα ΒΓ διάμετρος δίχα τέμνει τὸ ΑΓΔΒ παραλληλόγραμμον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ λε'.

Τὰ παραλληλόγραμμα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω παραλληλόγραμμα τὰ ΑΒΓΔ, ΕΒΓΖ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΖ, ΒΓ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓΔ τῷ ΕΒΓΖ.

Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ ΑΒΓΔ, τῇ ΒΓ ἴση ἐστὶν ἡ ΑΔ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΕΖ τῇ ΒΓ ἴση ἐστίν· ὥστε καὶ ἡ ΑΔ τῇ ΕΖ ἴση ἐστί. κοινὴ ἡ ΔΕ· ὅλη ἄρα ἡ ΑΕ ὅλῃ τῇ ΔΖ ἐστιν ἴση. ἐστὶ δὲ καὶ ἡ ΑΒ

τῇ

τῇ ΔΓ ἴση· δύο δὴ αἱ ΕΑ, ΑΒ δυσὶ ταῖς ΖΔ, ΔΓ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΖΔΓ γωνίᾳ τῇ ὑπὸ ΕΑΒ ἴση ἐστὶν, ἡ ἐκτὸς τῇ ἐντός· βάσις ἄρα ἡ ΕΒ βάσει τῇ ΖΓ ἴση ἐστὶ, καὶ τὸ ΕΑΒ τρίγωνον τῷ ΖΔΓ τριγώνῳ ἴσον ἐστί. κοινὸν ἀφῃρήσθω τὸ ΔΗΕ· λοιπὸν ἄρα τὸ ΑΒΗΔ τραπέζιον λοιπῷ τῷ ΕΗΓΖ τραπεζίῳ ἴσον ἐστί. κοινὸν προσκείσθω τὸ ΗΒΓ τρίγωνον· ὅλον ἄρα τὸ ΑΒΓΔ παραλληλόγραμμον ὅλῳ τῷ ΕΒΓΖ παραλληλογράμμῳ ἴσον ἐστί.



Τὰ ἄρα παραλληλόγραμμα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

& AB [per 34. prop.] æqualis ΔΓ; ergo duæ EA, AB duabus ZΔ, ΔΓ ſunt æquales, altera alteri, & angulus ZΔΓ [per 29. prop.] æqualis angulo EAB, exterior interiori: baſis igitur EB [per 4. prop.] baſi ZΓ eſt æqualis; & triangulum EAB æquale triangulo ZΔΓ. commune auferatur ΔHE: reliquum igitur trapezium ABHΔ [per 3. ax.] reliquo trapezio EHΓZ eſt æquale. commune addatur HBΓ triangulum: ergo totum parallelogrammum ABΓΔ toti parallelogrammo EBΓZ æquale erit.

Parallelogramma igitur, ſuper eadem baſi & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Τὰ παραλληλόγραμμα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν.

PROP. XXXVI. THEOR.

Parallelogramma, ſuper æqualibus baſibus & in eiſdem parallelis conſtituta, inter ſe ſunt æqualia.

Ἐστω παραλληλόγραμμα τὰ ΑΒΓΔ, ΕΖΗΘ ἐπὶ ἴσων βάσεων τῶν ΒΓ, ΖΗ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΘ, ΒΗ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΖΗΘ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΓΘ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΖΗ, ἀλλὰ καὶ ἡ ΖΗ τῇ ΕΘ ἐστὶν ἴση· καὶ ἡ ΒΓ ἄρα τῇ ΕΘ ἐστὶν ἴση. εἰσὶ δὲ καὶ παράλληλοι καὶ ἐπιζευγνύουσιν αὐτὰς αἱ ΒΕ, ΓΘ, αἱ δὲ τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι ἴσαι τε καὶ παράλληλοί εἰσι· καὶ αἱ ΕΒ, ΓΘ ἄρα ἴσαι τέ εἰσι καὶ παράλληλοι· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΕΒΓΘ, καὶ ἔστιν ἴσον τῷ ΑΒΓΔ· βάσιν τε γὰρ αὐτῷ τὴν αὐτὴν ἔχει τὴν ΒΓ, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστὶν αὐτῷ, ταῖς ΒΓ, ΑΘ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΕΖΗΘ τῷ αὐτῷ τῷ ΕΒΓΘ ἐστὶν ἴσον· ὥστε καὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΖΗΘ ἴσον ἐστί.

Τὰ ἄρα παραλληλόγραμμα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.



SInt parallelogramma ABΓΔ, EZHΘ ſuper æqualibus baſibus BΓ, ZH & in eiſdem parallelis AΘ, BH conſtituta: dico parallelogrammum ABΓΔ parallelogrammo EZHΘ eſſe æquale.

Conjungantur enim BE, ΓΘ.

Et quoniam æqualis eſt BΓ ipſi ZH, & ZH ipſi EΘ; erit & BΓ ipſi EΘ æqualis. ſunt autem & parallelæ & ipſas conjungunt BE, ΓΘ; quæ autem æquales & parallelas ad eaſdem partes conjungunt [per 33. prop.] ſunt æquales & parallelæ: ergo BE, ΓΘ & æquales ſunt & parallelæ: quare EBΓΘ parallelogrammum eſt, & [per 35. prop.] æquale parallelogrammo ABΓΔ; baſim enim eandem habet BΓ & in eiſdem parallelis BΓ, AΘ conſtituitur. ſimili ratione & EZHΘ eidem EBΓΘ eſt æquale: ergo & parallelogrammum ABΓΔ eſt æquale parallelogrammo EZHΘ.

Parallelogramma igitur, ſuper æqualibus baſibus & in eiſdem parallelis conſtituta, inter ſe ſunt æqualia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λζ'.

Τὰ τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν.

PROP. XXXVII. THEOR.

Triangula, ſuper eadem baſi & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia.

Ἐστω τρίγωνα τὰ ΑΒΓ, ΔΒΓ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις τῇ ΑΔ, ΒΓ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΒΓ τριγώνῳ.

SInt triangula ABΓ, ΔBΓ ſuper eadem baſi BΓ & in eiſdem parallelis AΔ, BΓ conſtituta: dico triangulum ABΓ triangulo ΔBΓ eſſe æquale.

Producatur A Δ ex utraque parte in E, Z puncta, & per B quidem ipſi Γ A [per 31. prop.] parallela ducatur B E, per Γ vero ipſi B Δ parallela ducatur Γ Z.



Parallelogrammum igitur eſt utrumq; ipſorum E B Γ A, Δ B Γ Z: & parallelogrammum E B Γ A [per 35. prop.] eſt æquale parallelogrammo Δ B Γ Z; etenim ſuper eadem ſunt baſi B Γ & in eiſdem parallelis B Γ, E Z: eſtque parallelogrammi quidem E B Γ A dimidium A B Γ triangulum; diameter enim A B ipſum bifariam ſecat: parallelogrammi vero Δ B Γ Z dimidium triangulum Δ B Γ; diameter enim Δ Γ [per 34. prop.] ipſum bifariam ſecat. æqualium autem dimidia inter ſe ſunt æqualia: ergo triangulum A B Γ triangulo Δ B Γ eſt æquale.

Triangula igitur, ſuper eadem baſi & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia. quod erat demonſtrandum.

Ἐκβεβλήθω ἡ Α Δ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Ε, Ζ σημεῖα, καὶ διὰ μὲν τοῦ Β τῇ Γ Α παράλληλος ἤχθω ἡ Β Ε, διὰ δὲ τοῦ Γ τῇ Β Δ παράλληλος ἤχθω ἡ Γ Ζ.

Παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν Ε Β Γ Α, Δ Β Γ Ζ· ἔστι δὲ τὸ Ε Β Γ Α τῷ Δ Β Γ Ζ, ὅτι τε γὰρ ἐπὶ τῆς αὐτῆς βάσεώς ἐστι τῆς Β Γ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς Β Γ, Ε Ζ· ἔστι δὲ τοῦ μὲν Ε Β Γ Α παραλληλογράμμου ἥμισυ τὸ Α Β Γ τρίγωνον, ἡ γὰρ Α Β διάμετρος αὐτὸ δίχα τέμνει· τοῦ δὲ Δ Β Γ Ζ παραλληλογράμμου ἥμισυ τὸ Δ Β Γ τρίγωνον, ἡ γὰρ Δ Γ διάμετρος αὐτὸ δίχα τέμνει. τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ Α Β Γ τρίγωνον τῷ Δ Β Γ τριγώνῳ.

Τὰ ἄρα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXVIII. Theor.

Triangula, ſuper baſibus æqualibus & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia.

ΠΡΟΤΑΣΙΣ λη'.

Τὰ τρίγωνα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις εἰσίν.

SInt triangula A B Γ, Δ E Z ſuper æqualibus baſibus B Γ, E Z & in eiſdem parallelis B Z, A Δ conſtituta: dico A B Γ triangulum eſſe æquale triangulo Δ E Z.

Producatur enim A Δ ex utraque parte in H, Θ puncta, & per B quidem ipſi Γ A [per 31. prop.] parallela ducatur B H, per Z vero ducatur Z Θ parallela ipſi Δ E.



Parallelogrammum igitur eſt utrumque ipſorum H B Γ A, Δ E Z Θ: atque eſt H B Γ A [per 36. prop.] æquale Δ E Z Θ; ſuper æqualibus enim ſunt baſibus B Γ, E Z & in eiſdem parallelis B Z, H Θ: parallelogrammi vero H B Γ A dimidium eſt A B Γ triangulum, nam [per 34. prop.] diameter A B ipſum bifariam ſecat: & parallelogrammi Δ E Z Θ dimidium eſt triangulum Z E Δ; diameter enim Δ Z ipſum ſecat bifariam. æqualium autem dimidia ſunt inter ſe æqualia: ergo A B Γ triangulum triangulo Δ E Z eſt æquale.

Triangula igitur, ſuper æqualibus baſibus & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia. quod erat demonſtrandum.

Ἔστω τρίγωνα Α Β Γ, Δ Ε Ζ ἐπὶ ἴσων βάσεων ὄντα τῶν Β Γ, Ε Ζ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς Β Ζ, Α Δ· λέγω ὅτι ἴσον ἐστὶ τὸ Α Β Γ τρίγωνον τῷ Δ Ε Ζ τριγώνῳ.

Ἐκβεβλήθω γὰρ ἡ Α Δ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Η, Θ, καὶ διὰ μὲν τοῦ Β τῇ Γ Α παράλληλος ἤχθω ἡ Β Η, διὰ δὲ τοῦ Ζ τῇ Δ Ε παράλληλος ἤχθω ἡ Ζ Θ.

Παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν Η Β Γ Α, Δ Ε Ζ Θ· καὶ ἴσον τὸ Η Β Γ Α τῷ Δ Ε Ζ Θ, ἐπὶ τε γὰρ ἴσων βάσεών εἰσι τῶν Β Γ, Ε Ζ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς Β Ζ, Η Θ· καὶ ἔστι τοῦ μὲν Η Β Γ Α παραλληλογράμμου ἥμισυ τὸ Α Β Γ τρίγωνον, ἡ γὰρ Α Β διάμετρος δίχα αὐτὸ τέμνει· τοῦ δὲ Δ Ε Ζ Θ παραλληλογράμμου ἥμισυ τὸ Ζ Ε Δ τρίγωνον, ἡ γὰρ Ζ Δ διάμετρος δίχα αὐτὸ τέμνει. τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ Α Β Γ τρίγωνον τῷ Δ Ε Ζ τριγώνῳ.

Τὰ ἄρα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ λθ'.

Τὰ ἴσα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐπὶ τοῦ αὐτοῦ μέρη, ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.

Ἔστω τρίγωνα ἴσα τὰ ΑΒΓ, ΔΒΓ, ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα τῆς ΒΓ καὶ ἐπὶ τὰ αὐτὰ μέρη· λέγω ὅτι ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. ἐπεζεύχθω γὰρ ἡ ΑΔ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΓ.

Εἰ γὰρ μή, ἤχθω διὰ τοῦ Α σημείου τῇ ΒΓ εὐθεῖα παράλληλος ἡ ΑΕ, καὶ ἐπεζεύχθω ἡ ΕΓ.

Ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ· ἐπὶ τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ τῇ ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΑΕ. ἀλλὰ τὸ ΑΒΓ τῷ ΔΒΓ ἐστὶν ἴσον· καὶ τὸ ΔΒΓ ἄρα τρίγωνον τῷ ΕΒΓ ἴσον ἐστίν, τὸ μεῖζον τῷ ἐλάττονι, ὅπερ ἀδύνατον· οὐκ ἄρα παράλληλός ἐστιν ἡ ΑΕ τῇ ΒΓ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΑΔ· ἡ ΑΔ ἄρα τῇ ΒΓ ἐστὶ παράλληλος.



Τὰ ἄρα ἴσα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

PROP. XXXIX. THEOR.

Triangula æqualia, ſuper eadem baſi & ad eaſdem partes conſtituta, ſunt in eiſdem parallelis.

SInt æqualia triangula ABΓ, ΔBΓ, ſuper eadem baſi BΓ conſtituta & ad eaſdem partes: dico in eiſdem eſſe parallelis. ducatur enim AΔ: dico AΔ parallelam eſſe BΓ.

Si enim non, ducatur per A punctum [per 31. prop.] rectæ BΓ parallela recta AE, & ducatur EΓ.

Æquale igitur eſt [per 37. prop.] ABΓ triangulum triangulo EBΓ; ſuper eadem enim eſt baſi BΓ & in eiſdem parallelis BΓ, AE. ſed [ex hyp.] ABΓ triangulum triangulo ΔBΓ eſt æquale: ergo & triangulum ΔBΓ æquale eſt ipſi EBΓ triangulo, majus minori, quod fieri non poteſt: non eſt igitur AE ipſi BΓ parallela. ſimiliter oſtendemus neque ullam aliam parallelam eſſe præter ipſam AΔ: ergo AΔ ipſi BΓ eſt parallela.

Triangula igitur æqualia, ſuper eadem baſi & ad eaſdem partes conſtituta, ſunt in eiſdem parallelis. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μ'.

Τὰ ἴσα τρίγωνα, τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.

Ἔστω τρίγωνα ἴσα τὰ ΑΒΓ, ΓΔΕ, ἐπὶ ἴσων βάσεων ὄντα τῶν ΒΓ, ΓΕ καὶ ἐπὶ τὰ αὐτὰ μέρη· λέγω ὅτι καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. ἐπεζεύχθω γὰρ ἡ ΑΔ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΕ.

Εἰ γὰρ μή, ἤχθω διὰ τοῦ Α τῇ ΒΕ παράλληλος ἡ ΖΑ, καὶ ἐπεζεύχθω ἡ ΖΕ.

Ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΖΓΕ τριγώνῳ· ἐπὶ τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΓ, ΓΕ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΕ, ΑΖ. ἀλλὰ τὸ ΑΒΓ τρίγωνον ἴσον ἐστὶ τῷ ΔΓΕ τριγώνῳ· καὶ τὸ ΔΓΕ τρίγωνον ἄρα ἴσον ἐστὶ τῷ ΖΓΕ τριγώνῳ, τὸ μεῖζον τῷ ἐλάσσονι, ὅπερ ἀδύνατον· οὐκ ἄρα παράλληλός ἐστιν ἡ ΑΖ τῇ ΒΕ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΑΔ· ἡ ΑΔ ἄρα τῇ ΒΕ παράλληλός ἐστι.



Τὰ ἄρα ἴσα τρίγωνα, τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, ἐν ταῖς αὐταῖς ἐστι παραλλήλοις. ὅπερ ἔδει δεῖξαι.

PROP. XL. THEOR.

Triangula æqualia, ſuper baſibus æqualibus & ad eaſdem partes conſtituta, ſunt in eiſdem parallelis.

SInt triangula æqualia ABΓ, ΓΔE, ſuper æqualibus baſibus BΓ, ΓE & ad eaſdem partes conſtituta: dico etiam in eiſdem eſſe parallelis. ducatur enim AΔ: dico AΔ ipſi BE parallelam eſſe.

Nam ſi non eſt, ducatur per A ipſi BE parallela ZA, & ZE ducatur.

Triangulum igitur ABΓ [per 38 prop.] triangulo ZΓE eſt æquale; nam & ſuper æqualibus baſibus BΓ, ΓE & in eiſdem parallelis BE, AZ conſtituuntur. ſed triangulum ABΓ æquale eſt triangulo ΔΓE: ergo & triangulum ΔΓE triangulo ZΓB æquale erit, majus minori, quod fieri non poteſt: non eſt igitur AZ ipſi BE parallela. ſimiliter demonſtrabimus neque ullam aliam parallelam eſſe præter AΔ: ergo AΔ ipſi BE parallela erit.

Æqualia igitur triangula, ſuper baſibus æqualibus & ad eaſdem partes conſtituta, ſunt in eiſdem parallelis. quod erat demonſtrandum.

PROP.

Prop. XLI. Theor.

Si parallelogrammum & triangulum eandem habeant baſim, ſintque in eiſdem parallelis : parallelogrammum ipſius trianguli duplum erit.

PArallelogrammum enim ABΓΔ & triangulum EBΓ baſim habeant eandem BΓ, & ſint in eiſdem parallelis BΓ, AE : dico parallelogrammum ABΓΔ trianguli BEΓ duplum eſſe.

Ducatur enim AΓ.

Triangulum igitur ABΓ triangulo EBΓ [per 37. prop.] eſt æquale; namque ſuper eadem baſi BΓ, & in eiſdem parallelis BΓ, AE conſtituitur. ſed ABΓΔ parallelogrammum duplum eſt trianguli ABΓ, diameter enim AΓ [per 34. prop.] ipſum bifariam ſecat: quare & ABΓΔ parallelogrammum ipſius EBΓ trianguli duplum erit.



Si igitur parallelogrammum & triangulum eandem habeant baſim, & ſint in eiſdem parallelis: parallelogrammum ipſius trianguli duplum erit. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μά.

Ἐὰν παραλληλόγραμμον τριγώνῳ βάσιν τὴν αὐτὴν ἔχῃ καὶ τὸν αὐτὸν, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ· διπλάσιον ἔσται τὸ παραλληλόγραμμον τοῦ τριγώνου.

ΠΑραλληλόγραμμον γὰρ τὸ ABΓΔ τριγώνῳ τῷ EBΓ βάσιν τὴν αὐτὴν ἐχέτω τὴν αὐτὴν τὴν BΓ, καὶ ἐν ταῖς αὐταῖς ἔστω παραλλήλοις ταῖς BΓ, AE· λέγω ὅτι διπλάσιόν ἐστι τὸ ABΓΔ παραλληλόγραμμον τοῦ BEΓ τριγώνου.

Ἐπεζεύχθω γὰρ ἡ AΓ.

Ἴσον δή ἐστι τὸ ABΓ τῷ EBΓ τριγώνῳ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς BΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς BΓ, AE. ἀλλὰ τὸ ABΓΔ παραλληλόγραμμον διπλάσιόν ἐστι τοῦ ABΓ τριγώνου, ἡ γὰρ AΓ διάμετρος αὐτὸ δίχα τέμνει· ὥστε τὸ ABΓΔ παραλληλόγραμμον καὶ τοῦ EBΓ τριγώνου ἐστὶ διπλάσιον.

Ἐὰν ἄρα παραλληλόγραμμον τριγώνῳ βάσιν τὴν αὐτὴν ἔχῃ καὶ τὸν αὐτὸν, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ· διπλάσιόν ἐστι τὸ παραλληλόγραμμον τοῦ τριγώνου. ὅπερ ἔδει δεῖξαι.

Prop. XLII. Probl.

Dato triangulo æquale parallelogrammum conſtituere in dato angulo rectilineo.

SIT datum triangulum ABΓ, datus autem rectilineus angulus Δ: oportet itaque dato triangulo ABΓ æquale parallelogrammum conſtituere in angulo rectilineo ipſi Δ æquali.

Secetur BΓ [per 10. prop.] bifariam in E, & ducatur AE, & ad rectam lineam EΓ atque ad punctum in ea E conſtituatur [per 23. prop.] angulus ΓEZ æqualis ipſi Δ, & per A quidem ipſi EΓ [per 31. prop.] parallela ducatur AH, per Γ vero ipſi ZE ducatur parallela ΓH: parallelogrammum igitur eſt ZEΓH.



Et quoniam BE eſt æqualis EΓ, erit & ABE triangulum [per 38. prop.] triangulo AEΓ æquale; ſuper æqualibus enim ſunt baſibus BE, EΓ, & in eiſdem parallelis BΓ, AH: ergo triangulum ABΓ trianguli AEΓ eſt duplum. eſt autem [per 41. prop.] parallelogrammum ZEΓH duplum

ΠΡΟΤΑΣΙΣ μβ'.

Τῷ δοθέντι τριγώνῳ ἴσον παραλληλόγραμμον συστήσασθαι *ἐν τῇ δοθείσῃ εὐθυγράμμῳ γωνίᾳ.

ΕΣτω τὸ μὲν δοθὲν τρίγωνον τὸ ABΓ, ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία Δ· δεῖ δὴ τῷ ABΓ τριγώνῳ ἴσον παραλληλόγραμμον συστήσασθαι ἐν ἴσῃ τῇ Δ γωνίᾳ εὐθυγράμμῳ.

Τετμήσθω ἡ BΓ δίχα κατὰ τὸ E, καὶ ἐπεζεύχθω ἡ AE, καὶ συνεστάτω πρὸς τῇ EΓ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ E τῇ Δ γωνίᾳ ἴση ἡ ὑπὸ ΓEZ, καὶ διὰ μὲν τοῦ A τῇ EΓ παράλληλος ἤχθω ἡ AH, διὰ δὲ τοῦ Γ τῇ ZE παράλληλος ἤχθω ἡ ΓH· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ZEΓH.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ BE τῇ EΓ, ἴσον ἐστὶ καὶ τὸ ABE τρίγωνον τῷ AEΓ τριγώνῳ· ἐπί τε γὰρ ἴσων βάσεων εἰσὶ τῶν BE, EΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς BΓ, AH· διπλάσιον ἄρα ἐστὶ τὸ ABΓ τοῦ AEΓ τριγώνου. ἔστι δὲ καὶ τὸ ZEΓH παραλληλόγραμμον

* Legendum videtur, ἐν ἴσῃ τῇ δοθείσῃ, ſic *Proclus* in 44. prop.

μον

μεν διαλάσιον τῷ ΑΕΓ τριγώνῳ. βάσιν τε γὰρ αὐτὸ τὴν αὐτὴν ἔχει καὶ ἐν ταῖς αὐταῖς ἐστιν αὐτῷ παραλλήλοις· ἴσον ἄρα ἐστὶ τὸ ΖΕΓΗ παραλληλόγραμμον τῷ ΑΒΓ τριγώνῳ, καὶ ἔχει τὴν ὑπὸ ΓΕΖ γωνίαν ἴσην τῇ δοθείσῃ τῇ Δ.

Τῷ ἄρα δοθέντι τριγώνῳ τῷ ΑΒΓ ἴσον παραλληλόγραμμον συνέσταται τὸ ΖΕΓΗ, ἐν γωνίᾳ τῇ ὑπὸ ΓΕΖ, ἥ ἐστιν ἴση τῇ Δ. ὅπερ ἔδει ποιῆσαι.

trianguli ΑΒΓ; baſim enim eandem habet, & in eiſdem eſt parallelis: æquale igitur eſt [per 6. ax.] ΖΕΓΗ parallelogrammum triangulo ΑΒΓ, habetque ΓΕΖ angulum æqualem angulo dato Δ.

Dato igitur triangulo ΑΒΓ æquale parallelogrammum ΖΕΓΗ conſtitutum eſt, in angulo ΓΕΖ, qui angulo Δ eſt æqualis. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ μγ'.

Παντὸς παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον παραλληλογραμμων τὰ παραπληρώματα ἴσα ἀλλήλοις ἐστίν.

Prop. XLIII. Theor.

In omni parallelogrammo complementa eorum quæ circa diametrum ſunt parallelogrammorum inter ſe ſunt æqualia.

Ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, περὶ δὲ τὴν ΑΓ παραλληλόγραμμα μὲν ἔστω τὰ ΕΘ, ΖΗ, τὰ δὲ λεγόμενα παραπληρώματα τὰ ΒΚ, ΚΔ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΒΚ παραπλήρωμα τῷ ΚΔ παραπληρώματι.

Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΔΓ τριγώνῳ. πάλιν, ἐπεὶ τὸ ΕΚΘΑ παραλληλόγραμμόν ἐστι, διάμετρος δὲ αὐτοῦ ἡ ΑΚ, ἴσον ἐστὶ τὸ ΑΕΚ τρίγωνον τῷ ΑΘΚ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΚΖΓ τρίγωνον τῷ ΚΗΓ ἐστὶν ἴσον. ἐπεὶ οὖν τὸ μὲν ΑΕΚ τρίγωνον τῷ ΑΘΚ τριγώνῳ ἐστὶν ἴσον, τὸ δὲ ΚΖΓ τῷ ΚΗΓ, τὸ ΑΕΚ τρίγωνον μετὰ τοῦ ΚΗΓ ἐστὶν ἴσον τῷ ΑΘΚ τριγώνῳ μετὰ τοῦ ΚΖΓ τριγώνου· ἔστι δὲ καὶ ὅλον τὸ ΑΒΓ τρίγωνον ὅλῳ τῷ ΑΔΓ ἴσον· λοιπῷ ἄρα τῷ ΚΔ παραπληρώματι ἴσον ἐστὶ τὸ ΒΚ παραπλήρωμα.



Παντὸς ἄρα παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον παραλληλογραμμων τὰ παραπληρώματα ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

SIT parallelogrammum ΑΒΓΔ, cujus diameter ΑΓ, & circa ipſam ΑΓ parallelogramma quidem ſint ΕΘ, ΖΗ, quæ vero dicuntur complementa ΒΚ, ΚΔ: dico ΒΚ complementum complemento ΚΔ eſſe æquale.

Quoniam enim parallelogrammum eſt ΑΒΓΔ, & ejus diameter ΑΓ, æquale eſt [per 34. prop.] triangulum ΑΒΓ triangulo ΑΔΓ. rurſus, quoniam ΕΚΘΑ parallelogrammum eſt, cujus diameter ΑΚ, triangulum ΑΕΚ triangulo ΑΘΚ æquale erit. eadem etiam ratione & triangulum ΚΖΓ triangulo ΚΗΓ eſt æquale. cum igitur triangulum quidem ΑΕΚ æquale ſit triangulo ΑΘΚ, triangulum vero ΚΖΓ ipſi ΚΗΓ, triangulum ΑΕΚ una cum triangulo ΚΗΓ æquale eſt triangulo ΑΘΚ una cum ΚΖΓ triangulo: eſt autem & totum triangulum ΑΒΓ æquale toti ΑΔΓ: reliquum igitur ΒΚ complementum [per 3. ax.] reliquo complemento ΚΔ eſt æquale.

In omni igitur parallelogrammo complementa eorum quæ circa diametrum ſunt parallelogrammorum inter ſe ſunt æqualia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μδ'.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν, τῷ δοθέντι τριγώνῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν, * ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Prop. XLIV. Probl.

Ad datam rectam lineam, dato triangulo æquale parallelogrammum applicare, in dato angulo rectilineo.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν τρίγωνον τὸ Γ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ Δ· δεῖ δὴ παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν ΑΒ, τῷ δοθέντι τριγώνῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ἐν ἴσῃ τῇ Δ γωνίᾳ.

Συνεστάτω τῷ Γ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕΖΗ, ἐν γωνίᾳ τῇ ὑπὸ ΕΒΗ, ἥ ἐστιν ἴση τῇ Δ· καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΒΕ τῇ

SIT data quidem recta linea ΑΒ, datum vero triangulum Γ, & datus angulus rectilineus Δ: oportet quidem ad datam rectam lineam ΑΒ, dato triangulo Γ æquale parallelogrammum applicare, in angulo ipſi Δ æquali.

Conſtituatur [per 42. prop.] triangulo Γ æquale parallelogrammum ΒΕΖΗ, in angulo ΕΒΗ, qui eſt æqualis angulo Δ; & ponatur ΒΕ in di-

* ἐν γωνίᾳ, ἥ ἐστιν ἴση τῇ δοθείσῃ. Procli.

rectum ipſi AB, producaturque ZH ad Θ, & per A alterutri ipſarum BH, EZ [per 31. prop.] parallela ducatur AΘ, & jungatur ΘB. & quoniam in parallelas AΘ, EZ recta linea ΘZ incidit, anguli AΘZ, ΘZE [per 29. prop.] duobus rectis ſunt æquales; quare BΘH, HZE duobus rectis ſunt minores: quæ vero à minoribus, quàm ſunt duo recti, in infinitum producuntur [per 11. ax.] conveniunt inter ſe: ergo ΘB, ZE productæ convenient. producantur [per 2. poſt.] & conveniant in K; perque K alterutri ipſarum EA, ZΘ [per 31. prop.] parallela ducatur KA; & AΘ, HB ad Λ, M puncta producantur.



Parallelogrammum igitur eſt ΘΛKZ, cujus diameter ΘK, & circa ΘK parallelogramma quidem ſunt AH, ME; ea vero quæ dicuntur complementa ΛB, BZ: ergo [per 43. prop.] AB ipſi BZ eſt æquale. eſt autem BZ æquale triangulo Γ: quare & ΛB triangulo Γ æquale erit. & quoniam HBE angulus æqualis eſt [per 15. prop.] angulo ABM, & æqualis eſt etiam HBE angulo Δ: erit & angulus ABM angulo Δ æqualis.

Ad datam igitur rectam lineam AB, dato triangulo Γ æquale parallelogrammum conſtituitur AB, in angulo ABM, qui eſt æqualis angulo Δ. quod erat faciendum.

AB. Ἤχθω ἡ ZH ἐπὶ τὸ Θ, καὶ διὰ μὲν τοῦ A ὁποτέρᾳ τῶν BH, EZ παράλληλος ἤχθω ἡ AΘ, καὶ ἐπεζεύχθω ἡ ΘB. καὶ ἐπεὶ εἰς παραλλήλους τὰς AΘ, EZ εὐθεῖα ἐμπέπτωκεν ἡ ΘZ, αἱ ἄρα ὑπὸ AΘZ, ΘZE γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ BΘH, HZE δύο ὀρθῶν ἐλάττονές εἰσιν· αἱ δὲ ἀπὸ ἐλασσόνων, ἢ δύο ὀρθῶν, εἰς ἄπειρον ἐκβαλλόμεναι συμπίπτουσιν· αἱ ΘB, ZE ἄρα ἐκβαλλόμεναι συμπεσοῦνται. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ K, καὶ διὰ τοῦ K σημείου ὁποτέρᾳ τῶν EA, ZΘ παράλληλος ἤχθω ἡ KΛ, καὶ ἐκβεβλήσθωσαν αἱ ΘA, HB ἐπὶ τὰ Λ, M σημεῖα.

Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΘΛKZ, διάμετρος δὲ αὐτοῦ ἡ ΘK, περὶ δὲ τὴν ΘK παραλληλόγραμμα μέν ἐστι τὰ AH, ME, τὰ δὲ λεγόμενα παραπληρώματα ΛB, BZ· ἴσον ἄρα ἐστὶ τὸ ΛB τῷ BZ. ἀλλὰ καὶ τὸ BZ τῷ Γ τριγώνῳ ἐστὶν ἴσον· καὶ τὸ ΛB ἄρα τῷ Γ ἐστὶν ἴσον. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ HBE γωνία τῇ ὑπὸ ABM, ἀλλὰ ἡ ὑπὸ HBE τῇ Δ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ABM τῇ Δ γωνίᾳ ἐστὶν ἴση.

Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν AB, τῷ δοθέντι τριγώνῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβέβληται τὸ ΛB, ἐν γωνίᾳ τῇ ὑπὸ ABM, ἥ ἐστιν ἴση τῇ Δ. ὅπερ ἔδει ποιῆσαι.

PROP. XLV. PROBL.

Rectilineo dato æquale parallelogrammum conſtituere, in dato angulo rectilineo.

ΠΡΟΤΑΣΙΣ με'.

Τῷ δοθέντι εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον συστήσασθαι, ἐν τῇ δοθείσῃ εὐθυγράμμῳ γωνίᾳ.

SIT datum rectilineum ABΓΔ, datus vero angulus rectilineus E: oportet rectilineo ABΓΔ æquale parallelogrammum conſtituere, in angulo ipſi E æquali.

Ducatur enim ΔB, & conſtituatur [per 42. prop.] triangulo AΔB æquale parallelogrammum ZΘ, in angulo ΘKZ, qui eſt æqualis angulo E: deinde ad rectam lineam HΘ applicetur triangulo ΔBΓ æquale parallelogrammum HM, in angulo HΘM, qui angulo E eſt æqualis.



Et quoniam angulus E æqualis eſt utrique ipſorum ΘKZ, HΘM: erit & ΘKZ angulo HΘM æqualis. communis addatur KΘH: angu-

ΕΣτω τὸ δοθὲν εὐθύγραμμον τὸ ABΓΔ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ E· δεῖ δὴ τῷ ABΓΔ εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον συστήσασθαι, ἐν ἴσῃ γωνίᾳ τῇ E.

Ἐπεζεύχθω γὰρ ἡ ΔB, καὶ συνεστάτω τῷ ABΔ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ZΘ, ἐν τῇ ὑπὸ ΘKZ γωνίᾳ, ἥ ἐστιν ἴση τῇ E· καὶ παραβεβλήσθω παρὰ τὴν HΘ εὐθεῖαν τῷ ΔBΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ HM, ἐν τῇ ὑπὸ HΘM γωνίᾳ, ἥ ἐστιν ἴση τῇ E.

Καὶ ἐπεὶ ἡ E γωνία ἑκατέρᾳ τῶν ὑπὸ ΘKZ, HΘM ἐστὶν ἴση· καὶ ἡ ἄρα ὑπὸ ΘKZ τῇ ὑπὸ HΘM ἴση ἐστίν. κοινὴ προσκείσθω ἡ ὑπὸ KΘH· αἱ ἄρα ὑπὸ

ὑπὸ ΖΚΘ, ΚΘΗ τῇ ὑπὸ ΚΘΗ, ΗΘΜ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΖΚΘ, ΚΘΗ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ὑπὸ ΚΘΗ, ΗΘΜ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. πρὸς δή τινι εὐθείᾳ τῇ ΗΘ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Θ, δύο εὐθεῖαι αἱ ΚΘ, ΘΜ, μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι, τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν, ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΚΘ τῇ ΘΜ. καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΚΜ, ΖΗ εὐθεῖα ἐνέπεσεν ἡ ΘΗ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΜΘΗ, ΘΗΖ ἴσαι ἀλλήλαις εἰσί. κοινὴ προσκείσθω ἡ ὑπὸ ΘΗΛ· αἱ ἄρα ὑπὸ ΜΘΗ, ΘΗΛ ταῖς ὑπὸ ΘΗΖ, ΘΗΛ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΜΘΗ, ΘΗΛ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, καὶ αἱ ὑπὸ ΘΗΖ, ΘΗΛ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΗΛ. καὶ ἐπεὶ ἡ ΚΖ τῇ ΘΗ ἴση τε καὶ παράλληλός ἐστιν, ἀλλὰ καὶ ἡ ΘΗ τῇ ΜΛ, καὶ ἡ ΚΖ ἄρα τῇ ΜΛ ἴση τε καὶ παράλληλός ἐστιν· καὶ ἐπιζευγνύουσιν αὐτὰς εὐθεῖαι αἱ ΚΜ, ΖΛ, καὶ αἱ ΚΜ, ΖΛ ἴσαι τε καὶ παράλληλοί εἰσιν· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΚΖΛΜ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν ΑΒΔ τρίγωνον τῷ ΘΖ παραλληλογράμμῳ, τὸ δὲ ΑΒΓ τῷ ΗΜ· ὅλον ἄρα τὸ ΑΒΓΔ εὐθύγραμμον ὅλῳ τῷ ΚΖΛΜ παραλληλογράμμῳ ἴσον ἐστί.

Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ ΑΒΓΔ ἴσον παραλληλόγραμμον συνέστηται τὸ ΚΖΛΜ, ἐν γωνίᾳ τῇ ὑπὸ ΖΚΜ, ἥ ἐστιν ἴση δοθείσῃ τῇ Ε. ὅπερ ἔδει ποιῆσαι.

li igitur ΖΚΘ, ΚΘΗ [angulis ΚΘΗ, ΗΘΜ] sunt æquales. sed ΖΚΘ, ΚΘΗ [per 29. prop.] sunt æquales duobus rectis: ergo & ΚΘΗ, ΗΘΜ duobus rectis æquales erunt. itaque quoniam ad rectam lineam ΗΘ, & ad punctum in ea Θ, duæ rectæ lineæ ΚΘ, ΘΜ, non ad easdem partes positæ, angulos deinceps duobus rectis æquales efficiunt, [per 14. prop.] in directum est ΚΘ ipsi ΘΜ. & quoniam in parallelas ΚΜ, ΖΗ recta linea ΘΗ incidit, alterni anguli ΜΘΗ, ΘΗΖ [per 29. prop.] æquales sunt. communis addatur ΘΗΛ: anguli igitur ΜΘΗ, ΘΗΛ angulis ΘΗΖ, ΘΗΛ sunt æquales. at anguli ΜΘΗ, ΘΗΛ [per 29. prop.] sunt æquales duobus rectis: quare & anguli ΘΗΖ, ΘΗΛ duobus rectis æquales erunt: in directum igitur est ΖΗ ipsi ΗΛ. & quoniam ΚΖ ipsi ΘΗ & æqualis est & parallela, & ΘΗ etiam ipsi ΜΛ, erit [per 1. ax. & 30. prop.] ΚΖ ipsi ΜΛ & æqualis & parallela; ipsasque conjungunt rectæ lineæ ΚΜ, ΖΛ: ergo & ΚΜ, ΖΛ [per 33. prop.] sunt æquales & parallelæ: parallelogrammum igitur est ΚΖΛΜ, cum autem triangulum quidem ΑΒΔ æquale sit parallelogrammo ΘΖ, triangulum vero ΑΒΓ parallelogrammo ΗΜ; erit totum ΑΒΓΔ rectilineum toti parallelogrammo ΚΖΛΜ æquale.

Dato igitur rectilineo ΑΒΓΔ æquale parallelogrammum constitutum est ΚΖΛΜ, in angulo ΖΚΜ, qui est æqualis angulo Ε dato. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ μς'.

Ἀπὸ τῆς δοθείσης εὐθείας τετράγωνον ἀναγράψαι.

Prop. XLVI. Probl.

A data recta linea quadratum describere.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ· δεῖ δὴ ἀπὸ τῆς ΑΒ εὐθείας τετράγωνον ἀναγράψαι.



Ἤχθω τῇ ΑΒ εὐθείᾳ, ἀπὸ δὲ τοῦ πρὸς αὐτῇ σημείου τοῦ Α, πρὸς ὀρθὰς ἡ ΑΓ· καὶ κείσθω τῇ ΑΒ ἴση ἡ ΑΔ· καὶ διὰ μὲν τοῦ Δ σημείου τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΔΕ· διὰ δὲ τοῦ Β σημείου τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΒΕ.

Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΑΔΕΒ· ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΑΔ τῇ ΒΕ. ἀλλὰ καὶ ἡ ΑΒ τῇ ΑΔ ἐστιν ἴση, αἱ τέσσαρες ἄρα αἱ ΒΑ, ΑΔ, ΔΕ, ΒΕ ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΔΕΒ παραλληλόγραμμον. λέγω δὴ ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ εἰς παραλλήλους τὰς ΑΒ, ΔΕ εὐθεῖα ἐνέπεσεν ἡ ΑΔ· αἱ ἄρα ὑπὸ ΒΑΔ, ΑΔΕ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΔ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΔΕ. τῶν δὲ παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· ὀρθὴ ἄρα καὶ ἑκατέρα τῶν ἀπεναντίον τῶν ὑπὸ ΑΒΕ, ΒΕΔ γωνιῶν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΑΔΕΒ. ἐδείχθη δὲ καὶ ἰσόπλευρον.

Τετράγωνον ἄρα ἐστί, καὶ ἔστιν ἀπὸ τῆς ΑΒ εὐθείας ἀναγεγραμμένον. ὅπερ ἔδει ποιῆσαι.

SIT data recta linea ΑΒ: oportet ab ipsa ΑΒ quadratum describere.

Ducatur [per 11. prop.] rectæ lineæ ΑΒ, à puncto in ea dato Α, ad rectos angulos ΑΓ; & ipsi ΑΒ æqualis [per 3. prop.] ponatur ΑΔ; perque punctum Δ ducatur [per 31. prop.] ΔΕ ipsi ΑΒ parallela; & per Β ipsi ΑΔ parallela ducatur ΒΕ.

Parallelogrammum igitur est ΑΔΕΒ. ideo & ΑΒ quidem est æqualis ΔΕ, ΑΔ vero ipsi ΒΕ. sed & ΑΒ ipsi ΑΔ est æqualis: quatuor igitur ΒΑ, ΑΔ, ΔΕ, ΕΒ inter se sunt æquales: ideoque æquilaterum est ΑΔΕΒ parallelogrammum. dico etiam rectangulum esse. quoniam enim in parallelas ΑΒ, ΔΕ recta linea incidit ΑΔ: anguli ΒΑΔ, ΑΔΕ [per 29. prop.] duobus rectis sunt æquales. rectus autem est [per constructionem] ΒΑΔ: ergo & ΑΔΕ rectus erit. parallelogrammorum autem tam latera quam anguli oppositi [per 34. prop.] æquantur: rectus igitur est uterque oppositorum ΑΒΕ, ΒΕΔ angulorum; & ob id rectangulum est ΑΔΕΒ. ostensum autem est & æquilaterum esse.

Quadratum igitur sit necesse est; atque à recta linea ΑΒ describitur. quod erat faciendum.

PROP. XLVII. THEOR.

In rectangulis triangulis, quadratum, quod à latere rectum angulum ſubtendente deſcribitur, æquale eſt quadratis, quæ à lateribus rectum angulum comprehendentibus deſcribuntur.

SIT triangulum rectangulum ABΓ, rectum habens BAΓ angulum: dico quadratum, deſcriptum à recta BΓ, æquale eſſe quadratis, quæ ab ipſis BA, AΓ deſcribuntur.

Deſcribatur enim à BΓ quidem quadratum BΔEΓ; ab ipſis vero BA, AΓ quadrata HB, ΘΓ; perque A alterutri ipſarum BΔ, ΓE parallela ducatur AΛ; & ducantur AΔ, ZΓ.



Quoniam igitur uterque angulorum BAΓ, BAH rectus eſt; & ad eandem rectam lineam BA, & ad punctum in ea A, duæ rectæ lineæ AΓ, AH, non ad eaſdem partes poſitæ, faciunt angulos deinceps duobus rectis æquales: ΓA recta eſt in directum ipſi AH. eadem ratione, & AB eſt in directum ipſi AΘ. & quoniam angulus ΔBΓ [per 10. ax.] eſt æqualis angulo ZBA, rectus enim eſt uterque, communis addatur ABΓ: totus igitur ΔBA angulus toti ZBΓ eſt æqualis. cum autem duæ ΔB, BA duabus ΓB, BZ ſint æquales, altera alteri, & angulus ΔBA æqualis angulo ZBΓ: erit [per 4. prop.] & baſis AΔ baſi ZΓ æqualis, & ABΔ triangulum triangulo ZBΓ æquale. eſtque trianguli quidem ABΔ [per 41. prop.] duplum BΛ parallelogrammum; baſim enim eandem habent BΔ, & ſunt in eiſdem parallelis BΔ, AΛ: trianguli vero ZBΓ duplum eſt HB quadratum; rurſus enim baſim habent eandem ZB, & ſunt in eiſdem parallelis ZB, HΓ; æqualium autem dupla ſunt inter ſe æqualia: æquale eſt igitur parallelogrammum BΛ ipſi HB quadrato. ſimiliter, ductis AE, BK, oſtendetur etiam ΓΛ parallelogrammum æquale quadrato ΘΓ: totum igitur BΔEΓ quadratum duobus quadratis HB, ΘΓ eſt æquale. & eſt quidem BΔEΓ quadratum à recta linea BΓ deſcriptum; quadrata vero HB, ΘΓ ab ipſis BA, AΓ: quadratum igitur BE, à latere BΓ deſcriptum, æquale eſt quadratis, quæ deſcribuntur à lateribus BA, AΓ.

Ergo in rectangulis triangulis, quadratum, quod à latere rectum angulum ſubtendente deſcribitur, æquale eſt quadratis, quæ à lateribus rectum angulum comprehendentibus deſcribuntur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μζ.

Ἐν τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν, τετραγώνοις.

ΕΣται τρίγωνον ὀρθογώνιον τὸ ABΓ, ὀρθὴν ἔχον τὴν ὑπὸ BAΓ· λέγω ὅτι τὸ ἀπὸ τῆς BΓ τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν BA, AΓ τετραγώνοις.

Ἀναγεγράφθω γὰρ ἀπὸ μὲν τῆς BΓ τετράγωνον τὸ BΔEΓ· ἀπὸ δὲ τῶν BA, AΓ τὰ HB, ΘΓ· καὶ ἤχθω διὰ τοῦ A ὁποτέρᾳ τῶν BΔ, ΓE παράλληλος ἤχθω ἡ AΛ· καὶ ἐπεζεύχθωσαν αἱ AΔ, ZΓ.

Καὶ ἐπεὶ ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ BAΓ, BAH γωνιῶν· πρὸς δή τινι τῇ BA, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A, δύο εὐθεῖαι αἱ AΓ, AH, μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι, τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΓA τῇ AH. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ AB τῇ AΘ ἐστιν ἐπ' εὐθείας. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔBΓ γωνία τῇ ὑπὸ ZBA, ὀρθὴ γὰρ ἑκατέρα, κοινὴ προσκείσθω ἡ ὑπὸ ABΓ· ὅλη ἄρα ἡ ὑπὸ ΔBA ὅλῃ τῇ ὑπὸ ZBΓ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΔB, BA δυσὶ ταῖς ΓB, BZ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΔBA γωνίᾳ τῇ ὑπὸ ZBΓ ἴση ἐστίν· βάσις ἄρα ἡ AΔ βάσει τῇ ZΓ ἐστιν ἴση, καὶ τὸ ABΔ τρίγωνον τῷ ZBΓ τριγώνῳ ἐστὶν ἴσον. καὶ ἔστι μὲν τοῦ ABΔ τριγώνου διπλάσιον τὸ BΛ παραλληλόγραμμον, βάσιν τε γὰρ τὴν αὐτὴν ἔχουσι τὴν BΔ καὶ ἐν ταῖς αὐταῖς εἰσὶ παραλλήλοις ταῖς BΔ, AΛ· ἔστι δὲ τοῦ ZBΓ τριγώνου διπλάσιον τὸ HB τετράγωνον, βάσιν τε πάλιν τὴν αὐτὴν ἔχουσι τὴν ZB καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις εἰσὶ ταῖς ZB, HΓ· τὰ δὲ τοῖς ἴσων διπλάσια ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ καὶ τὸ BΛ παραλληλόγραμμον τῷ HB τετραγώνῳ. ὁμοίως δὴ, ἐπιζευγνυμένων τῶν AE, BK, δειχθήσεται καὶ τὸ ΓΛ παραλληλόγραμμον ἴσον τῷ ΘΓ τετραγώνῳ· ὅλον ἄρα τὸ ΔBΓE τετράγωνον δυσὶ τοῖς HB, ΘΓ τετραγώνοις ἴσον ἐστί. καὶ ἔστι τὸ μὲν BΔEΓ τετράγωνον ἀπὸ τῆς BΓ ἀναγραφέν, τὰ δὲ HB, ΘΓ ἀπὸ τῶν BA, AΓ· τὸ ἄρα ἀπὸ τῆς BΓ πλευρᾶς τετράγωνον BE ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν BA, AΓ πλευρῶν τετραγώνοις.

Ἐν ἄρα τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνοις. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ μή.

Ἐὰν τριγώνου τὸ ἀπὸ μιᾶς τῶν πλευρῶν τετράγωνον ἴσον ᾖ τοῖς ἀπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τετραγώνοις· ἡ περιεχομένη γωνία ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ὀρθή ἐστι.

Τριγώνου γὰρ τοῦ ΑΒΓ τὸ ἀπὸ μιᾶς τῶν ΒΓ πλευρᾶς τετράγωνον ἴσον ἔστω τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ πλευρῶν τετραγώνοις· λέγω ὅτι ὀρθή ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία.

Ἤχθω γὰρ ἀπὸ τοῦ Α σημείου τῇ ΑΓ πρὸς ὀρθὰς εὐθεῖα ἡ ΑΔ, καὶ κείσθω τῇ ΒΑ ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΓ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΒ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΔΑ τετράγωνον τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον· τὰ ἄρα ἀπὸ τῶν ΔΑ, ΑΓ τετράγωνα ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνοις. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΔΑ, ΑΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΔΓ, ὀρθὴ γὰρ ἐστιν ἡ ὑπὸ ΔΑΓ γωνία· τοῖς δὲ ἀπὸ τῶν ΒΑ, ΑΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΒΓ, ὑπόκειται γάρ· τὸ ἄρα ἀπὸ τῆς ΔΓ τετράγωνον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΓ τετραγώνῳ· ὥστε καὶ πλευρὰ ἡ ΔΓ τῇ ΒΓ ἐστὶν ἴση· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΑΒ, κοινὴ δὲ ἡ ΑΓ, δύο δὴ αἱ ΑΔ, ΑΓ δυσὶ ταῖς ΒΑ, ΑΓ ἴσαι εἰσί, καὶ βάσις ἡ ΔΓ βάσει τῇ ΒΓ ἐστὶν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΑΓ γωνίᾳ τῇ ὑπὸ ΒΑΓ ἐστὶν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΔΑΓ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΒΑΓ.

Ἐὰν ἄρα τριγώνου τὸ ἀπὸ μιᾶς τῶν πλευρῶν τετράγωνον ἴσον ᾖ τοῖς ἀπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τετραγώνοις· ἡ περιεχομένη γωνία ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ὀρθή ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Prop. XLVIII. Theor.

Si quadratum, quod describitur ab uno laterum trianguli, æquale sit quadratis, quæ à reliquis trianguli lateribus describuntur: angulus à reliquis duobus trianguli lateribus comprehensus rectus erit.

Trianguli enim ΑΒΓ quod ab uno latere ΒΓ describitur quadratum æquale sit quadratis quæ à reliquis trianguli lateribus ΒΑ, ΑΓ describuntur: dico angulum ΒΑΓ rectum esse.

Ducatur enim [per 11. prop.] à puncto Α ipsi ΑΓ ad rectos angulos ΑΔ, ponaturque ΑΔ ipsi ΒΑ æqualis, & ducatur ΔΓ.

Quoniam igitur ΔΑ est æqualis ΑΒ; erit & quadratum, quod describitur ex ΔΑ, æquale quadrato rectæ ΑΒ. commune addatur quadratum. quod ex ΑΓ: ergo quadrata quæ ex ΔΑ, ΑΓ æqualia sunt quadratis quæ ex ΒΑ, ΑΓ describuntur. sed quadratis quidem quæ ex ΔΑ, ΑΓ æquale est [per 47. prop.] quod ex ΔΓ quadratum, rectus enim angulus est ΔΑΓ; quadratis vero quæ ex ΒΑ, ΑΓ æquale ponitur quadratum quod ex ΒΓ: quadratum igitur quod ex ΔΓ æquale est ei quod ex ΒΓ quadrato: ergo & latus ΔΓ lateri ΓΒ est æquale. & quoniam ΑΔ est æqualis ΑΒ, communis autem ΑΓ; duæ ΑΔ, ΑΓ duabus ΒΑ, ΑΓ æquales sunt; & basis ΔΓ est æqualis basi ΓΒ: angulus igitur ΔΑΓ [per 8. prop.] angulo ΒΑΓ est æqualis. rectus autem est ΔΑΓ: ergo & ΒΑΓ rectus erit.

Si igitur quadratum, quod describitur ab uno laterum trianguli, æquale sit quadratis, quæ à reliquis trianguli lateribus describuntur: angulus à reliquis duobus trianguli lateribus comprehensus rectus erit. quod erat demonstrandum.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

EUCLIDIS ELEMENTORUM LIBER SECUNDUS.

DEFINITIONES.

1. OMNE parallelogrammum rectangulum contineri dicitur ſub duabus rectis lineis, quæ rectum angulum comprehendunt.

2. Omnis parallelogrammi unumquodque eorum quæ circa diametrum ipſius ſunt parallelogrammorum cum duobus complementis Gnomon vocetur.

ΟΡΟΙ.

α'. ΠΑΝ παραλληλόγραμμον ὀρθογώνιον περιέχεσθαι λέγεται ὑπὸ δύο τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν εὐθειῶν.

β'. Παντὸς δὲ παραλληλογράμμου χωρίου τῶν περὶ τὴν διάμετρον αὐτοῦ ἐόντων παραλληλογράμμων ὁποιονοῦν σὺν τοῖς δυσὶ παραπληρώμασι γνώμων καλείσθω.

PROPOSITIO I. THEOREMA.

Si ſint duæ rectæ lineæ, altera autem ipſarum ſecta fuerit in quotcunque partes: rectangulum ſub duabus rectis comprehenſum æquale eſt eis rectangulis, quæ ſub recta linea non ſecta & ſingulis alterius ſegmentis comprehenduntur.

ΠΡΟΤΑΣΙΣ α'.

Ἐὰν ὦσι δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ ἑτέρα αὐτῶν εἰς ὅσα δυνατὸν τμήματα· τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν δύο εὐθειῶν ἴσον ἐστὶ τοῖς ὑπό τε τὴν ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων περιεχομένοις ὀρθογωνίοις.

SInt duæ rectæ lineæ A, BΓ, & ſecta ſit BΓ utcunque in punctis Δ, E: dico rectangulum comprehenſum ſub rectis lineis A, BΓ æquale eſſe rectangulo quod continetur ſub A, BΔ, & rectangulo quod ſub A, ΔE, & ei quod ſub A, EΓ continetur.



Ducatur enim [per 11. prop. lib. 1.] à puncto B ipſi BΓ ad rectos angulos BZ, atque ipſi A ponatur æqualis BH, & per H quidem ipſi BΓ [per 31. 1.] parallela ducatur HΘ; per puncta vero Δ, E, Γ ducantur ΔK, EΛ, ΓΘ parallelæ ipſi BH.

Rectangulum igitur BΘ eſt æquale rectangulis BK, ΔΛ, EΘ. atque eſt quidem BΘ rectangulum, quod ſub A, BΓ continetur; etenim con-

Ἔστωσαν δύο εὐθεῖαι αἱ A, BΓ, καὶ τετμήσθω ἡ BΓ ὡς ἔτυχε κατὰ τὰ Δ, E σημεῖα· λέγω ὅτι τὸ ὑπὸ τῶν A, BΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπό τε τῶν A, BΔ περιεχομένῳ ὀρθογωνίῳ, καὶ τῷ ὑπὸ τῶν A, ΔE, καὶ ἔτι τῷ ὑπὸ τῶν A, EΓ.

Ἤχθω γὰρ ἀπὸ τοῦ B τῇ BΓ πρὸς ὀρθὰς ἡ BZ, καὶ κείσθω τῇ A ἴση ἡ BH, καὶ διὰ μὲν τοῦ H τῇ BΓ παράλληλος ἤχθω ἡ HΘ, διὰ δὲ τῶν Δ, E, Γ τῇ BH παράλληλοι ἤχθωσαν αἱ ΔK, EΛ, ΓΘ.

Ἴσον δή ἐστι τὸ BΘ τοῖς BK, ΔΛ, EΘ. καί ἐστι τὸ μὲν BΘ τὸ ὑπὸ τῶν A, BΓ, περιέχεται μὲν γὰρ ὑπὸ τῶν HB,

ΗΒ, ΒΓ, ἴση δὲ ἡ ΒΗ τῇ Α· τὸ δὲ ΒΚ τὸ ὑπὸ τῶν Α, ΒΔ, περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΗΒ, ΒΔ, ἴση δὲ ἡ ΗΒ τῇ Α· τὸ δὲ ΔΛ τὸ ὑπὸ τῶν Α, ΔΕ, ἴση γάρ ἡ ΔΚ, τοῦτ' ἔστιν ἡ ΒΗ, τῇ Α· καὶ ἔτι ὁμοίως τὸ ΕΘ τὸ ὑπὸ τῶν Α, ΕΓ· τὸ ἄρα ὑπὸ τῶν Α, ΒΓ ἴσον ἐστὶ τῷ τε ὑπὸ Α, ΒΔ, καὶ τῷ ὑπὸ Α, ΔΕ, καὶ ἔτι τῷ ὑπὸ Α, ΕΓ.

Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ ἑτέρα αὐτῶν εἰς ὅσα δηποτοῦν τμήματα· τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ δύο εὐθειῶν ἴσον ἐστὶ τοῖς ὑπό τε τῆς ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων περιεχομένοις ὀρθογωνίοις. ὅπερ ἔδει δεῖξαι.

tinetur ſub ΗΒ, ΒΓ, & ΒΗ ipſi Α eſt æqualis: rectangulum autem ΒΚ eſt quod continetur ſub ipſis Α, ΒΔ; continetur enim ſub ΗΒ, ΒΔ, quarum ΗΒ eſt æqualis Α: & rectangulum ΔΛ eſt quod continetur ſub rectis Α, ΔΕ, quoniam ΔΚ, hoc eſt ΒΗ, ipſi Α eſt æqualis: & ſimiliter rectangulum ΕΘ eſt quod ſub rectis Α, ΕΓ continetur: ergo rectangulum contentum ſub rectis Α, ΒΓ eſt æquale rectangulo contento ſub rectis Α, ΒΔ, & contento ſub rectis Α, ΔΕ, & adhuc contento ſub Α, ΕΓ.

Si igitur ſint duæ rectæ lineæ, quarum altera ſecta fuerit in quotcunque partes: rectangulum ſub duabus rectis lineis comprehenſum eſt æquale eis rectangulis, quæ ſub recta linea non ſecta, & ſingulis alterius ſegmentis comprehenduntur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὰ ὑπὸ τῆς ὅλης καὶ ἑκατέρου τῶν τμημάτων περιεχόμενα ὀρθογώνια ἴσα ἐστὶ τῷ ἀπὸ τῆς ὅλης τετραγώνῳ.

Prop. II. Theor.

Si recta linea ſecetur utcunque, rectangula ſub tota & utroque ſegmento comprehenſa æquantur quadrato totius.

Εὐθεῖα γὰρ ἡ ΑΒ τετμήσθω ὡς ἔτυχε κατὰ τὸ Γ σημεῖον· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον, μετὰ τοῦ ὑπὸ τῶν ΒΑ, ΑΓ περιεχομένου ὀρθογωνίου, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετραγώνου τὸ ΑΔΕΒ, καὶ ἤχθω διὰ τοῦ Γ ὁποτέρᾳ τῶν ΑΔ, ΒΕ παράλληλος ἡ ΓΖ.



Ἴσον δή τὸ ΑΕ τοῖς ΑΖ, ΓΕ· καί ἐστι τὸ μὲν ΑΕ τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον, τὸ δὲ ΑΖ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ περιεχόμενον ὀρθογώνιον· περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΔΑ, ΑΓ, ἴση δὲ ἡ ΑΔ τῇ ΑΒ· τὸ δὲ ΓΕ τὸ ὑπὸ ΑΒ, ΒΓ, ἴση γὰρ ἡ ΒΕ τῇ ΑΒ· τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΑΓ, μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, τὰ ὑπὸ τῆς ὅλης καὶ ἑκατέρου τῶν τμημάτων περιεχόμενα ὀρθογώνια ἴσα ἐστὶ τῷ ἀπὸ τῆς ὅλης τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

Recta enim linea ΑΒ ſecetur utcunque in puncto Γ: dico rectangulum quod ſub rectis ΑΒ, ΒΓ comprehenditur, una cum rectangulo comprehenſo ſub ΒΑ, ΑΓ, æquari quadrato rectæ ΑΒ.

Deſcribatur enim [per 46. 1.] ex ΑΒ quadratum ΑΔΕΒ, & per Γ ducatur [per 31. 1.] alterutri ipſarum ΑΔ, ΒΕ parallela ΓΖ.

Eſt igitur ΑΕ æquale rectangulis ΑΖ, ΓΕ: eſt autem ΑΕ quadratum rectæ ΑΒ; ΑΖ vero rectangulum comprehenditur ſub rectis ΒΑ, ΑΓ, comprehenditur enim ſub rectis ΔΑ, ΑΓ, quarum ΑΔ æquatur ipſi ΑΒ: & rectangulum ΓΕ comprehenditur ſub rectis ΑΒ, ΒΓ, cum recta ΒΕ ſit æqualis rectæ ΑΒ: rectangulum igitur comprehenſum ſub rectis ΒΑ, ΑΓ, una cum rectangulo ſub ΑΒ, ΒΓ, æquatur quadrato rectæ ΑΒ.

Si igitur recta linea ſecetur utcunque, rectangula ſub tota & utroque ſegmento comprehenſa æquantur quadrato totius. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ προειρημένου τμήματος τετραγώνῳ.

Prop. III. Theor.

Si recta linea ſecetur utcunque, rectangulum ſub tota & uno ſegmento comprehenſum æquatur rectangulo ſub ſegmentis comprehenſo, & prædicti ſegmenti quadrato.

Εὐθεῖα γὰρ ἡ ΑΒ τετμήσθω ὡς ἔτυχε κατὰ τὸ Γ σημεῖον· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ, μετὰ τοῦ ἀπὸ ΒΓ τετραγώνου.

Recta enim linea ΑΒ ſecta ſit utcunque in puncto Γ: dico rectangulum ſub ΑΒ, ΒΓ æquale eſſe rectangulo ſub ΑΓ, ΓΒ, una cum quadrato rectæ ΒΓ.

Deſcriba-

Deſcribatur enim [per 46. 1.] ex ΒΓ quadratum ΓΔΕΒ, producaturque ΒΔ in Ζ, & per Α alterutri ipſarum ΓΔ, ΒΕ [per 31. 1.] parallela ducatur ΑΖ.



Æquale utique erit rectangulum ΑΕ ipſis ΑΔ, ΓΕ: & eſt ΑΕ quidem rectangulum contentum ſub rectis ΑΒ, ΒΓ; continetur etenim ſub rectis ΑΒ, ΒΕ, quarum ΒΕ eſt æqualis ΒΓ: rectangulum vero ΑΔ eſt quod continetur ſub rectis ΑΓ, ΓΒ, cum ΔΓ ipſi ΓΒ ſit æqualis: & ΔΒ eſt quadratum quod fit ex ex ΒΓ: ergo rectangulum ſub ΑΒ, ΒΓ, eſt æquale rectangulo ſub ΑΓ, ΓΒ, una cum quadrato quod ex ΒΓ.

Si igitur recta linea ſecetur utcunque, rectangulum ſub tota & uno ſegmento comprehenſum æquatur rectangulo ſub ſegmentis comprehenſo, & prædicti ſegmenti quadrato. quod erat demonſtrandum.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΒΓ τετράγωνον τὸ ΓΔΕΒ, καὶ ἤχθω ἡ ΕΔ ἐπὶ τὸ Ζ, καὶ διὰ τοῦ Α ὁποτέρᾳ τῶν ΓΔ, ΒΕ παράλληλος ἤχθω ἡ ΑΖ.

Ἴσον δή ἐστι τὸ ΑΕ τοῖς ΑΔ, ΓΕ· καὶ ἔστι τὸ μὲν ΑΕ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον, περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΑΒ, ΒΕ, ἴση δὲ ἡ ΒΕ τῇ ΒΓ· τὸ δὲ ΑΔ ὑπὸ τῶν ΑΓ, ΓΒ, ἴση γὰρ ἡ ΔΓ τῇ ΓΒ· τὸ δὲ ΔΒ τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΓΒ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ, μετὰ δὲ ἀπὸ τῆς ΒΓ τετραγώνου.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ εἰρημένου τμήματος τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

Prop. IV. Theor.

Si recta linea ſecetur utcunque, quadratum totius æquatur quadratis ſegmentorum & rectangulo bis comprehenſo ſub ſegmentis.

ΠΡΟΤΑΣΙΣ δ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ἀπὸ τῆς ὅλης τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν τμημάτων τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ.

Recta enim linea ΑΒ ſecta ſit utcunque in Γ: dico quadratum quod fit ex ΑΒ æquale eſſe & quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis comprehenditur ſub ſegmentis ΑΓ, ΓΒ.

Deſcribatur enim [per 46. 1.] ex ΑΒ quadratum ΑΔΕΒ, jungaturque ΒΔ, & per Γ quidem alterutri ipſarum ΑΔ, ΒΕ [per 31. 1.] parallela ducatur ΓΗΖ, per Η vero alterutri ipſarum ΑΒ, ΔΕ ducatur parallela ΘΚ.



Et quoniam ΓΖ eſt parallela ipſi ΑΔ, & in ipſas incidit ΒΔ, erit exterior angulus ΒΗΓ [per 29. 1.] interiori & oppoſito ΑΔΒ æqualis. angulus autem ΑΔΒ [per 5. 1.] eſt æqualis angulo ΑΒΔ, quod & latus ΒΑ æquale eſt lateri ΑΔ: quare ΓΗΒ angulus angulo ΗΒΓ eſt æqualis: ac propterea latus ΒΓ [per 6. 1.] lateri ΓΗ æquale. ſed & latus ΓΒ æquale eſt [per 34. 1.] lateri ΗΚ, & ΓΗ ipſi ΒΚ: ergo & ΗΚ eſt æquale ΚΒ: & ΓΗΚΒ eſt æquilaterum. dico inſuper etiam rectangulum eſſe. quoniam enim ΓΗ eſt parallela ipſi ΒΚ, & in ipſas incidit ΓΒ; anguli ΚΒΓ, ΗΓΒ [per 29. 1.] duobus rectis ſunt æquales. rectus autem eſt [per 30. def. 1.] ΚΒΓ angulus: ergo & rectus ΗΓΒ: quare & anguli oppoſiti ΓΗΚ, ΗΚΒ [per 34. 1.] recti erunt: rectangulum igitur eſt ΓΗΚΒ. ſed oſtenſum fuit & æquilaterum eſſe: quadratum

Ἐὰν γὰρ γραμμὴ ἡ ΑΒ τετμήσθω ὡς ἔτυχε κατὰ τὸ Γ· λέγω ὅτι τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔΕΒ, καὶ ἐπεζεύχθω ἡ ΒΔ, καὶ διὰ μὲν τοῦ Γ ὁποτέρᾳ τῶν ΑΔ, ΒΕ παράλληλος ἤχθω ἡ ΓΗΖ,* διὰ δὲ Η ὁποτέρᾳ τῶν ΑΒ, ΔΕ παράλληλος ἤχθω ἡ ΘΚ.

Καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΖ τῇ ΑΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΔ, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΗΓ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΑΔΒ. ἀλλ' ἡ ὑπὸ ΑΔΒ τῇ ὑπὸ ΑΒΔ ἐστὶν ἴση, ἐπεὶ καὶ πλευρὰ ἡ ΒΑ τῇ ΑΔ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ΓΗΒ ἄρα γωνία τῇ ὑπὸ ΗΒΓ ἐστὶν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΒΓ πλευρᾷ τῇ ΓΗ ἐστὶν ἴση. ἀλλὰ καὶ ἡ ΓΒ τῇ ΗΚ ἐστὶν ἴση, ἡ δὲ ΓΗ τῇ ΒΚ, καὶ ἡ ΗΚ ἄρα τῇ ΚΒ ἐστὶν ἴση· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΓΗΚΒ. λέγω δὴ ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΓΗ τῇ ΒΚ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΓΒ· αἱ ἄρα ὑπὸ ΚΒΓ, ΗΓΒ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΚΒΓ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΗΓΒ. ὥστε καὶ αἱ ἀπεναντίον, αἱ ὑπὸ ΓΗΚ, ΗΚΒ ὀρθαί εἰσιν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΓΗΚΒ. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· πε-

* Videtur deeſſe ad ſenſum explendum, τέμνουσα τὴν ΒΔ κατὰ τὸ Η σημεῖον. & ſic non raro in ſequentibus, quod ſemel admonuiſſe ſat eſto.

τράγωνον

τετράγωνον ἄρα ἐστί, καὶ ἔστιν ἀπὸ τῆς ΒΓ. Διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΘΖ τετράγωνόν ἐστι, καὶ ἔστιν ἀπὸ τῆς ΘΗ, τουτ' ἔστιν ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ΘΖ, ΓΚ τετράγωνα ἀπὸ τῶν ΑΓ, ΓΒ εἰσί. Ἐπεὶ οὖν ἐστὶ τὸ ΑΗ τῷ ΗΕ, ἔστι δὲ τὸ ΑΗ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ, ἴση γὰρ ἡ ΗΓ τῇ ΓΒ· καὶ τὸ ΗΕ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα ΑΗ, ΗΕ ἴσα ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. ἔστι δὲ καὶ τὰ ΘΖ, ΓΚ τετράγωνα ἀπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα τέσσαρα τὰ ΘΖ, ΓΚ, ΑΗ, ΗΕ ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ. ἀλλὰ τὰ ΘΖ, ΓΚ, ΑΗ, ΗΕ ὅλον ἐστὶ τὸ ΑΔΕΒ, ὃ ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον· τὸ ἄρα ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ἀπὸ τῆς ὅλης τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν τμημάτων τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ. ὅπερ ἔδει δεῖξαι.

ΕΤΕΡΑ ΔΕΙΞΙΣ.

Λέγω ὅτι τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐπὶ γὰρ τῆς αὐτῆς καταγραφῆς ἐπεὶ ἴση ἐστὶν ἡ ΒΑ τῇ ΑΔ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΒΔ τῇ ὑπὸ ΑΔΒ· καὶ ἐπεὶ παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ἔστι ΑΒΔ ἄρα τριγώνου αἱ τρεῖς γωνίαι, αἱ ὑπὸ ΑΒΔ, ΑΔΒ, ΒΑΔ, δυσὶν ὀρθαῖς ἴσαι εἰσί. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΔ, λοιπαὶ ἄρα αἱ ὑπὸ ΑΒΔ, ΑΔΒ μιᾷ ὀρθῇ ἴσαι εἰσί· καί εἰσιν ἴσαι, ἑκατέρα ἄρα τῶν ὑπὸ ΑΒΔ, ΑΔΒ ἡμίσειά ἐστιν ὀρθῆς. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΓΗ, ἴση γάρ ἐστι τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ πρὸς τῷ Α, λοιπὴ ἄρα ἡ ὑπὸ ΓΗΒ ἡμίσειά ἐστιν ὀρθῆς· ἴση ἄρα ἡ ὑπὸ ΓΗΒ γωνία τῇ ὑπὸ ΓΒΗ, ὥστε καὶ πλευρὰ ἡ ΒΓ τῇ ΓΗ ἐστιν ἴση. ἀλλ' ἡ μὲν ΓΒ τῇ ΚΗ ἐστιν ἴση, ἡ δὲ ΓΗ τῇ ΒΚ· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΓΚ. ἔχει δὲ ὀρθὴν τὴν ὑπὸ ΓΒΚ γωνίαν· τετράγωνον ἄρα ἐστὶ τὸ ΓΚ, καὶ ἔστιν ἀπὸ τῆς ΓΒ. Διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΘΖ τετράγωνόν ἐστι, καὶ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ΓΚ, ΘΖ τετράγωνά ἐστι, καὶ ἔστιν ἴσα τοῖς ἀπὸ τῶν ΑΓ, ΓΒ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΑΗ τῷ ΕΗ, καὶ ἔστι τὸ ΑΗ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ, ἴση γὰρ ἡ ΓΗ τῇ ΓΒ, καὶ τὸ ΕΗ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα ΑΗ, ΗΕ ἴσα ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. ἔστι δὲ καὶ τὰ ΓΚ, ΘΖ ἴσα τοῖς ἀπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα ΓΚ, ΘΖ, ΑΗ, ΗΕ ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. ἀλλὰ τὰ ΓΚ, ΘΖ καὶ τὰ ΑΗ, ΗΕ ὅλον ἐστὶ τὸ ΑΕ, ὃ ἐστιν ἀπὸ τῆς ΑΒ τετράγωνον·

Τὸ ἄρα ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ δὴ τούτων φανερόν ἐστιν, ὅτι ἐν τοῖς τετραγώνοις χωρίοις τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα τετράγωνά ἐστιν.

igitur eſt, & eſt ex ΒΓ. eadem ratione & ΘΖ eſt quadratum, & eſt ex ΘΗ, hoc eſt ex ΑΓ: ergo ΘΖ, ΓΚ ex ipſis ΑΓ, ΓΒ quadrata ſunt. & quoniam rectangulum ΑΗ [per 43. 1.] eſt æquale rectangulo ΗΕ, atque eſt ΑΗ quod ſub rectis ΑΓ, ΓΒ continetur, eſt enim ΗΓ ipſi ΓΒ æqualis: erit & ΗΕ æquale ei quod continetur ſub ΑΓ, ΓΒ: quare rectangula ΑΗ, ΗΕ æqualia ſunt ei quod bis continetur ſub rectis ΑΓ, ΓΒ. ſunt autem & ΘΖ, ΓΚ quadrata ex ΑΓ, ΓΒ: quatuor igitur ΘΖ, ΓΚ, ΑΗ, ΗΕ ſunt æqualia & quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis continetur ſub rectis ΑΓ, ΓΒ. ſed ΘΖ, ΓΚ, ΑΗ, ΗΕ ſunt totum ΑΔΕΒ, quod eſt quadratum ex ΑΒ: quadratum igitur ex ΑΒ æquale eſt & quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis continetur ſub rectis ΑΓ, ΓΒ.

Quare ſi recta linea ſecetur utcunque, quadratum totius æquatur quadratis ſegmentorum & rectangulo bis comprehenſo ſub ſegmentis. quod erat demonſtrandum.

ALITER.

Dico quadratum ex ΑΒ æquale eſſe & quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis ſub ΑΓ, ΓΒ continetur.

Quoniam enim, in eadem figura, æqualis eſt ΒΑ ipſi ΑΔ, & angulus ΑΒΔ [per 5. 1.] angulo ΑΔΒ æqualis erit: & cum [per 32. 1.] omnis trianguli tres anguli duobus rectis ſint æquales, erunt trianguli ΑΒΔ tres anguli ΑΒΔ, ΑΔΒ, ΒΑΔ æquales duobus rectis. rectus autem eſt angulus ΒΑΔ; ergo reliqui ΑΒΔ, ΑΔΒ ſunt uni recto æquales: & ſunt æquales inter ſe; uterque igitur ipſorum ΑΒΔ, ΑΔΒ eſt recti dimidius. ſed rectus eſt ΒΓΗ, æqualis namque eſt angulo interiori & oppoſito qui ad Α, reliquus igitur ΓΗΒ dimidius eſt recti: ac propterea ΓΗΒ angulus angulo ΓΒΗ eſt æqualis, & latus ΒΓ [per 6. 1.] æquale lateri ΓΗ. ſed ΓΒ [per 34. 1.] eſt æqualis ΚΗ, & ΓΗ ipſi ΒΚ; æquilaterum igitur eſt ΓΚ. habet autem rectum angulum ΓΒΚ: igitur eſt quadratum, & fit ex ΓΒ. eadem ratione & ΘΖ quadratum eſt, & æquale quadrato quod ex ΑΓ: quadrata igitur ſunt ΓΚ, ΘΖ, & quadratis ex ΑΓ, ΓΒ æqualia. rurſus quoniam [per 43. 1.] rectangulum ΑΗ eſt æquale ipſi ΕΗ, atque eſt ΑΗ id quod ſub rectis ΑΓ, ΓΒ continetur, eſt enim ΓΗ ipſi ΓΒ æqualis: erit & ΕΗ æquale contento ſub rectis ΑΓ, ΓΒ: quare ΑΗ, ΗΕ æqualia ſunt ei quod bis continetur ſub rectis ΑΓ, ΓΒ. ſunt autem & ΓΚ, ΘΖ æqualia quadratis ex ΑΓ, ΓΒ: ergo ΓΚ, ΘΖ, ΑΗ, ΗΕ æqualia ſunt & quadratis ex ΑΓ, ΓΒ & ei quod bis continetur ſub rectis ΑΓ, ΓΒ. ſed ΓΚ, ΘΖ & ΑΗ, ΗΕ ſunt totum ΑΕ, quod eſt quadratum ex ΑΒ:

Quadratum igitur ex ΑΒ eſt æquale quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis continetur ſub rectis ΑΓ, ΓΒ. quod erat demonſtrandum.

Corollarium.

Ex his manifeſtum eſt, in quadratis parallelogramma quæ ſunt circa diametrum eſſe quadrata.

Prop. V. Theor.

Si recta linea ſecetur in æqualia & inæqualia, rectangulum ſub inæqualibus totius ſegmentis comprehenſum una cum quadrato rectæ inter puncta ſectionum æquatur quadrato dimidiæ.

Recta enim linea quæcunque AB ſecta ſit in partes æquales ad punctum Γ, & in partes inæquales ad Δ: dico rectangulum comprehenſum ſub rectis AΔ, ΔB una cum quadrato quod fit ex ΓΔ æquale eſſe ei quod fit ex ΓB quadrato.

Deſcribatur enim [per 46. 1.] ex BΓ quadratum ΓEZB, jungaturque BE; & per Δ quidem alterutri ipſarum ΓE, BZ [per 31. 1.] parallela ducatur ΔΘH, per Θ vero ducatur KΛM parallela alterutri ipſarum ΓB, EZ: & rurſus per A ducatur alterutri ΓΛ, BM parallela AK.



Et quoniam [per 43. 1.] ΓΘ complementum æquale eſt complemento ΘZ, commune addatur ΔM: totum igitur ΓM toti ΔZ eſt æquale. ſed ΓM [per 36. 1.] eſt æquale AΛ, quoniam AΓ æquatur ipſi ΓB: ergo & AΛ æquale eſt ΔZ. commune addatur ΓΘ: totum igitur AΘ ipſis ΔZ, ΔΛ æquale erit. ſed AΘ quidem eſt quod ſub rectis AΔ, ΔB continetur, eſt enim ΔΘ ipſi ΔB æqualis; ZΔ, ΔΛ vero eſt gnomon NΞO: gnomon igitur NΞO æqualis eſt ei quod ſub rectis AΔ, ΔB continetur. commune addatur ΛH, quod æquale eſt [per cor. 4. 2.] quadrato ex ΓΔ: ergo NΞO gnomon & ΛH æqualia ſunt rectangulo quod continetur ſub rectis AΔ, ΔB & ei quod fit ex ΓΔ quadrato. ſed NΞO gnomon & ΛH ſunt totum quadratum ΓEZB, quod quidem fit ex ΓB: ergo rectangulum ſub AΔ, ΔB una cum quadrato quod ex ΓΔ æquale eſt ei quod ex ΓB quadrato.

Si igitur recta linea ſecetur in æqualia & inæqualia, rectangulum ſub inæqualibus totius ſegmentis comprehenſum una cum quadrato rectæ inter puncta ſectionum æquatur quadrato dimidiæ. quod erat demonſtrandum.

Πρoτασις ε'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὸ ὑπὸ τῶν ἀνίσων τοῦ ὅλης τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τοῦ μεταξὺ τῶν τομῶν τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἡμισείας τετραγώνῳ.

Εὐθεῖα γάρ τις ἡ AB τετμήσθω εἰς μὲν ἴσα κατὰ τὸ Γ, εἰς δὲ ἄνισα κατὰ τὸ Δ· λέγω ὅτι τὸ ὑπὸ τῶν AΔ, ΔB περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΔ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓB τετραγώνῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς BΓ τετράγωνον τὸ ΓEZB, καὶ ἐπεζεύχθω ἡ BE· καὶ διὰ μὲν τοῦ Δ ὁποτέρᾳ τῶν ΓE, BZ παράλληλος ἤχθω ἡ ΔΘH, διὰ δὲ τοῦ Θ ὁποτέρᾳ τῶν ΓB, EZ παράλληλος πάλιν ἡ KΛM· καὶ πάλιν διὰ τοῦ A ὁποτέρᾳ τῶν ΓΛ, BM παράλληλος ἤχθω ἡ AK.

Καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΓΘ παραλληλόγραμμα τῷ ΘZ παραλληλογράμμῳ, κοινὸν προσκείσθω τὸ ΔM· ὅλον ἄρα τὸ ΓM ὅλῳ τῷ ΔZ ἴσον ἐστίν. ἀλλὰ τὸ ΓM τῷ AΛ ἴσον ἐστίν, ἐπεὶ καὶ ἡ AΓ τῇ ΓB ἴση ἐστί· καὶ τὸ AΛ ἄρα τῷ ΔZ ἴσον ἐστί. κοινὸν προσκείσθω τὸ ΓΘ· ὅλον ἄρα τὸ AΘ τῷ ΔZ καὶ ΔΛ ἴσον ἐστί. ἀλλὰ τὸ μὲν AΘ τὸ ὑπὸ τῶν AΔ, ΔB ἐστίν, ἴση γὰρ ἡ ΔΘ τῇ ΔB· τὸ δὲ ZΔ, ΔΛ ἐστὶν ὁ NΞO γνώμων· καὶ ὁ NΞO ἄρα γνώμων ἴσος ἐστὶ τῷ ὑπὸ AΔ, ΔB. κοινὸν προσκείσθω τὸ ΛH, ὅ ἐστιν ἴσον τῷ ἀπὸ τῆς ΓΔ· ὁ ἄρα NΞO γνώμων καὶ τὸ ΛH ἴσα ἐστὶ τῷ ὑπὸ τῶν AΔ, ΔB περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ. ἀλλὰ ὁ NΞO γνώμων καὶ τὸ ΛH ὅλον ἐστὶ τὸ ΓEZB τετράγωνον, ὅ ἐστιν ἀπὸ τῆς ΓB· τὸ ἄρα ὑπὸ τῶν AΔ, ΔB περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΔ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓB τετραγώνῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὸ ὑπὸ τῶν ἀνίσων τῆς ὅλης τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τοῦ μεταξὺ τῶν τομῶν τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἡμισείας τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

Prop. VI. Theor.

Si recta linea ſecetur bifariam & illi recta quæcunque linea in directum adjiciatur, rectangulum comprehenſum ſub compoſita ex tota cum adjecta

Πρoτασις ϛ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας· τὸ ὑπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τῆς προσκειμένης περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ἡμι-

σείας

σείας τετραγώνῳ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς συγκειμένης ἔκ τε τῆς ἡμισείας καὶ τῆς προσκειμένης ὡς ἀπὸ μιᾶς ἀναγεγραφέντι τετραγώνῳ.

& adjecta una cum quadrato dimidiæ æquatur quadrato compoſitæ ex dimidia & adjecta tanquam una linea.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω δίχα κατὰ τὸ Γ σημεῖον, προσκείσθω δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας ἡ ΒΔ· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΒ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΓΔ τετράγωνον τὸ ΓΕΖΔ, καὶ ἐπεζεύχθω ἡ ΔΕ, καὶ διὰ μὲν τοῦ Β σημείου ὁποτέρα τῶν ΓΕ, ΔΖ παράλληλος ἤχθω ἡ ΒΘΗ· διὰ δὲ τοῦ Θ σημείου ὁποτέρα τῶν ΑΔ, ΕΖ παράλληλος ἤχθω ἡ ΚΛΜ· καὶ ἔτι διὰ τοῦ Α ὁποτέρα τῶν ΓΛ, ΔΜ παράλληλος ἤχθω ἡ ΑΚ.

Recta enim linea quæcunque AB ſecetur bifariam in puncto Γ, adjiciaturque ipſi in directum recta quæcunque BΔ: dico rectangulum ſub AΔ, ΔB una cum quadrato à ΓB æquale eſſe ei quod fit ex ΓΔ quadrato.

Deſcribatur enim [per 46. 1.] ex ΓΔ quadratum ΓEZΔ, & jungatur ΔE; perque B [per 31. 1.] alterutri ipſarum ΓE, ΔZ parallela ducatur BΘH: & per Θ ducatur KΛM parallela alterutri ipſarum AΔ, EZ: & adhuc per A alterutri ΓΛ, ΔM parallela AK.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΒ, ἴσον ἐστὶ καὶ τὸ ΑΛ τῷ ΓΘ. ἀλλὰ τὸ ΓΘ τῷ ΘΖ ἴσον ἐστίν· καὶ τὸ ΑΛ ἄρα τῷ ΘΖ ἴσον ἐστί. κοινὸν προσκείσθω τὸ ΓΜ· ὅλον ἄρα τὸ ΑΜ τῷ ΝΞΟ γνώμονί ἐστιν ἴσον. ἀλλὰ τὸ ΑΜ ἐστὶ τὸ ὑπὸ τῶν ΑΔ, ΔΒ, ἴση γάρ ἐστιν ἡ ΔΜ τῇ ΔΒ· καὶ ὁ ΝΞΟ ἄρα γνώμων ἴσος ἐστὶ τῷ ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχομένῳ ὀρθογωνίῳ. κοινὸν προσκείσθω τὸ ΑΗ, ὅ ἐστιν ἴσον τῷ ἀπὸ τῆς ΓΒ τετραγώνῳ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΒΓ τετραγώνου ἴσον ἐστὶ τῷ ΝΞΟ γνώμονι καὶ τῷ ΑΗ. ἀλλὰ ὁ ΝΞΟ γνώμων καὶ τὸ ΑΗ ὅλον ἐστὶ τὸ ΓΕΖΔ τετράγωνον, ὅ ἐστιν ἀπὸ τῆς ΓΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΒΓ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ.

Itaque quoniam AΓ eſt æqualis ΓB, erit & rectangulum AΛ [per 36. 1.] rectangulo ΓΘ æquale. ſed ΓΘ [per 43. 1.] æquale eſt ΘZ: ergo & AΛ ipſi ΘZ æquale erit. commune addatur ΓM: totum igitur AM gnomoni NΞO eſt æquale. atqui eſt AM, quod continetur ſub rectis AΔ, ΔB, etenim ΔM [per cor. 4. 2.] eſt æqualis ΔB: ergo & gnomon NΞO æqualis eſt rectangulo comprehenſo ſub rectis AΔ, ΔB. rurſus commune addatur AH, æquale ſcilicet quadrato quod ex ΓB: rectangulum igitur comprehenſum ſub rectis AΔ, ΔB una cum quadrato quod ex BΓ æquale eſt gnomoni NΞO & ipſi AH. ſed gnomon NΞO & AH totum ſunt ΓEZΔ quadratum; quod quidem fit ex ΓΔ: ergo rectangulum ſub AΔ, ΔB una cum quadrato ex BΓ æquale eſt ei quod fit ex ΓΔ quadrato.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας· τὸ ὑπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τῆς προσκειμένης περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ἡμισείας τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς συγκειμένης ἔκ τε τῆς ἡμισείας καὶ τῆς προσκειμένης τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

Si igitur recta linea ſecetur bifariam, & illi recta quæcunque linea in directum adjiciatur; rectangulum comprehenſum ſub compoſita ex tota cum adjecta & adjecta una cum quadrato dimidiæ æquatur quadrato compoſitæ ex dimidia & adjecta tanquam una linea. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ὑπὸ τῆς ὅλης καὶ τὸ ἀφ' ἑνὸς τῶν τμημάτων, τὰ συναμφότερα τετράγωνα, ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῆς ὅλης καὶ τοῦ εἰρημένου τμήματος περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνῳ.

Prop. VII. Theor.

Si recta linea ſecetur utcunque, quadrata totius & unius è ſegmentis ſimul ſumpta æquantur rectangulo bis comprehenſo ſub tota & dicto ſegmento una cum quadrato reliqui ſegmenti.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω ὡς ἔτυχε κατὰ τὸ Γ σημεῖον· λέγω ὅτι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς ΑΓ τετραγώνῳ.

Recta enim linea quæcunque AB ſecta ſit utcunque in puncto Γ: dico quadrata ex AB, BΓ æqualia eſſe & rectangulo quod bis ſub rectis AB, BΓ continetur & ei quod fit ex AΓ quadrato.

Deſcribatur enim [per 46. 1.] ex AB quadratum AΔEB, & figura conſtruatur.

Itaque quoniam AH rectangulum æquale eſt [per 43. 1.] rectangulo HE, commune addatur ΓZ: quare totum AZ toti ΓE eſt æquale: rectangula igitur AZ, ΓE dupla ſunt rectanguli AZ. ſed AZ, ΓE ſunt KΛM gnomon & quadratum ΓZ: ergo KΛM gnomon & quadratum ΓZ dupla erunt rectanguli AZ. eſt autem id quod bis continetur ſub rectis AB, BΓ duplum ipſius AZ; etenim [per cor. 4. 2.] BZ eſt æqualis BΓ: gnomon igitur KΛM & quadratum ΓZ æqualia ſunt ei quod bis ſub rectis AB, BΓ continetur. commune addatur ΘN, quod eſt ex AΓ quadratum: ergo gnomon KΛM & quadrata ΓZ, ΘN æqualia ſunt ei quod bis ſub rectis AB, BΓ continetur & quadrato ex AΓ. at gnomon KΛM & quadrata ΓZ, ΘN totum ſunt AΔEB, & ΓZ; quæ ſunt ex AB, BΓ quadrata: quadrata igitur ex AB, BΓ æqualia ſunt rectangulo quod bis ſub rectis AB, BΓ continetur una cum eo quod fit ex AΓ quadrato.



Si igitur recta linea ſecetur utcunque, quadrata totius & unius è ſegmentis ſimul ſumpta æquantur rectangulo bis comprehenſo ſub tota & dicto ſegmento una cum quadrato reliqui ſegmenti. quod erat demonſtrandum.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς AB τετράγωνον τὸ AΔEB· καὶ καταγεγράφθω τὸ σχῆμα.

Καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ AH τῷ HE, κοινὸν προσκείσθω τὸ ΓZ· ὅλον ἄρα τὸ AZ ὅλῳ τῷ ΓE ἐστὶν ἴσον· τὰ ἄρα AZ, ΓE διπλάσιά ἐστι τοῦ AZ. ἀλλὰ τὰ AZ, ΓE ὁ KΛM ἐστὶ γνώμων καὶ τὸ ΓZ τετράγωνον· ὁ KΛM ἄρα γνώμων καὶ τὸ ΓZ διπλάσιά ἐστι τοῦ AZ. ἔστι δὲ τοῦ AZ διπλάσιον καὶ τὸ δὶς ὑπὸ τῶν AB, BΓ, ἴση γὰρ ἡ BZ τῇ BΓ· ὁ ἄρα KΛM γνώμων καὶ τὸ ΓZ τετράγωνον ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν AB, BΓ. κοινὸν προσκείσθω τὸ ΘN, ὅ ἐστιν ἀπὸ τῆς AΓ τετράγωνον· ὁ ἄρα KΛM γνώμων καὶ τὰ ΓZ, ΘN τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν AB, BΓ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς AΓ τετραγώνῳ. ἀλλ' ὁ KΛM γνώμων καὶ τὰ ΓZ, ΘN τετράγωνα ὅλον ἐστὶ τὸ AΔEB καὶ τὸ ΓZ, ἃ ἐστιν ἀπὸ τῶν AB, BΓ τετράγωνα· τὰ ἄρα ἀπὸ τῶν AB, BΓ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν AB, BΓ περιεχομένῳ ὀρθογωνίῳ μετὰ τοῦ ἀπὸ τῆς AΓ τετραγώνου.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ἀπὸ τῆς ὅλης καὶ τὸ ἀφ' ἑνὸς τῶν τμημάτων, τὰ συναμφότερα τετράγωνα, ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῆς ὅλης καὶ τοῦ εἰρημένου τμήματος περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

Prop. VIII. Theor.

Si recta linea ſecetur utcunque, rectangulum quater comprehenſum ſub tota & uno è ſegmentis una cum quadrato reliqui ſegmenti æquatur quadrato compoſitæ ex tota & prædicto ſegmento tanquam ex una linea.

ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ τετράκις ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ λοιποῦ τμήματος τετραγώνου ἴσον ἐστὶ τῷ τε ἀπὸ τῆς ὅλης καὶ τοῦ εἰρημένου τμήματος ὡς ἀπὸ μιᾶς ἀναγεγραμμένῳ τετραγώνῳ.

REcta enim linea AB ſecta ſit utcunque in Γ: dico rectangulum quater ſub rectis AB, BΓ contentum una cum quadrato quod ex AΓ æquale eſſe quadrato quod ex AB, BΓ tanquam ex una linea deſcribitur.

Producatur enim in directum rectæ AB recta ΔB, & ipſi ΓB ponatur æqualis BΔ, deſcribaturque [per 46. 1.] ex AΔ quadratum AEZΔ, & dupla figura conſtruatur.

Quoniam igitur ΓB eſt æqualis BΔ, atque eſt ΓB [per 34. 1.] ipſi HK æqualis, BΔ vero ipſi KN, erit & HK æqualis KN. eadem ratione & ΠP ipſi PO eſt æqualis. & quoniam ΓB eſt æqualis BΔ, & HK ipſi KN; erit [per 36. 1.] rectangulum quidem ΓK æquale rectangulo BN, rectangulum vero HP ipſi PN. ſed ΓK eſt [per 43. 1.] æquale PN, complementa enim ſunt parallelogrammi ΓO: ergo & BN æquale eſt HP, & quatuor rectangula BN, KΓ,

Ἐκκείσθω γὰρ ἐπ' εὐθείας τῇ AB εὐθεῖα ἡ BΔ, καὶ κείσθω τῇ ΓB ἴση ἡ BΔ, καὶ ἀναγεγράφθω ἀπὸ τῆς AΔ τετράγωνον τὸ AEZΔ, καὶ καταγεγράφθω διπλοῦν τὸ σχῆμα.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΓB τῇ BΔ, ἀλλὰ ἡ μὲν ΓB τῇ HK ἐστὶν ἴση, ἡ δὲ BΔ τῇ KN, καὶ ἡ HK τῇ KN ἐστὶν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΠP τῇ PO ἐστὶν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΓB τῇ BΔ, ἡ δὲ HK τῇ KN· ἴσον ἄρα ἐστὶ τὸ μὲν ΓK τῷ BN, τὸ δὲ HP τῷ PN. ἀλλὰ τὸ ΓK τῷ PN ἐστὶν ἴσον, παραπληρώματα γὰρ τὸ ΓO παραλληλογράμμου· καὶ τὸ BN ἄρα τῷ HP ἐστὶν ἴσον· τὰ τέσσαρα ἄρα τὰ BN, KΓ,

HP,

ΗΡ, ΡΝ ἴσα ἀλλήλοις ἐστί· τὰ τέσσαρα ἄρα τετράπλασιά ἐστι τοῦ ΓΚ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΓΒ τῇ ΒΔ, ἀλλὰ ἡ μὲν ΒΔ τῇ ΒΚ, τοῦτ' ἔστι τῇ ΓΗ ἐστιν ἴση, ἡ δὲ ΓΒ τῇ ΗΚ, τοῦτ' ἔστι τῇ ΗΠ ἴση ἐστί· καὶ ἡ ΓΗ ἄρα τῇ ΗΠ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΓΗ τῇ ΗΠ, ἡ δὲ ΗΡ τῇ ΡΟ· ἴσον ἐστὶ καὶ τὸ μὲν ΑΗ τῷ ΜΠ, τὸ δὲ ΠΛ τῷ ΡΖ. ἀλλὰ τὸ ΜΠ τῷ ΠΔ ἐστιν ἴσον, παραπληρώματα γὰρ τὰ ΜΛ παραλληλογράμμου· καὶ τὸ ΑΗ ἄρα τῷ ΡΖ ἴσον ἐστί· τὰ τέσσαρα ἄρα τὰ ΑΗ, ΜΠ, ΠΔ, ΡΖ ἴσα ἀλλήλοις ἐστί· τὰ τέσσαρα ἄρα τοῦ ΑΗ ἐστὶ τετράπλασια. ἐδείχθη δὲ καὶ τὰ τέσσαρα τὰ ΓΚ, ΒΝ, ΗΡ, ΡΝ τοῦ ΓΚ τετράπλασια· τὰ ἄρα ὅλα τὰ περιέχει τὸ ΣΤΥ γνώμονα τετράπλασιά ἐστι τοῦ ΑΚ. καὶ ἐπεὶ τὸ ΑΚ τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ ἐστίν, ἴση γάρ ἐστιν ἡ ΒΚ τῇ ΒΔ· τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΔ τετράπλασιόν ἐστι τοῦ ΑΚ. ἐδείχθη δὲ τοῦ ΑΚ τετράπλασιος καὶ ὁ ΣΤΥ γνώμων· τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΔ ἴσον ἐστὶ τῷ ΣΤΥ γνώμονι. κοινὸν προσκείσθω τὸ ΞΘ, ὅ ἐστιν ἴσον τῷ ἀπὸ τοῦ ΑΓ τετραγώνῳ· τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΔ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τοῦ ΑΓ τετραγώνου ἴσον ἐστὶ τῷ ΣΤΥ γνώμονι καὶ τῷ ΞΘ. ἀλλὰ ὁ ΣΤΥ γνώμων καὶ τὸ ΞΘ ὅλον ἐστὶ τὸ ΑΕΖΔ τετράγωνον, ὅ ἐστιν ἀπὸ τῆς ΑΔ· τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΑΓ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΔ, τοῦτ' ἔστι τῷ ἀπὸ τοῦ ΑΒ καὶ ΒΓ ὡς ἀπὸ μιᾶς ἀναγραφέντι τετραγώνῳ.



Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ τετράκις ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνου ἴσον ἐστὶ τῷ τε ἀπὸ τῆς ὅλης καὶ τοῦ εἰρημένου τμήματος ὡς ἀπὸ μιᾶς ἀναγραφέντι τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

ΗΡ, ΡΝ sunt inter se æqualia, ideoque quadrupla sunt rectanguli ΓΚ. rursus quoniam ΓΒ est æqualis ΒΔ, & ΒΔ quidem ipsi ΒΚ, hoc est [per 34. 1.] ipsi ΓΗ æqualis; ΓΒ vero ipsi ΗΚ, hoc est ΗΠ: est igitur ΓΗ æqualis ΗΠ. est autem & ΠΡ ipsi ΡΟ æqualis: rectangulum igitur ΑΗ [per 36. 1.] rectangulo ΜΠ, & rectangulum ΠΛ ipsi ΡΖ æquale erit. sed ΜΠ est [per 43. 1.] æquale ΠΛ; complementa enim sunt ΜΛ parallelogrammi; quare & ΑΗ ipsi ΡΖ est æquale: quatuor igitur ΑΗ, ΜΠ, ΠΛ, ΡΖ inter se sunt æqualia, ac propterea ipsius ΑΗ quadrupla. ostensum autem est & quatuor ΓΚ, ΒΝ, ΗΡ, ΡΝ quadrupla esse ΓΚ: quare octo quæ gnomonem ΣΤΥ constituunt ΑΚ quadrupla sunt. & quoniam ΑΚ est quod sub rectis ΑΒ, ΒΔ continetur; etenim ΒΚ est [per cor. 4. 2.] æqualis ΒΔ: erit contentum quater sub rectis ΑΒ, ΒΔ ipsius ΑΚ quadruplum. at demonstratus est gnomon ΣΤΥ quadruplus ipsius ΑΚ: quod igitur quater continetur sub rectis ΑΒ, ΒΔ æquale est gnomoni ΣΤΥ. commune addatur ΞΘ, quod quidem [per cor. 4. 2.] quadrato ex ΑΓ est æquale: ergo quod quater continetur sub rectis ΑΒ, ΒΔ una cum quadrato ex ΑΓ æquale est ipsi ΣΤΥ gnomoni & quadrato ΞΘ. sed ΣΤΥ gnomon & ΞΘ constituunt totum ΑΕΖΔ quadratum, quod describitur à recta ΑΔ: rectangulum igitur quater sub rectis ΑΒ, ΒΓ comprehensum una cum quadrato ex ΑΓ æquale est ei quod ex ΑΔ, hoc est ex ΑΒ, ΒΓ tanquam ex una linea, describitur quadrato.

Si igitur recta linea secetur utcunque, rectangulum quater comprehensum sub tota & uno è segmentis una cum quadrato reliqui segmenti æquatur quadrato compositæ ex tota & prædicto segmento tanquam ex una linea. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὰ ἀπὸ τῶν ἀνίσων τῆς ὅλης τμημάτων τετράγωνα διπλάσιά ἐστι τοῦ τε ἀπὸ τῆς ἡμισείας καὶ τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν τετραγώνου.

Prop. IX. Theor.

Si recta linea secetur in æqualia & inæqualia, quadrata inæqualium segmentorum sunt dupla quadratorum à dimidia & à recta inter puncta sectionum.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω εἰς μὲν ἴσα κατὰ τὸ Γ, εἰς δὲ ἄνισα κατὰ τὸ Δ· λέγω ὅτι τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων.

Ηχθω γὰρ ἀπὸ τοῦ Γ τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΓΕ, καὶ κείσθω ἴση ἑκατέρα τῶν ΑΓ, ΓΒ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΑ, ΕΒ, καὶ διὰ μὲν τοῦ Δ τῇ ΕΓ παράλληλος ἤχθω ἡ ΔΖ, διὰ δὲ τοῦ Ζ τῇ ΑΒ πάλιν παράλληλος ἤχθω ἡ ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΑΖ.

Recta enim linea quæcunque ΑΒ secta sit in partes æquales ad Γ & in partes inæquales ad Δ: dico quadrata ex ΑΔ, ΔΒ quadratorum ex ΑΓ, ΓΔ dupla esse.

Ducatur enim [per 11. 1.] à puncto Γ ipsi ΑΒ ad rectos angulos ΓΕ, & ponatur æqualis alterutri ipsarum ΑΓ, ΓΒ, junganturque ΕΑ, ΕΒ; ac per Δ quidem [per 31. 1.] ipsi ΕΓ parallela ducatur ΔΖ, per Ζ vero ipsi ΑΒ parallela ΖΗ, & ΑΖ jungatur.

Itaque quoniam AΓ eſt æqualis ΓE, erit & angulus EAΓ [per 5. 1.] angulo AEΓ æqualis. & cum rectus ſit angulus ad Γ, reliqui AEΓ, EAΓ [per 32. 1.] uni recto æquales erunt, & ſunt æquales inter ſe: uterque igitur ipſorum AEΓ, EAΓ eſt recti dimidius. eadem ratione & recti dimidius eſt uterque ipſorum ΓEB, EBΓ: ergo totus angulus AEB rectus eſt. & quoniam angulus HEZ dimidius eſt recti, rectus autem EHZ; æqualis enim eſt [per 29. 1.] interiori & oppoſito EΓB: erit & reliquus EZH recti dimidius: æqualis igitur eſt HEZ angulus ipſi EZH: quare & latus EH [per 6. 1.] lateri HZ eſt æquale. rurſus quoniam angulus ad B dimidius eſt recti, rectus autem ZΔB quod ſit [per 29. 1.] æqualis interiori & oppoſito EΓB, reliquus BZΔ recti erit dimidius: angulus igitur ad B æqualis eſt angulo ΔZB: ideoque latus ΔZ [per 6. 1.] lateri ΔB æquale. & quoniam AΓ eſt æqualis ΓE, erit & ex AΓ quadratum æquale quadrato ex ΓE: quadrata igitur ex AΓ, ΓE dupla ſunt quadrati ex AΓ. quadratis autem ex AΓ, ΓE, æquale eſt [per 47. 1.] quadratum ex EA, ſiquidem rectus eſt angulus AΓE: ergo quadratum ex EA quadrati ex AΓ eſt duplum. rurſus quoniam EH æqualis eſt HZ, & quadratum ex EH quadrato ex HZ eſt æquale: quadrata igitur ex EH, HZ dupla ſunt quadrati ex HZ. at quadratis ex EH HZ æquale eſt [per 47. 1.] quod ex EZ quadratum: ergo quadratum ex EZ quadrati ex HZ duplum erit. æqualis autem eſt HZ [per 34. 1.] ipſi ΓΔ: quadratum igitur ex EZ duplum eſt quadrati ex ΓΔ. ſed & quadratum ex AE quadrati ex AΓ eſt duplum: ergo quadrata ex AE, EZ dupla ſunt quadratorum ex AΓ, ΓΔ. quadratis vero ex AE, EZ æquale eſt [per 47. 1.] ex AZ quadratum; quoniam angulus AEZ rectus eſt: quadratum igitur ex AZ quadratorum ex AΓ, ΓΔ eſt duplum. ſed quadrato ex AZ [per 47. 1.] æqualia ſunt ex AΔ, ΔZ quadrata; rectus enim eſt angulus qui ad Δ: ergo ex AΔ, ΔZ quadrata dupla ſunt quadratorum ex AΓ, ΓΔ. eſt autem ΔZ ipſi ΔB æqualis: quadrata igitur ex AΔ, ΔB quadratorum ex AΓ, ΓΔ dupla erunt.



Si igitur recta linea ſecetur in æqualia & inæqualia, quadrata inæqualium ſegmentorum ſunt dupla quadratorum à dimidia & à recta inter puncta ſectionum. quod erat demonſtrandum.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΕ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΕΑΓ γωνία τῇ ὑπὸ ΑΕΓ. Καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Γ, λοιπαὶ ἄρα αἱ ὑπὸ ΑΕΓ, ΕΑΓ μιᾷ ὀρθῇ ἴσαι εἰσίν· ἡμίσεια ἄρα ὀρθῆς ἑκατέρα τῶν ὑπὸ ΑΕΓ, ΕΑΓ. Διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΓΕΒ, ΕΒΓ ἡμίσειά ἐστιν ὀρθῆς· ὅλη ἄρα ἡ ὑπὸ ΑΕΒ ὀρθή ἐστι. καὶ ἐπεὶ ἡ ὑπὸ ΗΕΖ ἡμίσειά ἐστιν ὀρθῆς, ὀρθὴ δὲ ἡ ὑπὸ ΕΗΖ, ἴση γάρ ἐστι τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΕΓΒ· λοιπὴ ἄρα ἡ ὑπὸ ΕΖΗ ἡμίσειά ἐστιν ὀρθῆς· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΗΕΖ γωνία τῇ ὑπὸ ΕΖΗ· ὥστε καὶ πλευρὰ ἡ ΕΗ πλευρᾷ τῇ ΗΖ ἐστὶν ἴση. πάλιν ἐπεὶ ἡ πρὸς τῷ Β γωνία ἡμίσειά ἐστιν ὀρθῆς, ὀρθὴ δὲ ἡ ὑπὸ ΖΔΒ, ἴση γάρ πάλιν ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΕΓΒ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΖΔ ἡμίσειά ἐστιν ὀρθῆς· ἴση ἄρα ἡ πρὸς τῷ Β γωνία τῇ ὑπὸ ΔΖΒ· ὥστε καὶ πλευρὰ ἡ ΔΖ πλευρᾷ τῇ ΔΒ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΕ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΕ· τὰ ἄρα ἀπὸ τῶν ΑΓ, ΓΕ τετράγωνα διπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΑΓ. τοῖς δὲ ἀπὸ τῶν ΑΓ, ΓΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΑ τετράγωνον, ὀρθὴ γὰρ ἡ ὑπὸ ΑΓΕ γωνία· τὸ ἄρα ἀπὸ τῆς ΕΑ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΓ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΕΗ τῇ ΗΖ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΕΗ τῷ ἀπὸ τῆς ΗΖ· τὰ ἄρα ἀπὸ τῶν ΕΗ, ΗΖ τετράγωνα διπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΗΖ τετραγώνου. τοῖς δὲ ἀπὸ τῶν ΕΗ, ΗΖ τετραγώνοις ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΖ· τὸ ἄρα ἀπὸ τῆς ΕΖ τετράγωνον διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΗΖ. ἴση δὲ ἡ ΗΖ τῇ ΓΔ· τὸ ἄρα ἀπὸ τῆς ΕΖ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΔ. ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς ΑΕ διπλάσιον τοῦ ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ἀπὸ τῶν ΑΕ, ΕΖ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων. τοῖς δὲ ἀπὸ τῶν ΑΕ, ΕΖ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΖ τετράγωνον, ὀρθὴ γὰρ ἡ ὑπὸ ΑΕΖ γωνία· τὸ ἄρα ἀπὸ τῆς ΑΖ τετράγωνον διπλάσιόν ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ. τῷ δὲ ἀπὸ τῆς ΑΖ ἴσα τὰ ἀπὸ τῶν ΑΔ, ΔΖ, ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία· τὰ ἄρα ἀπὸ τῶν ΑΔ, ΔΖ διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων. ἴση δὲ ἡ ΔΖ τῇ ΔΒ· τὰ ἄρα ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὰ ἀπὸ τῶν ἀνίσων τῆς ὅλης τμημάτων τετράγωνα διπλάσιά ἐστι τοῦ τε ἀπὸ τῆς ἡμισείας καὶ τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν τετραγώνου. ὅπερ ἔδει δεῖξαι.

Prop. X. Theor.

Si recta linea ſecetur bifariam & illi recta quæcunque linea in directum adjiciatur, quadratum compoſitæ ex tota

ΠΡΟΤΑΣΙΣ ι'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας· τὸ ἀπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τὸ ἀπὸ τῆς προσ-

κειμένης

κμένης, τὰ σὺν αμφότερα τετράγωνα, διπλάσιά ἐστι τοῦτε ἀπὸ τῆς ἡμισείας καὶ ἑνὸς ἀπὸ τῆς συγκειμένης ἔκ τε τῆς ἡμισείας καὶ τῆς προσκειμένης ὡς ἀπὸ μιᾶς ἀναγραφέντος τοῦ τραγώνου.

& adjecta & quadratum adjectæ ſimul ſumpta ſunt dupla & quadrati ex dimidia & quadrati compoſitæ ex dimidia & adjecta tanquam una linea.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω δίχα κατὰ τὸ Γ, προσκείσθω δέ τις αὐτῇ εὐθεῖα ἡ ΒΔ· λέγω ὅτι τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα διπλάσιά ἐστι τοῦ ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνου.

Ηχθω γὰρ ἀπὸ τοῦ Γ σημείου τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΓΕ, καὶ κείσθω ἴση ἑκατέρα τῶν ΑΓ, ΓΒ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΕ, ΕΒ· καὶ διὰ μὲν τοῦ Ε τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΕΖ, διὰ δὲ τοῦ Δ τῇ ΓΕ παράλληλος ἤχθω ἡ ΔΖ. καὶ ἐπεὶ εἰς παραλλήλους εὐθείας τὰς ΕΓ, ΖΔ εὐθεῖά τις ἐνέπεσεν ἡ ΕΖ, αἱ ἄρα τὸ ΓΕΖ, ΕΖΔ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ΖΕΒ, ΕΖΔ δύο ὀρθῶν ἐλάσσονές εἰσιν. αἱ δὲ ἀπὸ ἐλασσόνων ἢ δύο ὀρθῶν ἐκβαλλόμεναι συμπίπτουσιν· αἱ ἄρα ΕΒ, ΖΔ ἐκβαλλόμεναι ὀφθήσονται συμπίπτουσαι). ἐκβεβλήσθωσαν, καὶ συμπιπτέτωσαν κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΑΗ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΕ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΕΓ τῇ ὑπὸ ΕΑΓ, καὶ ὀρθὴ ἡ πρὸς τῷ Γ· ἡμίσεια ἄρα ὀρθῆς ἐστιν ἑκατέρα τῶν ὑπὸ ΕΑΓ, ΑΕΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΓΕΒ, ΕΒΓ ἡμίσεια ὀρθῆς ἐστιν· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΑΕΒ. καὶ ἐπεὶ ἡμίσεια ὀρθῆς ἐστιν ἡ ὑπὸ ΕΒΓ, ἡμίσεια ἄρα ὀρθῆς καὶ ἡ ὑπὸ ΔΒΗ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΔΗ ὀρθή, ἴση γὰρ ἐστὶ τῇ ὑπὸ ΔΓΕ, ἐναλλὰξ γάρ· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΗΒ ἡμίσεια ἐστὶν ὀρθῆς· ἡ ἄρα ὑπὸ ΔΗΒ τῇ ὑπὸ ΔΒΗ ἐστὶν ἴση, ὥστε καὶ πλευρὰ ἡ ΒΔ πλευρᾷ τῇ ΗΔ ἐστὶν ἴση. πάλιν, ἐπεὶ ἡ ὑπὸ ΕΗΖ ἡμίσεια ἐστὶν ὀρθῆς, ὀρθὴ δὲ ἡ πρὸς τῷ Ζ, ἴση γὰρ ἐστὶ τῇ ἀπεναντίον τῇ πρὸς τῷ Γ· λοιπὴ ἄρα ἡ ὑπὸ ΖΕΗ ἡμίσεια ἐστὶν ὀρθῆς· ἴση ἄρα ἡ ὑπὸ ΕΗΖ γωνία τῇ ὑπὸ ΖΕΗ· ὥστε καὶ πλευρὰ ἡ ΗΖ πλευρᾷ τῇ ΕΖ ἐστὶν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΓ τῇ ΓΑ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΕΓ τετράγωνον τῷ ἀπὸ τῆς ΑΓ τετραγώνῳ· τὰ ἄρα ἀπὸ τῶν ΕΓ, ΓΑ τετράγωνα διπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΓΑ τετραγώνου. τοῖς δὲ ἀπὸ τῶν ΕΓ, ΓΑ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΑ· τὸ ἄρα ἀπὸ τῆς ΕΑ τετράγωνον διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΓ τετραγώνου. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΗΖ τῇ ΕΖ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΖΗ τετράγωνον τῷ ἀπὸ τῆς ΖΕ τετραγώνῳ· τὰ ἄρα ἀπὸ τῶν ΖΗ, ΖΕ διπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΕΖ. τοῖς δὲ ἀπὸ τῶν ΗΖ, ΖΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΗ τετράγωνον· τὸ ἄρα ἀπὸ τῆς ΕΗ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΕΖ. ἴση δὲ ἡ ΕΖ τῇ ΓΔ· τὸ ἄρα ἀπὸ τῆς ΕΗ τετράγωνον διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΔ. ἐδείχθη δὲ καὶ τὸ ἀπὸ τῆς ΕΑ διπλάσιον τοῦ ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ἀπὸ τῶν ΑΕ, ΕΗ τετράγωνα



REcta enim AB ſecetur bifariam in Γ, & ipſi in directum adjiciatur quæcunque recta linea BΔ: dico quadrata ex AΔ, ΔB quadratorum ex AΓ, ΓΔ dupla eſſe.

Ducatur enim à puncto Γ [per 11.1.] ipſi AB ad rectos angulos ΓE, & ponatur æqualis alterutri ipſarum AΓ, ΓB; junganturque AE, EB, & per E quidem ipſi AΔ [per 31.1.] parallela ducatur EZ, per Δ vero ducatur ΔZ parallela ipſi ΓE. & quoniam in parallelas EΓ, ZΔ recta quædam linea EZ incidit, anguli ΓEZ, EZΔ [per 29. 1.] æquales ſunt duobus rectis: anguli igitur ZEB, EZΔ duobus rectis ſunt minores. quæ autem rectæ à minoribus angulis, quam ſunt duo recti, in infinitum producuntur [per ax. 11.] conveniunt inter ſe: ergo EB, ZΔ productæ ad partes BΔ convenient. producantur, & conveniant in puncto H, & AH jungatur.

Itaque quoniam AΓ eſt æqualis ΓE, angulus AEΓ [per 5. 1.] angulo EAΓ æqualis erit, atque eſt rectus qui ad Γ: uterque igitur ipſorum EAΓ, AEΓ [per 32. 1.] eſt recti dimidius. eadem ratione & recti dimidius eſt uterque ΓEB, EBΓ: ergo AEB eſt rectus. & quoniam EBΓ eſt dimidius recti: erit & recti dimidius ΔBH [per 15. 1.] ſed & BΔH [per 29. 1.] rectus eſt, etenim eſt æqualis ipſi ΔΓE alterno: reliquus ideo ΔHB dimidius eſt recti, igitur & angulus ΔHB ipſi ΔBH æqualis: ergo & latus BΔ [per 6. 1.] æquale lateri HΔ. rurſus, quoniam EHZ dimidius recti, rectus autem qui ad Z, eſt enim [per 34. 1.] angulo oppoſito qui ad Γ æqualis; erit & reliquus ZEH recti dimidius: igitur EHZ angulus æqualis ipſi ZEH; quare & latus HZ [per 6. 1.] lateri EZ eſt æquale. & cum EΓ ſit æqualis ΓA, & quadratum ex EΓ æquale eſt ei quod ex AΓ quadrato: ergo quadrata ex EΓ, ΓA dupla ſunt quadrati ex ΓA. quadratis autem ex EΓ, ΓA æquale eſt [per 47.1.] quadratum ex EA: quadratum igitur ex EA duplum eſt quadrati ex AΓ. rurſus, quoniam HZ eſt æqualis EZ, æquale eſt & ex ZH quadratum quadrato ex ZE; quadrata igitur ex ZH, ZE quadrati ex EZ ſunt dupla. at quadratis ex HZ, ZE æquale eſt [per 47. 1.] quod ex EH quadratum: ergo quadratum ex EH duplum eſt quadrati ex EZ. æqualis autem eſt EZ ipſi ΓΔ: quadratum igitur ex EH quadrati ex ΓΔ duplum erit. ſed oſtenſum eſt quadratum ex EA duplum eſſe quadrati ex AΓ: ergo quadrata ex AE, EH

ſunt

ſunt dupla quadratorum ex AΓ, ΓΔ. quadratis vero ex AE, EH æquale eſt [per 47. 1.] quod ex AH quadratum: quadratum igitur ex AH duplum eſt quadratorum ex AΓ, ΓΔ. at quadrato ex AH æqualia ſunt [per 47. 1.] ex AΔ, ΔH quadrata: ergo quadrata ex AΔ, ΔH ſunt dupla quadratorum ex AΓ, ΓΔ. ſed ΔH eſt æqualis ΔB: quadrata igitur ex AΔ, ΔB ſunt dupla quadratorum ex AΓ, ΓΔ.

Si igitur recta linea ſecetur bifariam & illi recta quæcunque linea in directum adjiciatur, quadratum compoſitæ ex tota & adjecta & quadratum adjectæ ſimul ſumpta ſunt dupla & quadrati ex dimidia & quadrati compoſitæ ex dimidia & adjecta tanquam una linea. quod erat demonſtrandum.

διπλάσιά ἐστι τῶν ἀπὸ τῶν AΓ, ΓΔ τετραγώνων. τοῖς δὲ ἀπὸ τῶν AE, EH τετραγώνοις ἴσον ἐστὶ τὸ ἀπὸ τῆς AH τετράγωνον· τὸ ἄρα ἀπὸ τῆς AH διπλάσιόν ἐστι τῶν ἀπὸ τῶν AΓ, ΓΔ. τῷ δὲ ἀπὸ τῆς AH ἴσα ἐστὶ τὰ ἀπὸ τῶν AΔ, ΔH· τὰ ἄρα ἀπὸ τῶν AΔ, ΔH τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν AΓ, ΓΔ τετραγώνων. ἴση δὲ ἡ ΔH τῇ ΔB· τὰ ἄρα ἀπὸ τῶν AΔ, ΔB τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν AΓ, ΓΔ τετραγώνων.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας· τὸ ἀπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τὸ ἀπὸ τῆς προσκειμένης, τὰ συναμφότερα τετράγωνα, διπλάσιά ἐστι τοῦτε ἀπὸ τῆς ἡμισείας καὶ τῆς προσκειμένης ὡς ἀπὸ μιᾶς ἀναγραφέντος τετραγώνου. ὅπερ ἔδει δεῖξαι.

Prop. XI. Probl.

Datam rectam lineam ita ſecare, ut rectangulum ſub tota & altero ſegmento æquetur quadrato reliqui ſegmenti.

ΠΡΟΤΑΣΙΣ ια'.

Τὴν δοθεῖσαν εὐθεῖαν τεμεῖν, ὥστε τὸ ὑπὸ τῆς ὅλης καὶ τοῦ ἑτέρου τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνῳ.

SIT data recta linea AB: oportet ipſam AB ita ſecare, ut quod ſub tota & altera parte continetur rectangulum æquale ſit ei quod à reliqua parte fit quadrato.

Deſcribatur enim [per 46. 1.] ex AB quadratum ABΔΓ, ſeceturque [per 10. 1.] AΓ bifariam in E, & BE jungatur; deinde, producta ΓA in Z [per 3. 1.] ponatur ipſi BE æqualis EZ, deſcribaturque ex AZ quadratum ZΘ, & HΘ ad K producatur: dico AB ita ſectam eſſe in Θ, ut rectangulum ſub AB, BΘ æquale ſit quadrato ex AΘ.

Quoniam enim recta linea AΓ bifariam ſecatur in E, adjicitur ipſi in directum AZ; rectangulum ſub ΓZ, ZA una cum quadrato ex AE æquale erit [per 6. 2.] quadrato ex EZ. ſed EZ eſt æqualis EB: rectangulum igitur ſub ΓZ, ZA una cum quadrato ex AE æquale eſt ei quod fit ex EB quadrato. quadrato autem ex EB æqualia ſunt [per 47. 1.] quadrata ex BA, AE, etenim angulus ad A rectus eſt: ergo rectangulum ſub ΓZ, ZA una cum quadrato ex AE æquale eſt quadratis ex BA, AE. commune auferatur quod ex AE quadratum: reliquum igitur rectangulum ſub ΓZ, ZA æquale eſt quadrato ex AB. eſt autem ſub ΓZ, ZA quidem rectangulum ZK, ſiquidem AZ eſt æqualis ZH; quadratum autem ex AB eſt ipſum AΔ: rectangulum igitur ZK æquale eſt quadrato AΔ. commune auferatur AK: ergo reliquum ZΘ reliquo ΘΔ eſt æquale. atque eſt ΘΔ rectangulum ſub AB, BΘ, cum AB



Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ AB· δεῖ δὴ τὴν AB τεμεῖν, ὥστε τὸ ὑπὸ τῆς ὅλης καὶ τοῦ ἑτέρου τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς AB τετράγωνον τὸ ABΔΓ, καὶ τετμήσθω ἡ AΓ δίχα κατὰ τὸ E σημεῖον, καὶ ἐπεζεύχθω ἡ BE, καὶ διήχθω ἡ ΓA ἐπὶ τὸ Z, καὶ κείσθω τῇ BE ἴση ἡ EZ, καὶ ἀναγεγράφθω ἀπὸ τῆς AZ τετράγωνον τὸ ZΘ, καὶ διήχθω ἡ HΘ ἐπὶ τὸ K· λέγω ὅτι ἡ AB τέτμηται κατὰ τὸ Θ, ὥστε τὸ ὑπὸ τῶν AB, BΘ περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τῆς AΘ τετραγώνῳ.

Ἐπεὶ γὰρ εὐθεῖα ἡ AΓ τέτμηται δίχα κατὰ τὸ E, προσκεῖται δὲ αὐτῇ ἡ AZ· τὸ ἄρα ὑπὸ τῶν ΓZ, ZA περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς AE τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς EZ τετραγώνῳ. ἴση δὲ ἡ EZ τῇ EB· τὸ ἄρα ὑπὸ τῶν ΓZ, ZA περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς AE τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς EB τετραγώνῳ. ἀλλὰ τῷ ἀπὸ τῆς EB ἴσα ἐστὶ τὰ ἀπὸ τῶν BA, AE, ὀρθὴ γὰρ ἡ πρὸς τῷ A γωνία· τὸ ἄρα ὑπὸ τῶν ΓZ, ZA μετὰ τοῦ ἀπὸ τῆς AE ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν BA, AE. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς AE· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΓZ, ZA περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AB τετραγώνῳ. καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν ΓZ, ZA τὸ ZK, ἴση γὰρ ἡ AZ τῇ ZH· τὸ δὲ ἀπὸ τῆς AB τὸ AΔ· τὸ ἄρα ZK ἴσον ἐστὶ τῷ AΔ. κοινὸν ἀφῃρήσθω τὸ AK· λοιπὸν ἄρα τὸ ZΘ τῷ ΘΔ ἴσον ἐστί. καὶ ἔστι τὸ μὲν ΘΔ τὸ ὑπὸ τῶν AB, BΘ, ἴση γὰρ ἡ AB

τῇ

τῇ ΒΔ· τὸ δὲ ΖΘ τὸ ἀπὸ τῆς ΑΘ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΘ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΘ τετραγώνῳ.

Ἡ ἄρα δοθεῖσα εὐθεῖα ἡ ΑΒ τέτμηται κατὰ τὸ Θ, ὥστε τὸ ὑπὸ τὰς ΑΒ, ΒΘ περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τῆς ΘΑ τετραγώνῳ. ὅπερ ἔδει ποιῆσαι.

fit æqualis ΒΔ; & ΖΘ eſt quadratum ex ΑΘ: rectangulum igitur ſub ΑΒ, ΒΘ quadrato ex ΑΘ æquale erit.

Quare data recta linea ΑΒ ita ſecatur in puncto Θ, ut rectangulum ſub ΑΒ, ΒΘ æquale ſit quadrato ex ΑΘ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Ἐν τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων, τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἐκβληθεῖσα ἡ καθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ.

PROP. XII. THEOR.

In triangulis amblygoniis quadratum lateris ſubtendentis angulum obtuſum majus eſt quam quadrata laterum angulum obtuſum comprehendentium, rectangulo bis comprehenſo ſub uno laterum circa angulum obtuſum in quod productum perpendicularis cadit, & recta extra intercepta à perpendiculari ad angulum obtuſum.

Ἔστω ἀμβλυγώνιον τρίγωνον τὸ ΑΒΓ ἀμβλεῖαν ἔχον τὴν ὑπὸ ΒΑΓ γωνίαν, καὶ ἤχθω ἀπὸ τοῦ Β σημείου ἐπὶ τὴν ΓΑ ἐκβληθεῖσαν κάθετος ἡ ΒΔ· λέγω ὅτι τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνων, τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΔ τέτμηται ὡς ἔτυχε κατὰ τὸ Α σημεῖον· τὸ ἄρα ἀπὸ τῆς ΓΔ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΓΑ, ΑΔ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΔΒ· τὰ ἄρα ἀπὸ τῶν ΓΔ, ΔΒ ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΓΑ, ΑΔ, ΔΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΓΔ, ΔΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓΒ, ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία· τοῖς δὲ ἀπὸ τῶν ΑΔ, ΔΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ· τὸ ἄρα ἀπὸ τῆς ΓΒ ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΓΑ, ΑΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ· ὥστε τὸ ἀπὸ τῆς ΓΒ τετράγωνον τῶν ἀπὸ τῶν ΓΑ, ΑΒ τετραγώνων μεῖζόν ἐστι, τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐν ἄρα τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων, τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ. ὅπερ ἔδει δεῖξαι.

SIT amblygonium triangulum ΑΒΓ obtuſum angulum habens ΒΑΓ, & ducatur à puncto Β ad ΓΑ productam perpendicularis ΒΔ: dico quadratum ex ΒΓ majus eſſe quam quadrata ex ΒΑ, ΑΓ, rectangulo quod bis ſub rectis ΓΑ, ΑΔ continetur.



Quoniam enim recta linea ΓΔ ſecta eſt utcunque in puncto Α: erit [per 4. 2.] quadratum ex ΓΔ æquale & quadratis ex ΓΑ, ΑΔ & ei rectangulo quod bis continetur ſub rectis ΓΑ, ΑΔ. commune addatur ex ΔΒ quadratum: quadrata igitur ex ΓΔ, ΔΒ æqualia ſunt & quadratis ex ΓΑ, ΑΔ, ΔΒ & rectangulo quod bis continetur ſub rectis ΓΑ, ΑΔ. ſed quadratis ex ΓΔ, ΔΒ æquale eſt [per 47. 1.] quadratum ex ΓΒ; rectus enim eſt angulus ad Δ: quadratis vero ex ΑΔ, ΔΒ æquale eſt quadratum ex ΑΒ: quadratum igitur ex ΓΒ æquale eſt & quadratis ex ΓΑ, ΑΒ & rectangulo bis contento ſub rectis ΓΑ, ΑΔ: ergo quadratum ex ΓΒ majus eſt quam quadrata ex ΓΑ, ΑΒ, rectangulo quod bis continetur ſub rectis ΓΑ, ΑΔ.

In triangulis igitur amblygoniis quadratum lateris ſubtendentis angulum obtuſum majus eſt quam quadrata laterum angulum obtuſum comprehendentium, rectangulo bis comprehenſo ſub uno laterum circa angulum obtuſum in quod productum perpendicularis cadit, & recta extra interceptà à perpendiculari ad angulum obtuſum. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Ἐν τοῖς ὀξυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀξεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον

PROP. XIII. THEOR.

In triangulis oxygoniis quadratum lateris ſubtendentis angulum acutum

minus eſt quam quadrata laterum comprehendentium angulum acutum, rectangulo bis comprehenſo ſub uno laterum circa angulum acutum in quod perpendicularis cadit, & recta intus intercepta à perpendiculari ad angulum acutum.

ἐλαττόν ἐστι τῶν ἀπὸ τῶν τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων, τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ὀξεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τὴν ἀπολαμβανομένην ἐντὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ὀξείᾳ γωνίᾳ.

SIT oxygonium triangulum ABΓ acutum habens angulum ad B, & ducatur à puncto A ad BΓ perpendicularis AΔ: dico quadratum quod fit ex AΓ minus eſſe quam quadrata quæ fiunt ex ΓB, BA, rectangulo quod bis continetur ſub rectis ΓB, BΔ.



Quoniam enim recta linea ΓB ſecta eſt utcunque in Δ: erunt [per 7. 2.] quadrata ex ΓB, BΔ æqualia & rectangulo quod bis continetur ſub rectis ΓB, BΔ & quadrato ex ΔΓ. commune addatur ex AΔ quadratum: quadrata igitur ex ΓB, BΔ, ΔA æqualia ſunt & rectangulo bis contento ſub rectis ΓB, BΔ & quadratis ex AΔ, ΔΓ. ſed quadratis ex BΔ, ΔA æquale eſt [per 47. 1.] ex AB quadratum, rectus enim eſt angulus qui ad Δ; quadratis vero ex AΔ, ΔΓ æquale eſt quadratum ex AΓ: quadrata igitur ex ΓB, BA ſunt æqualia quadrato ex AΓ & ei rectangulo quod bis continetur ſub rectis ΓB, BΔ: quare ſolum quadratum ex AΓ minus eſt quam quadrata ex ΓB, BA, rectangulo quod bis continetur ſub rectis ΓB, BΔ.

In triangulis igitur oxygoniis, quadratum lateris ſubtendentis angulum acutum minus eſt quam quadrata laterum comprehendentium angulum acutum, rectangulo bis comprehenſo ſub uno laterum circa angulum acutum in quod perpendicularis cadit, & recta intus intercepta à perpendiculari ad angulum acutum. quod erat demonſtrandum.

Ἔστω ὀξυγώνιον τρίγωνον τὸ ΑΒΓ ὀξεῖαν ἔχων τὴν πρὸς τῷ Β γωνίαν, καὶ ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ· λέγω ὅτι τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον ἐλαττόν ἐστι τῶν ἀπὸ τῶν ΓΒ, ΒΑ τετραγώνων, τῷ δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΒ τέτμηται ὡς ἔτυχε κατὰ τὸ Δ· τὰ ἄρα ἀπὸ τῶν ΓΒ, ΒΔ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς ΔΓ τετραγώνῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΑΔ τετράγωνον· τὰ ἄρα ἀπὸ τῶν ΓΒ, ΒΔ, ΔΑ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ καὶ τοῖς ἀπὸ τῶν ΑΔ, ΔΓ τετραγώνοις. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΒΔ, ΔΑ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ, ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία· τοῖς δὲ ἀπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ἀπὸ τῶν ΓΒ, ΒΑ ἴσα ἐστὶ τῷτε ἀπὸ τῆς ΑΓ καὶ τῷ δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ· ὥστε μόνον ἀπὸ τῆς ΑΓ ἐλαττόν ἐστι τῶν ἀπὸ τῶν ΓΒ, ΒΑ τετραγώνων, τῷ δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐν ἄρα τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἐλαττόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων, τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐντὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ. ὅπερ ἔδει δεῖξαι.

PROP. XIV. PROBL.

Dato rectilineo æquale quadratum conſtituere.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Τῷ δοθέντι εὐθυγράμμῳ ἴσον τετράγωνον συστήσασθαι.

SIT datum rectilineum A: oportet ipſi A rectilineo æquale quadratum conſtituere.

Conſtituatur rectilineo A [per 45. 1.] æquale parallelogrammum rectangulum BΔ. ſi igitur BE eſt æqualis EΔ, factum jam erit quod proponebatur: etenim rectilineo A æquale quadratum conſtitutum eſt BΔ. ſin minus, una ipſarum BE, EΔ major eſt. ſit BE major; & producatur ad Z, ponaturque ipſi EΔ [per 3. 1.] æqualis EZ: deinde ſecta ZB bifariam in H, centro quidem H, intervallo autem æquali uni ipſarum HB, HZ [per 3. poſt.] ſemicirculus deſcribatur BΘZ, producaturque ΔE in Θ, & HΘ jungatur.

Ἔστω τὸ δοθὲν εὐθύγραμμον τὸ Α· δεῖ δὴ τῷ Α εὐθυγράμμῳ ἴσον τετράγωνον συστήσασθαι.

Συνεστάτω τῷ Α εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον ὀρθογώνιον τὸ ΒΔ· εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΔ, γεγονὸς ἂν εἴη τὸ προταχθέν· συνίσταται γὰρ τῷ Α εὐθυγράμμῳ ἴσον τετράγωνον τὸ ΒΔ· εἰ δὲ οὔ, μία τῶν ΒΕ, ΕΔ μείζων ἐστίν. ἔστω μείζων ἡ ΒΕ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ζ, καὶ κείσθω τῇ ΕΔ ἴση ἡ ΕΖ, καὶ τετμήσθω ἡ ΖΒ δίχα κατὰ τὸ Η, καὶ κέντρῳ μὲν τῷ Η, διαστήματι δὲ ἑνὶ τῶν ΗΒ, ΗΖ ἡμικύκλιον γεγράφθω τὸ ΒΘΖ, καὶ ἐκβεβλήσθω ἡ ΔΕ ἐπὶ τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΗΘ.

Ἐπεὶ

Ἐπεὶ οὖν εὐθεῖα ἡ ΒΖ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Η, εἰς δὲ ἄνισα κατὰ τὸ Ε· τὸ ἄρα ὑπὸ τῶν ΒΕ,ΕΖ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΕΗ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΗΖ τετραγώνῳ. ἴση δὲ ἡ ΗΖ τῇ ΗΘ· τὸ ἄρα ὑπὸ τῶν ΒΕ,ΕΖ μετὰ τοῦ ἀπὸ τῆς ΗΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΗΘ. τῷ δὲ ἀπὸ τῆς ΗΘ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΘΕ,ΗΕ τετράγωνα· τὸ ἄρα ὑπὸ τῶν ΒΕ, ΕΖ μετὰ τοῦ ἀπὸ τῆς ΗΕ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΘΕ, ΗΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΗΕ τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΒΕ, ΕΖ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΘ τετραγώνῳ. ἀλλὰ τὸ ὑπὸ τῶν ΒΕ,ΕΖ τὸ ΒΔ ἐστίν, ἴση γὰρ ἡ ΕΖ τῇ ΕΔ· τὸ ἄρα ΒΔ παραλληλόγραμμον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΘΕ τετραγώνῳ. ἴσον δὲ τὸ ΒΔ τῷ Α εὐθυγράμμῳ· τὸ Α ἄρα εὐθύγραμμον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΘ ἀναγραφομένῳ τετραγώνῳ.

Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ Α ἴσον τετράγωνον συνέσταται, τὸ ἀπὸ τῆς ΕΘ ἀναγραφόμενον. ὅπερ ἔδει ποιῆσαι.



Quoniam igitur recta linea BZ secta est in partes æquales ad H & inæquales ad E, erit [per 5. 2.] rectangulum sub BE, EZ una cum quadrato quod sit ex EH æquale quadrato ex HZ. est autem HZ æqualis HΘ: rectangulum igitur sub BE, EZ una cum quadrato ex HE æquale est quadrato ex HΘ. sed quadrato ex HΘ æqualia sunt [per 47. 1.] ex ΘE, HE quadrata: ergo rectangulum sub BE, EZ una cum quadrato ex HE æquale est quadratis ex ΘE, HE. commune auferatur ex HE quadratum: reliquum igitur rectangulum sub BE, EZ est æquale quadrato ex EΘ. sed rectangulum sub BE, EZ est ipsum BΔ parallelelogrammum, quoniam EZ est æqualis EΔ: ergo BΔ parallelogrammum quadrato ex ΘE est æquale. parallelogrammum autem BΔ, est [per constr.] æquale rectilineo A: rectilineum igitur A quadrato ex EΘ descripto æquale erit.

Dato igitur rectilineo A æquale quadratum à recta EΘ descriptum constituitur. quod erat faciendum.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

EUCLIDIS ELEMENTORUM LIBER TERTIUS.

DEFINITIONES.

1. Æquales circuli ſunt, quorum diametri ſunt æquales: vel quorum quæ ex centris ſunt æquales.

2. Recta linea circulum contingere dicitur, quæ contingens circulum & producta ipſum non ſecat.

3. Circuli contingere ſeſe dicuntur, qui contingentes ſe mutuo non ſecant.

4. In circulo æqualiter diſtare à centro rectæ lineæ dicuntur, quando à centro ad ipſas perpendiculares ductæ ſunt æquales.

5. Magis autem diſtare à centro dicitur ea in quam major perpendicularis cadit.

6. Segmentum circuli eſt figura, quæ recta linea & circuli circumferentia comprehenditur.

7. Angulus ſegmenti eſt, qui recta linea & circuli circumferentia comprehenditur.

8. Angulus in ſegmento eſt, quando in circumferentia ſegmenti ſumitur aliquod punctum atque ab ipſo ad terminos lineæ ejus quæ baſis eſt ſegmenti rectæ lineæ ducuntur, angulus à ductis lineis comprehenſus.

9. Quando autem comprehendentes angulum rectæ lineæ aſſumunt circumferentiam, illi inſiſtere angulus dicitur.

10. Sector circuli eſt, quando angu-

ΟΡΟΙ.

α'. Ἴσοι κύκλοι εἰσὶν, ὧν αἱ διάμετροι εἰσὶν ἴσαι· ἢ ὧν αἱ ἐκ τῶν κέντρων ἴσαι εἰσίν.

β'. Εὐθεῖα κύκλου ἐφάπτεσθαι λέγεται, ἥτις ἁπτομένη τοῦ κύκλου καὶ ἐκβαλλομένη οὐ τέμνει τὸν κύκλον.

γ'. Κύκλοι ἐφάπτεσθαι ἀλλήλων λέγονται, οἵτινες ἁπτόμενοι ἀλλήλων οὐ τέμνουσιν ἀλλήλους.

δ'. Ἐν κύκλῳ ἴσον ἀπέχειν ἀπὸ τοῦ κέντρου εὐθεῖαι λέγονται, ὅταν αἱ ἀπὸ τοῦ κέντρου ἐπ' αὐτὰς κάθετοι ἀγόμεναι ἴσαι ὦσι.

ε'. Μᾶλλον δὲ ἀπέχειν λέγεται, ἐφ' ἣν ἡ μείζων κάθετος πίπτει.

ϛ'. Τμῆμα κύκλου ἐστὶ τὸ περιεχόμενον σχῆμα ὑπό τε εὐθείας καὶ κύκλου περιφερείας.

ζ'. Τμήματος δὲ γωνία ἐστὶν ἡ περιεχομένη ὑπό τε εὐθείας καὶ κύκλου περιφερείας.

η'. Ἐν τμήματι δὲ γωνία ἐστὶν, ὅταν ἐπὶ τῆς περιφερείας τοῦ τμήματος ληφθῇ τι σημεῖον καὶ ἀπ' αὐτοῦ ἐπὶ τὰ πέρατα τῆς εὐθείας ἥτις ἐστὶ βάσις τοῦ τμήματος ἐπιζευχθῶσιν εὐθεῖαι, ἡ περιεχομένη γωνία ὑπὸ τῶν ἐπιζευχθεισῶν εὐθειῶν.

θ'. Ὅταν δὲ αἱ περιέχουσαι τὴν γωνίαν εὐθεῖαι ὑπολαμβάνωσί τινα περιφέρειαν, ἐπ' ἐκείνης λέγεται βεβηκέναι ἡ γωνία.

ι'. Τομεὺς δὲ κύκλου ἐστὶν, ὅταν πρὸς τῷ κέν-

τρῳ

περὶ αὐτῆς ἡ κύκλου περιφέρεια, τὸ περιεχόμενον σχῆμα εὐθεῖαι τε τὴν γωνίαν περιέχουσαι εὐθεῖαι καὶ ἡ ἀπολαμβανομένη ὑπ' αὐτῶν περιφέρεια.

lus ad centrum conſtiterit, figura contenta rectis lineis angulum comprehendentibus & circumferentia ab ipſis aſſumpta.

ια. Ὅμοια τμήματα κύκλων ἐστὶν τὰ δεχόμενα γωνίας ἴσας· ἢ ἐν οἷς αἱ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

11. Similia circulorum ſegmenta ſunt, quæ angulos capiunt æquales: vel in quibus anguli ſunt inter ſe æquales.

ΠΡΟΤΑΣΙΣ α'.

Τοῦ δοθέντος κύκλου τὸ κέντρον εὑρεῖν.

Propositio I. Problema.

Dati circuli centrum invenire.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ· δεῖ δὴ τοῦ ΑΒΓ κύκλου τὸ κέντρον εὑρεῖν.

Δήχθω τις εἰς αὐτὸν ὡς ἔτυχεν εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω δίχα κατὰ τὸ Δ σημεῖον, καὶ ἀπὸ τοῦ Δ τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθω ἡ ΔΓ, καὶ διήχθω ἐπὶ τὸ Ε, καὶ τετμήσθω ἡ ΓΕ δίχα κατὰ τὸ Ζ· λέγω ὅτι τὸ Ζ κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν ἔστω τὸ Η, καὶ ἐπεζεύχθωσαν αἱ ΗΑ, ΗΔ, ΗΒ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΒ, κοινὴ δὲ ἡ ΔΗ, δύο δὴ αἱ ΑΔ, ΔΗ δυσὶ ταῖς ΗΔ, ΔΒ ἴσαι εἰσίν, ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΗΑ βάσει τῇ ΗΒ ἴση ἐστίν, καὶ κέντρον γάρ ἐστὶ τὸ Η· γωνία ἄρα ἡ ὑπὸ ΑΔΗ γωνίᾳ τῇ ὑπὸ ΗΔΒ ἐστὶν ἴση. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστίν· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΗΔΒ. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΖΔΒ ὀρθή· ἴση ἄρα ἡ ὑπὸ ΖΔΒ τῇ ὑπὸ ΗΔΒ, ἡ μείζων τῇ ἐλάττονι, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Η κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλο τι πλὴν τοῦ Ζ.

Τὸ Ζ ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ὅπερ ἔδει ποιῆσαι.



SIT datus circulus ΑΒΓ: oportet circuli ΑΒΓ centrum invenire.

Ducatur in ipſo quædam recta linea ΑΒ utcunque, & in puncto Δ [per 10. 1.] bifariam ſecetur, à puncto autem Δ ipſi ΑΒ ad rectos angulos [per 11. 1.] ducta ΔΓ producatur in Ε, & ſecetur ΓΕ bifariam in Ζ: dico punctum Ζ centrum eſſe circuli ΑΒΓ.

Non ſit enim Ζ, ſed, ſi fieri poteſt, ſit Η, & ducantur ΗΑ, ΗΔ, ΗΒ. itaque quoniam ΑΔ eſt æqualis ΔΒ, communis autem ΔΗ, erunt duæ ΑΔ, ΔΗ duabus ΗΔ, ΔΒ æquales, altera alteri, & baſis ΗΑ [per 15. def. 1.] æqualis eſt baſi ΗΒ, ſunt enim ex centro Η: angulus igitur ΑΔΗ [per 8. 1.] angulo ΗΔΒ eſt æqualis. cum autem recta linea ſuper rectam lineam inſiſtens angulos qui ſunt deinceps æquales inter ſe fecerit, [per 10. def. 1.] rectus eſt uterque æqualium angulorum: ergo angulus ΗΔΒ eſt rectus. ſed & rectus ΖΔΒ: æqualis igitur eſt angulus ΖΔΒ angulo ΗΔΒ, major minori, quod fieri non poteſt. quare Η non eſt circuli ΑΒΓ centrum. ſimiliter oſtendemus, neque aliud eſſe præter ipſum Ζ.

Ergo punctum Ζ centrum eſt circuli ΑΒΓ. quod erat faciendum.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν ἐν κύκλῳ τινὶ εὐθεῖα εὐθεῖάν τινα δίχα καὶ πρὸς ὀρθὰς τέμνῃ, ἐπὶ τῆς τεμνούσης ἐστὶ τὸ κέντρον τοῦ κύκλου.

Corollarium.

Ex hoc perſpicuum eſt, ſi in circulo recta linea rectam bifariam & ad angulos rectos ſecet, circuli centrum eſſe in ſecante.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν κύκλου ἐπὶ τῆς περιφερείας λάβῃ δύο τυχόντα σημεῖα, ἡ ἐπὶ τὰ αὐτὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου.

Prop. II. Theor.

Si in circumferentia circuli duo quælibet puncta ſumantur, quæ ipſa conjungit recta linea intra circulum cadet.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ ἐπὶ τῆς περιφερείας αὐτοῦ εἰλήφθω τυχόντα δύο σημεῖα τὰ Α, Β· λέγω ὅτι ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν πιπτέτω ἐκτὸς ὡς ἡ ΑΕΒ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἔστω τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΒ, καὶ διήχθω ἡ ΔΖ ἐπὶ τὸ Ε.

SIT circulus ΑΒΓ, & in circumferentia ipſius ſumantur duo quælibet puncta ΑΒ: dico rectam lineam, quæ à puncto Α ad Β ducitur, intra circulum cadere.

Si enim non, fieri ſi poteſt, cadat extra, ut ΑΕΒ; & ſumatur [per 1. 3.] circuli ΑΒΓ centrum, & ſit Δ, junganturque ΑΔ, ΔΒ, & producatur ΔΖ in Ε.

Quoniam igitur ΔA eſt æqualis ΔB, erit & angulus ΔAE [per 5. 1.] angulo ΔBE æqualis: & quoniam trianguli ΔAE unum latus AEB producitur, angulus ΔEB [per 16. 1.] angulo ΔAE major erit. angulus autem ΔAE æqualis eſt angulo ΔBE: ergo ΔEB angulus angulo ΔBE eſt major. ſed majori angulo [per 18. 1.] majus latus ſubtenditur: major igitur eſt ΔB ipſa ΔE. eſt autem rectæ ΔB æqualis ΔZ: ergo ΔZ eſt major ΔE, minor majore, quod fieri non poteſt. recta igitur linea à puncto A ad B ducta non cadet extra circulum. ſimiliter oſtendemus, neque in ipſam cadere circumferentiam: ergo intus cadat neceſſe eſt.



Si igitur in circumferentia circuli duo quælibet puncta ſumantur, quæ ipſa conjungit recta linea intra circulum cadet. quod erat demonſtrandum.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔA τῇ ΔB, ἴση ἄρα καὶ γωνία ἡ ὑπὸ ΔAE τῇ ὑπὸ ΔBE· καὶ ἐπεὶ τριγώνου τοῦ ΔAE μία πλευρὰ προσεκβέβληται ἡ AEB, μείζων ἄρα ἡ ὑπὸ ΔEB γωνία τῆς ὑπὸ ΔAE. ἴση δὲ ἡ ὑπὸ ΔAE τῇ ὑπὸ ΔBE· μείζων ἄρα ἡ ὑπὸ ΔEB τῆς ὑπὸ ΔBE. τῇ δὲ πρὸς μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει· μείζων ἄρα ἡ ΔB τῆς ΔE. ἴση δὲ ἡ ΔB τῇ ΔZ· μείζων ἄρα ἡ ΔZ τῆς ΔE, ἡ ἐλάττων τοῦ μείζονος, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ A ἐπὶ τὸ B ἐπιζευγνυμένη εὐθεῖα ἐκτὸς πεσεῖται τοῦ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἐπ' αὐτῆς ἡ περιφερείας· ἐντὸς ἄρα.

Ἐὰν ἄρα κύκλου ἐπὶ τῆς περιφερείας ληφθῇ δύο τυχόντα σημεῖα, ἡ ἐπὶ τὰ αὐτὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου. ὅπερ ἔδει δεῖξαι.

PROP. III. THEOR.

Si in circulo recta linea per centrum ducta rectam lineam non ductam per centrum bifariam ſecet, & ad angulos rectos ipſam ſecabit: quod ſi ad angulos rectos ipſam ſecet, & bifariam ſecabit.

SIT circulus ABΓ, & in ipſo recta linea per centrum ducta ΓΔ rectam lineam AB non ductam per centrum bifariam ſecet in puncto Z: dico quod etiam ad angulos rectos ipſam ſecat.

Sumatur enim [per 1. 3.] circuli ABΓ centrum, & ſit E, junganturque EA, EB.

Quoniam igitur AZ eſt æqualis ZB, communis autem ZE, duæ duabus æquales ſunt, & baſis EA baſi EB eſt æqualis; ergo & angulus AZE [per 8. 1.] angulo BZE æqualis erit. cum autem recta linea ſuper rectam inſiſtens angulos qui ſunt deinceps æquales inter ſe fecerit, rectus eſt uterque æqualium angulorum: uterque igitur AZE, BZE eſt rectus. quare recta linea ΓΔ per centrum ducta rectam lineam AB non ductam per centrum bifariam ſecans, & ad angulos rectos ipſam ſecat.



QUOD ſi recta ΓΔ rectam AB ad rectos angulos ſecet: dico quod etiam bifariam ipſam ſecat, hoc eſt, quod AZ ipſi ZB æqualis eſt.

Iiſdem enim conſtructis, quoniam EA quæ ex centro æqualis eſt EB, & angulus EAZ ipſi EBZ [per 5. 1.] æqualis erit. eſt autem & AZE rectus, æqualis recto BZE: duo igitur triangula ſunt EAZ, EBZ, duos angulos duobus angulis æquales habentia, unumque latus uni lateri æquale EZ, commune ſci-

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν ἐν κύκλῳ εὐθεῖά τις διὰ τοῦ κέντρου εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου δίχα τέμνῃ, καὶ πρὸς ὀρθὰς αὐτὴν τεμεῖ· καὶ ἐὰν πρὸς ὀρθὰς αὐτὴν τέμνῃ, καὶ δίχα αὐτὴν τεμεῖ.

Ἔστω κύκλος ὁ ABΓ, καὶ ἐν αὐτῷ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΓΔ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν AB δίχα τεμνέτω κατὰ τὸ Z σημεῖον· λέγω ὅτι καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ABΓ κύκλου, καὶ ἔστω τὸ E, καὶ ἐπεζεύχθωσαν αἱ EA, EB.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AZ τῇ ZB, κοινὴ δὲ ἡ ZE, δύο δὴ δύο ἴσαι εἰσὶν, καὶ βάσις ἡ EA βάσει τῇ EB ἴση, καὶ γωνία ἡ ὑπὸ AZE γωνίᾳ τῇ ὑπὸ BZE ἴση ἐστίν. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν· ἑκατέρα ἄρα τῶν ὑπὸ AZE, BZE ὀρθή ἐστιν. ἡ ΓΔ ἄρα διὰ τοῦ κέντρου τὴν AB μὴ διὰ τοῦ κέντρου οὖσαν δίχα τέμνουσα, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει.

ΑΛΛΑ δὴ ἡ ΓΔ τὴν AB πρὸς ὀρθὰς τεμνέτω· λέγω ὅτι καὶ δίχα αὐτὴν τέμνει, τουτ' ἔστιν, ὅτι ἴση ἐστὶν ἡ AZ τῇ ZB.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ ἴση ἐστὶν ἡ ἐκ τοῦ κέντρου ἡ EA τῇ EB, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ EAZ τῇ ὑπὸ EBZ. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ AZE ὀρθῇ τῇ ὑπὸ BZE ἴση· δύο ἄρα τρίγωνά ἐστι τὰ EAZ, EBZ τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, κοινὴν αὐτῶν τὴν EZ, ὑποτείνουσα

πάντων ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· ἴση ἄρα ἡ ΑΖ τῇ ΒΖ.

Ἐὰν ἄρα ἐν κύκλῳ εὐθεῖά τις διὰ τοῦ κέντρου εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου δίχα τέμνῃ, καὶ πρὸς ὀρθὰς αὐτὴν τεμεῖ· καὶ ἐὰν πρὸς ὀρθὰς τέμνῃ, καὶ δίχα αὐτὴν τεμεῖ. ὅπερ ἔδει δεῖξαι.

licet utrique, quod uni angulorum æqualium ſubtenditur: ergo & reliqua latera reliquis lateribus [per 26. 1.] æqualia habebunt; æqualis igitur eſt AZ ipſi BZ.

Si igitur in circulo recta linea per centrum ducta rectam lineam non ductam per centrum bifariam ſecet, & ad angulos rectos ipſam ſecabit: & ſi ad angulos rectos ipſam ſecet, & bifariam ſecabit. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ Δ'.

Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, μὴ διὰ τοῦ κέντρου οὖσαι· οὐ τέμνουσιν ἀλλήλας δίχα.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ δύο εὐθεῖαι αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε, μὴ διὰ τοῦ κέντρου οὖσαι· λέγω ὅτι οὐ τέμνουσιν ἀλλήλας δίχα.

Εἰ γὰρ δυνατόν, τεμνέτωσαν ἀλλήλας δίχα, ὥστε ἴσον εἶναι τὸ μὲν ΑΕ τῇ ΕΓ, τὸ δὲ ΒΕ τῇ ΕΔ· καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓΔ κύκλου, καὶ ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΖΕ.



Ἐπεὶ οὖν εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΖΕ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου ἠγμένην τὴν ΑΓ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τεμεῖ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΕΑ. πάλιν, ἐπεὶ εὐθεῖά τις ἡ ΖΕ εὐθεῖάν τινα τὴν ΒΔ μὴ διὰ τοῦ κέντρου δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τεμεῖ· ὀρθὴ ἄρα ἡ ὑπὸ ΖΕΒ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΖΕΑ ὀρθή· ἴση ἄρα ἡ ὑπὸ ΖΕΑ τῇ ὑπὸ ΖΕΒ, ἐλάττων τῇ μείζονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα αἱ ΑΓ, ΒΔ τεμνουσιν ἀλλήλας δίχα.

Ἐὰν ἄρα ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, μὴ διὰ τοῦ κέντρου οὖσαι· οὐ τέμνουσιν ἀλλήλας δίχα. ὅπερ ἔδει δεῖξαι.

Prop. IV. Theor.

Si in circulo duæ rectæ lineæ, non ductæ per centrum, ſe invicem ſecent; ſeſe bifariam non ſecabunt.

Sit circulus ABΓΔ; & in ipſo duæ rectæ lineæ AΓ, BΔ, non ductæ per centrum, ſe invicem ſecent in puncto E: dico eas ſeſe bifariam non ſecare.

Si enim fieri poteſt, ſecent ſeſe bifariam, ita ut AE ſit æqualis EΓ, & BE ipſi EΔ: ſumaturque [per 1. 3.] centrum circuli ABΓΔ, & ſit Z, jungaturque ZE.

Quoniam igitur recta linea ZE per centrum ducta rectam lineam AΓ non ductam per centrum bifariam ſecat, [per 3. 3.] & ad rectos angulos ipſam ſecabit: quare rectus eſt ZEA angulus. rurſus, quoniam recta linea ZE rectam lineam BΔ non ductam per centrum bifariam ſecat, & ad angulos rectos ipſam ſecabit: rectus igitur angulus eſt ZEB. oſtenſus autem eſt rectus & ZEA: ergo ZEA angulus ipſi ZEB æqualis erit, minor majori, quod fieri non poteſt. non igitur AΓ, BΔ ſeſe bifariam ſecant.

Quare ſi in circulo duæ rectæ lineæ, non ductæ per centrum, ſe invicem ſecent; ſeſe bifariam non ſecabunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν δύο κύκλοι τέμνωσιν ἀλλήλους, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΓΔΗ τεμνέτωσαν ἀλλήλους κατὰ τὰ Β, Γ σημεῖα· λέγω ὅτι οὐκ ἔστιν αὐτῶν τὸ αὐτὸ κέντρον.

Εἰ γὰρ δυνατόν, ἔστω τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΕΓ, καὶ διήχθω ἡ ΕΖΗ ὡς ἔτυχε.

Καὶ ἐπεὶ τὸ Ε σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΖ. πάλιν, ἐπεὶ τὸ Ε σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΗ κύκλου, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΗ. ἐδείχθη δὲ καὶ ἡ ΕΓ τῇ ΕΖ ἴση· καὶ ἡ ΕΖ ἄρα τῇ ΕΗ ἴση ἐστὶν, ἡ ἐλάσσων τῇ μείζονι, ὅπερ ἀδύνατον.

Prop. V. Theor.

Si duo circuli ſe invicem ſecent, non erit ipſorum idem centrum.



Duo enim circuli ABΓ, ΓΔH ſe invicem ſecent in punctis B, Γ: dico ipſorum idem centrum non eſſe.

Si enim fieri poteſt, ſit illud E, jungaturque EΓ, & EZH utcunque ducatur.

Et quoniam E centrum eſt circuli ABΓ, erit EΓ [per 15. def. 1.] ipſi EZ æqualis. rurſus, quoniam E centrum eſt ΓΔH circuli, æqualis eſt EΓ ipſi EH. ſed oſtenſa eſt EΓ æqualis EZ: ergo EZ ipſi EH æqualis erit, minor majori, quod fieri non

poteſt. non eſt igitur punctum E centrum circulorum ABΓ, ΓΔH.

Quare ſi duo circuli ſe invicem ſecent, non erit ipſorum idem centrum. quod erat demonſtrandum.

Prop. VI. Theor.

Si duo circuli ſeſe intra contingant, ipſorum idem centrum non erit.

DUO enim circuli ABΓ, ΓΔE ſeſe intra contingant in puncto Γ: dico ipſorum non eſſe idem centrum.



Si enim fieri poteſt, ſit Z, jungaturque ZΓ, & ducatur utcunque ZEB.

Quoniam igitur Z centrum eſt circuli ABΓ, æqualis eſt ZΓ ipſi ZB. rurſus, quoniam Z centrum eſt circuli ΓΔE, erit ZΓ æqualis ZE. oſtenſa autem eſt ZΓ æqualis ZB: ergo & ZE ipſi ZB eſt æqualis, minor majori, quod fieri non poteſt. non eſt igitur Z punctum centrum circulorum ABΓ, ΓΔE.

Quare ſi duo circuli ſeſe intra contingant, ipſorum idem centrum non erit. quod erat demonſtrandum.

Prop. VII. Theor.

Si in circuli diametro aliquod punctum ſumatur quod non ſit centrum circuli, & ab eo in circulum cadant quædam rectæ lineæ; maxima quidem erit in qua centrum, reliqua vero minima: aliarum autem, ſemper propinquior ei quæ per centrum major eſt remotiore; duæque tantum æquales ab eodem puncto in circulum cadent, ex utraque parte minimæ.

SIT circulus ABΓΔ, ejus autem diameter ſit AΔ, & in ipſa AΔ ſumatur aliquod punctum Z quod non ſit centrum circuli, ſit autem circuli centrum E, & à puncto Z in circulum ABΓΔ cadant rectæ lineæ ZB, ZΓ, ZH: dico ZA maximam eſſe, ZΔ vero minimam; aliarum autem, ZB quidem majorem quam ZΓ, & ZΓ quam ZH.

Jungantur enim BE, ΓE, HE.

Et quoniam omnis trianguli duo latera [per 20. 1.] reliquo ſunt majora, erunt EB, EZ majores quam BZ. eſt autem AE æqualis BE, ergo BE, EZ ipſi AZ ſunt æquales: major igitur eſt AZ quam BZ. rurſus, quoniam BE eſt æqualis ΓE, communis autem ZE, duæ BE, EZ duabus ΓE, EZ ſunt æquales. ſed BEZ

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς, οὐκ ἔσονται αὐτῶν τὸ αὐτὸ κέντρον.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΓΔΕ ἐφαπτέσθωσαν ἀλλήλων κατὰ τὸ Γ σημεῖον· λέγω ὅτι οὐκ ἔστιν αὐτῶν τὸ αὐτὸ κέντρον.

Εἰ γὰρ δυνατὸν, ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΖΓ, καὶ διήχθω ὡς ἔτυχεν ἡ ΖΕΒ.

Ἐπεὶ οὖν τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΖΓ τῇ ΖΒ. πάλιν, ἐπεὶ τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΕ κύκλου, ἴση ἐστὶν ἡ ΖΓ τῇ ΖΕ. ἐδείχθη δὲ καὶ ἡ ΖΓ τῇ ΖΒ ἴση· καὶ ἡ ΖΕ ἄρα τῇ ΖΒ ἴση ἐστὶν, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα τὸ Ζ σημεῖον κέντρον ἐστὶ τῶν ΑΒΓ, ΓΔΕ κύκλων.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν κύκλου ἐπὶ τῆς διαμέτρου ληφθῇ τι σημεῖον ὃ μή ἐστι κέντρον τοῦ κύκλου, ἀπὸ δὲ τοῦ σημείου προσπίπτωσιν εὐθεῖαί τινες πρὸς τὸν κύκλον· μεγίστη μὲν ἔσται ἐφ' ἧς τὸ κέντρον, ἐλαχίστη δὲ ἡ λοιπὴ τῆς δ' ἄλλαι, ἀεὶ ἡ ἐγγίον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστί· δύο δὲ μόνον εὐθεῖαι ἴσαι ἀπὸ τοῦ αὐτοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον, ἐφ' ἑκάτερα τῆς ἐλαχίστης.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΑΔ, καὶ ἐπὶ τῆς ΑΔ εἰλήφθω τι σημεῖον τὸ Ζ, ὃ μή ἐστι κέντρον τοῦ κύκλου, κέντρον δὲ τοῦ κύκλου ἔστω τὸ Ε, καὶ ἀπὸ τοῦ Ζ πρὸς τὸν ΑΒΓΔ κύκλον προσπιπτέτωσαν εὐθεῖαί τινες αἱ ΖΒ, ΖΓ, ΖΗ· λέγω ὅτι μεγίστη μὲν ἐστιν ἡ ΖΑ, ἐλαχίστη δὲ ἡ ΖΔ· τῶν δὲ ἄλλων, ἡ μὲν ΖΒ τῆς ΖΓ μείζων, ἡ δὲ ΖΓ τῆς ΖΗ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΓΕ, ΗΕ.

Καὶ ἐπεὶ παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσιν, αἱ ἄρα ΕΒ, ΕΖ τῆς ΒΖ μείζονές εἰσιν. ἴση δὲ ἡ ΑΕ τῇ ΒΕ, αἱ ἄρα ΒΕ, ΕΖ ἴσαι εἰσὶ τῇ ΑΖ· μείζων ἄρα ἡ ΑΖ τῆς ΒΖ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΓΕ, κοινὴ ἡ ΖΕ, δύο δὴ αἱ ΒΕ, ΕΖ δυσὶ ταῖς ΓΕ, ΕΖ ἴσαι εἰσίν. ἀλλὰ καὶ γωνία ἡ

ὑπὸ

ὑπὸ ΒΕΖ γωνίας τῆς ὑπὸ ΓΕΖ μείζων· βάσις ἄρα ἡ ΒΖ βάσεως τῆς ΓΖ μείζων ἐστί. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΖ τῆς ΖΗ μείζων.

ΠΑΛΙΝ, ἐπεὶ αἱ ΗΖ, ΖΕ τῆς ΕΗ μείζονές εἰσιν, ἴση δὲ ἡ ΕΗ τῇ ΕΔ· αἱ ἄρα ΗΖ, ΖΕ τῆς ΕΔ μείζονές εἰσι. κοινὴ ἀφῃρήσθω ἡ ΕΖ· λοιπὴ ἄρα ἡ ΗΖ λοιπῆς τῆς ΖΔ μείζων ἐστί. μεγίστη μὲν ἄρα ἡ ΖΑ, ἐλαχίστη δὲ ἡ ΖΔ· μείζων δὲ ἡ μὲν ΖΒ τῆς ΖΓ, ἡ δὲ ΖΓ τῆς ΖΗ.

ΛΕΓΩ ὅτι ἀπὸ τοῦ Ζ σημείου δύο μόνον ἴσαι εὐθεῖαι προσπεσοῦνται πρὸς τὸν ΑΒΓΔ κύκλον, ἐφ' ἑκάτερα τῆς ΖΔ ἐλαχίστης. συνεστάτω γὰρ πρὸς τῇ ΕΖ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ε, τῇ ὑπὸ ΗΕΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΕΘ, καὶ ἐπεζεύχθω ἡ ΖΘ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΗΕ τῇ ΕΘ, κοινὴ δὲ ἡ ΕΖ, δύο δὴ αἱ ΗΕ, ΕΖ δυσὶ ταῖς ΘΕ, ΕΖ ἴσαι εἰσί, καὶ γωνία ἡ ὑπὸ ΗΕΖ γωνίᾳ τῇ ὑπὸ ΘΕΖ ἴση· βάσις ἄρα ἡ ΖΗ βάσει τῇ ΖΘ ἴση ἐστίν. λέγω δὴ ὅτι τῇ ΖΗ ἄλλη ἴση οὐ προσπεσεῖται πρὸς τὸν κύκλον ἀπὸ τοῦ Ζ σημείου. εἰ γὰρ δυνατόν, προσπιπτέτω ἡ ΖΚ. καὶ ἐπεὶ ἡ ΖΚ τῇ ΖΗ ἴση ἐστίν, ἀλλὰ ἡ ΖΘ τῇ ΖΗ ἴση ἐστί· καὶ ἡ ΖΚ ἄρα τῇ ΖΘ ἴση ἐστίν, ἡ ἐγγὺς τῆς διὰ τοῦ κέντρου τῇ ἀπώτερον ἴση, ὅπερ ἀδύνατον.



Η ΚΑΙ ΟΥΤΩΣ. ἐπεζεύχθω ἡ ΕΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΗΕ τῇ ΕΚ, κοινὴ δὲ ἡ ΖΕ, καὶ βάσις ἡ ΗΖ βάσει τῇ ΖΚ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΗΕΖ γωνίᾳ τῇ ὑπὸ ΚΕΖ ἴση ἐστίν. ἀλλ' ἡ ὑπὸ ΗΕΖ γωνία τῇ ὑπὸ ΘΕΖ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΘΕΖ ἄρα τῇ ὑπὸ ΚΕΖ ἐστιν ἴση, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα ἀπὸ τοῦ Ζ σημείου ἑτέρα τις προσπεσεῖται πρὸς τὸν κύκλον ἴση τῇ ΗΖ· μία ἄρα μόνη.

Ἐὰν ἄρα κύκλου ἐπὶ τῆς διαμέτρου ληφθῇ τι σημεῖον, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν εὐθεῖαί τινες, ὧν μία μὲν διὰ τοῦ κέντρου, αἱ δὲ λοιπαὶ ὡς ἔτυχε· τῶν μὲν εἰς τὸ κοίλον τῆς περιφερείας προσπιπτουσῶν εὐθειῶν μεγίστη μὲν ἐστὶν ἡ διὰ τοῦ κέντρου· τῶν δὲ ἄλλων, ἀεὶ ἡ ἐγγίον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν· τῶν δὲ πρὸς τὸ κυρτὸν τῆς περιφερείας προσπιπτουσῶν εὐθειῶν ἐλαχίστη μέν ἐστιν ἡ μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου· τῶν δὲ ἄλλων, ἀεὶ ἡ ἐγγίον τῆς ἐλαχίστης τῆς ἀπώτερόν ἐστιν ἐλάττων. δύο δὲ μόνον εὐθεῖαι ἴσαι προσπεσοῦνται ἀπὸ τοῦ σημείου πρὸς τὸν κύκλον, ἐφ' ἑκάτερα τῆς ἐλαχίστης.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπ' αὐτοῦ διήχθωσαν

angulus major est angulo ΓΕΖ: basis igitur ΒΖ [per 24. 1.] basi ΓΖ est major. eadem ratione & ΓΖ major est quam ΖΗ.

Rursus, quoniam ΗΖ, ΖΕ majores sunt quam ΕΗ, æqualis autem ΕΗ ipsi ΕΔ: erunt ΗΖ, ΖΕ majores quam ΕΔ. communis auferatur ΕΖ: ergo reliqua ΗΖ major est quam reliqua ΖΔ. maxima igitur est ΖΑ, & ΖΔ minima: major vero ΖΒ quam ΖΓ, & ΖΓ quam ΖΗ.

Dico etiam à puncto Ζ duas tantum æquales rectas cadere in circulum ΑΒΓΔ, ex utraque parte minimæ ΖΔ. constituatur enim [per 23. 1.] ad lineam ΕΖ, atque ad datum in ea punctum Ε, angulo ΗΕΖ æqualis angulus ΖΕΘ, & ducatur ΖΘ. quoniam igitur ΗΕ est æqualis ΕΘ, communis autem ΕΖ, duæ ΗΕ, ΕΖ duabus ΘΕ, ΕΖ sunt æquales, & angulus ΗΕΖ [per constr.] æqualis angulo ΘΕΖ: basis igitur ΖΗ [per 4. 1.] basi ΖΘ æqualis erit. dico à puncto Ζ in circulum non cadere aliam ipsi ΖΗ æqualem. si enim fieri potest, cadat ΖΚ. & quoniam ΖΚ est æqualis ΖΗ, estque ipsi ΖΗ æqualis ΖΘ: erit & ΖΚ ipsi ΖΘ æqualis, videlicet propinquior ei quæ per centrum æqualis remotiori, quod fieri non potest.

Vel hoc modo. jungatur ΕΚ. & quoniam ΗΕ ipsi ΕΚ est æqualis, communis autem ΖΕ, & basis ΗΖ æqualis basi ΖΚ; erit & angulus ΗΕΖ [per 8. 1.] æqualis angulo ΚΕΖ. sed angulus ΗΕΖ angulo ΘΕΖ est æqualis: angulus igitur ΘΕΖ ipsi ΚΕΖ æqualis erit, minor majori, quod fieri non potest. quare à puncto Ζ in circulum non cadet alia recta linea æqualis ipsi ΗΖ: ergo una tantum cadet.

Si igitur in circuli diametro aliquod punctum sumatur, & quæ sequuntur. quod erat demonstrandum.

Prop. VIII. Theor.

Si extra circulum aliquod punctum sumatur, atque ab eo ad circulum ducantur quædam rectæ lineæ, quarum una per centrum transeat, reliquæ vero utcunque. earum quidem, quæ in concavam circumferentiam cadunt, maxima est quæ per centrum transit: aliarum autem, semper propinquior ei quæ per centrum major est remotiore: earum vero, quæ in convexam circumferentiam cadunt, minima est quæ inter punctum & diametrum interjicitur: aliarum autem, semper quæ propinquior minimæ minor est remotiore: duæque tantum æquales à puncto in circulum cadunt, ex utraque parte minimæ.

Sit circulus ΑΒΓ, & extra circulum sumatur aliquod punctum Δ, ab eo autem in

circulum ducantur rectæ lineæ ΔΛ, ΔΕ, ΔΖ, ΔΓ, ſitque ΔΛ per centrum: dico earum quidem, quæ in ΑΕΖΓ concavam circumferentiam cadunt, maximam eſſe ΔΛ, quæ per centrum tranſit; & quæ propinquior eſt ei quæ per centrum ſemper erit major remotiore, videlicet ΔΕ quam ΔΖ, & ΔΖ quam ΔΓ; earum vero, quæ in convexam circumferentiam ΘΛΚΗ cadunt, minima eſt ΔΗ, quæ inter Δ & diametrum ΑΗ interjicitur; & quæ propinquior minimæ ſemper eſt minor remotiore, videlicet ΔΚ quam ΔΛ, & ΔΛ quam ΔΘ.

Sumatur enim [per 1. 3.] centrum circuli ΑΒΓ, quod ſit Μ; junganturque ΜΕ, ΜΖ, ΜΓ, ΜΚ, ΜΛ, ΜΘ.

Et quoniam ΑΜ eſt æqualis ΕΜ, communis addatur ΜΔ: ergo ΑΔ eſt æqualis ipſis ΕΜ, ΜΔ. ſed ΕΜ, ΜΔ [per 20. 1.] ſunt majores quam ΕΔ: ergo & ΑΔ quam ΕΔ eſt major. rurſus, quoniam æqualis eſt ΜΕ ipſi ΜΖ, ΜΔ vero communis; erunt ΕΜ, ΜΔ ipſis ΜΖ, ΜΔ æquales. & angulus ΕΜΔ major eſt angulo ΖΜΔ: baſis igitur ΕΔ [per 24. 1.] baſi ΖΔ major erit. ſimiliter demonſtrabimus & ΖΔ majorem eſſe quam ΓΔ: ergo maxima eſt ΔΛ; major autem ΔΕ quam ΔΖ, & ΔΖ quam ΔΓ.



Præterea quoniam ΜΚ, ΚΔ [per 20. 1.] ſunt majores quam ΜΔ, & ΜΗ eſt æqualis ΜΚ, erit reliqua ΚΔ major reliqua ΗΔ: quare ΗΔ minor quam ΚΔ, & idcirco minima eſt. & quoniam ſuper trianguli ΜΛΔ uno latere ΜΔ duæ rectæ lineæ ΜΚ, ΚΔ intus conſtituuntur, erunt ΜΚ, ΚΔ [per 21. 1.] minores ipſis ΜΛ, ΛΔ, quarum ΜΚ eſt æqualis ΜΛ: reliqua igitur ΔΚ minor eſt quam reliqua ΔΛ. ſimiliter oſtendemus & ΔΛ quam ΔΘ minorem eſſe: eſt ergo ΔΗ minima, minor vero ΔΚ quam ΔΛ, & ΔΛ quam ΔΘ.

Dico etiam duas tantum æquales à puncto Δ in circulum cadere, ex utraque parte minimæ. conſtituatur [per 23. 1.] ad rectam lineam ΜΔ, & ad datum in ea punctum Μ, angulo ΚΜΔ æqualis angulus ΔΜΒ, & ΔΒ jungatur. itaque quoniam ΜΚ eſt æqualis ΜΒ, communis autem ΜΔ, duæ ΚΜ, ΜΔ duabus ΒΜ, ΜΔ æquales ſunt, utraque utrique, & angulus ΚΜΔ æqualis angulo ΒΜΔ: baſis igitur ΔΚ [per 4. 1.] baſi ΔΒ eſt æqualis. dico autem à puncto Δ nullam aliam ipſi ΔΚ æqualem in circulum cadere. ſi enim fieri poteſt, cadat ΔΝ. & quoniam ΔΚ eſt æqualis ΔΝ, & ΔΒ ipſi ΔΚ æqualis; erit & ΔΒ æqualis ΔΝ, propinquior ſcilicet minimæ æqualis remotiori, quod fieri non poſſe oſtenſum eſt.

εὐθεῖαί τινες πρὸς τὸν κύκλον αἱ ΔΑ, ΔΕ, ΔΖ, ΔΓ. ἔστω δὲ ἡ ΔΑ διὰ τοῦ κέντρου· λέγω ὅτι μὲν τῶν πρὸς τὴν ΑΕΖΓ κοίλην τοῦ περιφερείας πεσουσῶν εὐθειῶν μεγίστη μέν ἐστιν ἡ διὰ τοῦ κέντρου ἡ ΔΑ· αἰεὶ δὲ ἡ ἐγγίον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν, ἡ μὲν ΔΕ τῆς ΔΖ, ἡ δὲ ΔΖ τῆς ΔΓ· τῶν δὲ πρὸς τὴν ΘΛΚΗ κυρτὴν περιφέρειαν πεσουσῶν εὐθειῶν ἐλαχίστη μέν ἐστιν ἡ ΔΗ, ἡ μεταξὺ τοῦ σημείου Δ καὶ τῆς διαμέτρου ΑΗ· αἰεὶ δὲ ἡ ἐγγίον τῆς ΔΗ ἐλάσσων ἐστὶ τοῦ ἀπώτερον, ἡ μὲν ΔΚ τῆς ΔΛ, ἡ δὲ ΔΛ τῆς ΔΘ.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἔστω τὸ Μ· καὶ ἐπεζεύχθωσαν αἱ ΜΕ, ΜΖ, ΜΓ, ΜΚ, ΜΛ, ΜΘ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΜ τῇ ΕΜ, κοινὴ προσκείσθω ἡ ΜΔ· ἡ ἄρα ΑΔ ἴση ἐστὶ ταῖς ΕΜ, ΜΔ. ἀλλ' αἱ ΕΜ, ΜΔ τῆς ΕΔ μείζονές εἰσι καὶ ἡ ΑΔ ἄρα τῆς ΕΔ μείζων ἐστί. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΜΕ τῇ ΜΖ, κοινὴ δὲ ἡ ΜΔ, αἱ ΕΜ, ΜΔ ἄρα ταῖς ΜΖ, ΜΔ ἴσαι εἰσί, καὶ γωνία ἡ ὑπὸ ΕΜΔ γωνίας τῆς ὑπὸ ΖΜΔ μείζων ἐστί· βάσις ἄρα ἡ ΕΔ βάσεως τῆς ΖΔ μείζων ἐστί. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΖΔ τῆς ΓΔ μείζων ἐστί· μεγίστη μὲν ἄρα ἡ ΔΑ, μείζων δὲ ἡ μὲν ΔΕ τῆς ΔΖ, ἡ δὲ ΔΖ τῆς ΔΓ.

ΚΑΙ ἐπεὶ αἱ ΜΚ, ΚΔ τῆς ΜΔ μείζονές εἰσιν, ἴση δὲ ἡ ΜΗ τῇ ΜΚ, λοιπὴ ἄρα ἡ ΚΔ λοιπῆς τῆς ΗΔ μείζων ἐστί· ὥστε καὶ ἡ ΗΔ τῆς ΚΔ ἐλάσσων ἐστίν, ἐλαχίστη ἄρα ἐστί. καὶ ἐπεὶ τριγώνου τοῦ ΜΛΔ δύο πλευραὶ αἱ ΜΚ, ΚΔ μιᾶς τῶν λοιπῶν τῆς ΜΔ δύο εὐθεῖαι ἐντὸς συνεστάθησαν αἱ ΜΚ, ΚΔ, αἱ ἄρα ΜΚ, ΚΔ τῶν ΜΛ, ΛΔ ἐλάττονές εἰσιν, ὧν ἐστιν ἴση ἡ ΜΚ τῇ ΜΛ· λοιπὴ ἄρα ἡ ΔΚ λοιπῆς τῆς ΔΛ ἐλάττων ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΔΛ τῆς ΔΘ ἐλάττων ἐστίν· ἐλαχίστη μὲν ἄρα ἡ ΔΗ, ἐλάττων δὲ ἡ μὲν ΔΚ τῆς ΔΛ, ἡ δὲ ΔΛ τῆς ΔΘ.

ΛΕΓΩ ὅτι καὶ δύο μόναι ἴσαι εὐθεῖαι ἀπὸ τοῦ Δ σημείου συσταθήσονται πρὸς τὸν κύκλον, ἐφ' ἑκάτερα τῆς ΔΗ ἐλαχίστης. συνεστάτω πρὸς τῇ ΜΔ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Μ, τῇ ὑπὸ ΚΜΔ γωνίᾳ ἴση γωνία ἡ ὑπὸ ΔΜΒ, καὶ ἐπεζεύχθω ἡ ΔΒ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΜΚ τῇ ΜΒ, κοινὴ δὲ ἡ ΜΔ, δύο δὴ αἱ ΚΜ, ΜΔ δυσὶ ταῖς ΒΜ, ΜΔ ἴσαι εἰσίν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΚΜΔ γωνίᾳ τῇ ὑπὸ ΒΜΔ ἴση ἐστί· βάσις ἄρα ἡ ΔΚ βάσει τῇ ΔΒ ἴση ἐστί. λέγω δὴ ὅτι τῇ ΔΚ εὐθείᾳ ἄλλη ἴση οὐ προσπεσεῖται πρὸς τὸν κύκλον ἀπὸ τοῦ Δ σημείου. εἰ γὰρ δυνατὸν προσπιπτέτω, καὶ ἔστω ἡ ΔΝ. ἐπεὶ οὖν ἡ ΔΚ τῇ ΔΝ ἐστιν ἴση, ἀλλὰ ἡ ΔΚ τῇ ΔΒ ἐστὶν ἴση· καὶ ἡ ΔΒ ἄρα τῇ ΔΝ ἴση ἐστίν, ἡ ἐγγὺς τῆς ΔΗ ἐλαχίστης τῇ ἀπώτερον ἐστὶν ἴση, ὅπερ ἀδύνατον ἐδείχθη.

Η ΚΑΙ

Η ΚΑΙ ΑΛΛΩΣ. ἐπεζεύχθω ἡ ΜΝ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΚΜ τῇ ΜΝ, κοινὴ δὲ ἡ ΜΔ, καὶ βάσις ἡ ΔΚ βάσει τῇ ΔΝ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΚΜΔ γωνίᾳ τῇ ὑπὸ ΔΜΝ ἴση ἐστίν. ἀλλ' ἡ ὑπὸ ΚΜΔ τῇ ὑπὸ ΒΜΔ ἴση ἐστί· καὶ ἡ ὑπὸ ΒΜΔ ἄρα τῇ ὑπὸ ΝΜΔ ἴση, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα πλείους ἢ δύο εὐθεῖαι ἀπὸ τοῦ Δ σημείου ἐφ' ἑκάτερα τὴν ΗΔ ἐλαχίστης προσπεσοῦνται.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐντὸς, καὶ τὰ ἐξῆς. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐντὸς, ἀπ' αὐτοῦ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν πλείους ἢ δύο εὐθεῖαι ἴσαι, τὸ ληφθὲν σημεῖον κέντρον ἐστὶ τοῦ κύκλου.

Ἔστω κύκλος ὁ ΑΒΓ, ἐντὸς δέ τι αὐτοῦ σημεῖον τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσπιπτέτωσαν πλείους ἢ δύο εὐθεῖαι ἴσαι, αἱ ΔΑ, ΔΒ, ΔΓ· λέγω ὅτι τὸ Δ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΒ, ΒΓ, καὶ τετμήσθωσαν δίχα κατὰ τὰ Ε, Ζ σημεῖα, καὶ διῃχθεῖσαι αἱ ΕΔ, ΔΖ διήχθωσαν ἐπὶ τὰ Η, Κ, Θ, Λ σημεῖα.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΒ, κοινὴ δὲ ἡ ΕΔ· δύο δὴ αἱ ΑΕ, ΕΔ δυσὶ ταῖς ΒΕ, ΕΔ ἴσαι εἰσί. καὶ βάσις ἡ ΔΑ βάσει τῇ ΔΒ ἴση ἐστί· γωνία ἄρα ἡ ὑπὸ ΑΕΔ γωνίᾳ τῇ ὑπὸ ΒΕΔ ἴση ἐστίν· ὀρθὴ ἄρα ἑκατέρα τῶν ὑπὸ ΑΕΔ, ΒΕΔ γωνιῶν· ἡ ΗΚ ἄρα τὴν ΑΒ δίχα τέμνουσα καὶ πρὸς ὀρθὰς τέμνει. καὶ ἐπεὶ, ἐὰν ἐν κύκλῳ τινὲς εὐθεῖαι εὐθεῖάν τινα δίχα τε καὶ πρὸς ὀρθὰς τέμνωσι, διὰ τοῦ τομὴν ἐστὶ τὸ κέντρον τοῦ κύκλου· ἐπὶ δὴ τῆς ΗΚ ἄρα ἐστὶ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου. διὰ τὰ αὐτὰ δὴ καὶ ἐπὶ τῆς ΘΛ ἐστὶ τὸ κέντρον τοῦ ΑΒΓ. καὶ οὐδὲν ἄλλο κοινὸν ἔχουσιν αἱ ΗΚ, ΘΛ εὐθεῖαι, ἢ τὸ Δ σημεῖον· τὸ Δ ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐντὸς, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν εὐθεῖαι πλείους ἢ δύο ἴσαι, τὸ ληφθὲν σημεῖον κέντρον ἐστὶ τοῦ κύκλου. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΩΣ.

Κύκλου γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐντὸς τὸ Δ, ἀπὸ δὲ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσπιπτέτωσαν πλείους ἢ δύο ἴσαι εὐθεῖαι, αἱ ΔΑ, ΔΒ, ΔΓ· λέγω ὅτι τὸ ληφθὲν σημεῖον τὸ Δ κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν ἔστω τὸ Ε, καὶ διῃχθεῖσα ἡ ΔΕ διήχθω ἐπὶ τὰ Ζ, Η σημεῖα, ἡ ἄρα ΖΗ διάμετρός ἐστι τοῦ ΑΒΓ κύκλου. ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ

VEL ALITER. jungatur MN. & quoniam æqualis eſt KM ipſi MN, communis autem MΔ, & baſis ΔK baſi ΔN æqualis: angulus KMΔ æqualis erit [per 8. 1.] angulo ΔMN. ſed KMΔ angulus eſt æqualis angulo BMΔ: angulus igitur BMΔ angulo NMΔ æqualis erit, minor majori, quod fieri non poteſt. quare non plures quam duæ rectæ lineæ à puncto Δ in circulum ABΓ cadent, ex utraq; parte minimæ HΔ.

Si igitur extra circulum aliquod punctum ſumatur, & quæ ſequuntur. quod erat demonſtrandum.

PROP. IX. THEOR.

Si intra circulum ſumatur aliquod punctum, atque ab eo in circulum cadant plures quam duæ rectæ lineæ æquales, punctum quod ſumitur erit centrum circuli.

SIT circulus ABΓ, & intra ipſum ſumatur punctum Δ, à quo in circulum cadant plures quam duæ rectæ lineæ æquales, videlicet ΔA, ΔB, ΔΓ: dico punctum Δ centrum eſſe circuli ABΓ.

Jungantur enim AB, BΓ, ſecenturque bifariam [per 10. 1.] in punctis E, Z, & junctæ EΔ, ΔZ ad puncta H, K, Θ, Λ producantur.

Quoniam igitur AE eſt æqualis EB, communis autem EΔ: erunt duæ AE, EΔ duabus BE, EΔ æquales. & baſis ΔA eſt æqualis baſi ΔB: angulus igitur AEΔ angulo BEΔ [per 8. 1.] æqualis erit: & idcirco [per 10. def. 1.] uterque angulorum AEΔ, BEΔ eſt rectus: ergo HK bifariam ſecans AB, & ad angulos rectos ipſam ſecat. & quoniam, ſi in circulo recta linea rectam lineam bifariam & ad rectos angulos ſecet, circuli centrum eſt [per cor. 1. 3.] in ſecante: erit in HK centrum circuli ABΓ. eadem ratione & in ΘΛ erit centrum circuli ABΓ. nullum autem aliud commune habent rectæ lineæ HK, ΘΛ præter punctum Δ: eſt ergo Δ centrum circuli ABΓ.

Si igitur intra circulum ſumatur aliquod punctum, atque ab eo in circulum cadant plures quam duæ rectæ lineæ æquales, punctum quod ſumitur erit centrum circuli. quod erat demonſtrandum.

ALITER.



Sumatur enim intra circulum ABΓ punctum aliquod Δ, atque à puncto Δ in circulum ABΓ cadant plures quam duæ rectæ lineæ æquales ΔA, ΔB, ΔΓ: dico aſſumptum punctum Δ centrum eſſe circuli ABΓ.

Si enim non ſit, fieri ſi poteſt, ſit E, & junctæ ΔE producatur in Z, H: ergo ZH diameter eſt circuli ABΓ. itaque quoniam in

ΣΗ diametro circuli ΑΒΓ ſumptum eſt aliquod punctum Δ, quod non eſt centrum circuli; [per 7. 3.] maxima quidem erit ΔΗ, major autem ΔΓ quam ΔΒ, & ΔΒ quam ΔΑ. ſed & æquales, quod fieri non poteſt: non eſt igitur Ε centrum circuli ΑΒΓ. ſimiliter oſtendemus neque aliud punctum centrum eſſe præter ipſum Δ: erit igitur Δ centrum circuli ΑΒΓ.

Prop. X. Theor.

Circulus circulum in pluribus quam duobus punctis non ſecat.

SI enim fieri poteſt, circulus ΑΒΓ circulum ΔΕΖ ſecet in pluribus punctis quam duobus, videlicet in Β, Η, Θ, & junctæ ΒΗ, ΒΘ bifariam ſecentur in Κ, Λ, atque à punctis Κ, Λ ipſis ΒΗ, ΒΘ ad rectos angulos ductæ ΚΓ, ΛΜ in puncta Α, Ε producantur.



Quoniam igitur in circulo ΑΒΓ, recta linea ΑΓ rectam lineam ΒΘ bifariam & ad angulos rectos ſecat, in ipſa ΑΓ [per cor. 1. 3.] erit centrum circuli ΑΒΓ. rurſus, quoniam in eodem circulo ΑΒΓ recta linea ΝΞ rectam lineam ΒΗ bifariam ſecat & ad angulos rectos, in ipſa ΝΞ centrum erit circuli ΑΒΓ. oſtenſum autem eſt & in ipſa ΑΓ centrum eſſe, & in nullo alio puncto conveniunt inter ſe rectæ lineæ ΑΓ, ΝΞ, præterquam in Ο: eſt igitur Ο centrum circuli ΑΒΓ. ſimiliter oſtendemus punctum Ο centrum eſſe circuli ΔΕΖ: ergo duorum circulorum ſeſe ſecantium ΑΒΓ, ΔΕΖ idem erit centrum Ο, quod [per 5. 3.] fieri non poteſt.

Circulus igitur non ſecat circulum in pluribus punctis quam duobus. quod erat demonſtrandum.

Aliter.

Circulus enim ΑΒΓ rurſus circulum ΔΕΖ ſecet in pluribus punctis quam duobus, nempe in Β, Η, Ζ, & circuli ΑΒΓ centrum ſumatur quod ſit Κ, & ΚΖ, ΚΗ, ΚΒ jungantur.



Quoniam igitur intra circulum ΔΕΖ ſumptum eſt punctum Κ, à quo in circulum ΔΕΖ incidant plures quam duæ rectæ lineæ æquales, ΚΒ, ΚΖ, ΚΗ, punctum Κ erit [per 9. 3.] centrum circuli ΔΕΖ. eſt autem Κ centrum circuli ΑΒΓ: duorum igitur circulorum, qui ſeſe ſecant, erit idem centrum Κ, quod [per 5. 3.] fieri non poteſt.

Quare circulus circulum in pluribus quam duobus punctis non ſecat. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ι'.

Κύκλος κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο.

ΕΙ γὰρ δυνατὸν, κύκλος ὁ ΑΒΓ κύκλον τὸν ΔΕΖ τεμνέτω κατὰ πλείονα σημεῖα ἢ δύο, τὰ Β, Η, Θ, καὶ ἤχθωσαν αἱ ΒΗ, ΒΘ δίχα τμηθεῖσαι κατὰ τὰ Κ, Λ σημεῖα. καὶ ἀπὸ τῶν Κ, Λ τῇ ΒΗ, ΒΘ πρὸς ὀρθὰς ἀχθεῖσαι αἱ ΚΓ, ΛΜ ἐπὶ τὰ Α, Ε διήχθωσαν σημεῖα.

Ἐπεὶ οὖν ἐν κύκλῳ τῷ ΑΒΓ εὐθεῖά τις ἡ ΑΓ εὐθεῖάν τινα τὴν ΒΘ δίχα τέμνει καὶ πρὸς ὀρθὰς, ἐπὶ τοῦ ΑΓ ἄρα ἐστὶ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου. πάλιν, ἐπεὶ ἐν κύκλῳ τῷ αὐτῷ τῷ ΑΒΓ εὐθεῖά τις ἡ ΝΞ εὐθεῖάν τινα τὴν ΒΗ δίχα καὶ πρὸς ὀρθὰς τέμνει, ἐπὶ τοῦ ΝΞ ἄρα τὸ κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ἐδείχθη δὲ καὶ ἐπὶ τοῦ ΑΓ, καὶ κατ' ἀδύνατον συμβάλλουσιν αἱ ΑΓ, ΝΞ εὐθεῖαι ἀλλήλαις ἢ κατὰ τὸ Ο· τὸ Ο ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τοῦ ΔΕΖ κύκλου κέντρον ἐστὶ τὸ Ο· δύο ἄρα κύκλων τεμνόντων ἀλλήλους, τῶν ΑΒΓ, ΔΕΖ, τὸ αὐτό ἐστι κέντρον τὸ Ο, ὅπερ ἐστὶν ἀδύνατον.

Οὐκ ἄρα κύκλος κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΩΣ.

Κύκλος γὰρ πάλιν ὁ ΑΒΓ κύκλον τὸν ΔΕΖ τεμνέτω κατὰ πλείονα σημεῖα ἢ δύο, τὰ Β, Η, Ζ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓ κύκλου, τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΖ, ΚΗ, ΚΒ.

Ἐπεὶ οὖν κύκλου τοῦ ΔΕΖ εἴληπταί τι σημεῖον ἐντὸς, τὸ Κ, καὶ ἀπὸ τοῦ Κ πρὸς τὸν ΔΕΖ κύκλον προσπίπτωσι τρεῖς ἢ δύο ἴσαι εὐθεῖαι, αἱ ΚΒ, ΚΖ, ΚΗ· τὸ Κ ἄρα σημεῖόν ἐστι κέντρον τοῦ ΔΕΖ κύκλου. ἔστι δὲ καὶ τοῦ ΑΒΓ κύκλου κέντρον τὸ Κ· δύο ἄρα κύκλων τεμνόντων ἀλλήλους τὸ αὐτὸ κέντρον ἐστὶ τὸ Κ, ὅπερ ἀδύνατον.

Οὐκ ἄρα κύκλος κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ια'.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς, καὶ λη-φθῇ αὐτῶν τὰ κέντρα, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα ἐκβαλλομένη ἐπὶ τὴν συναφὴν πεσεῖται τῶν κύκλων.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΑΔΕ ἁπτέσθωσαν ἀλλήλων ἐντὸς κατὰ τὸ Α σημεῖον, καὶ εἰλήφθω τοῦ μὲν ΑΒΓ κύκλου κέντρον τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η· λέγω ὅτι ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη εὐθεῖα ἐκβαλλομένη ἐπὶ τὸ Α σημεῖον πεσεῖται.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν πιπτέτω ὡς ἡ ΖΗΔΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΑΗ.



Ἐπεὶ οὖν αἱ ΑΗ, ΗΖ τῆς ΖΑ μείζονές εἰσι τὴν ΖΘ (ἴση γὰρ ἡ ΖΑ τῇ ΖΘ, ἀπὸ κέντρου γὰρ ἀμφω) μείζονες εἰσιν, κοινὴ ἀφῃρήσθω ἡ ΖΗ· λοιπὴ ἄρα ἡ ΑΗ λοιπῆς τῆς ΗΘ μείζων ἐστίν. ἴση δὲ ἡ ΑΗ τῇ ΗΔ· καὶ ἡ ΗΔ ἄρα τῆς ΗΘ μείζων ἐστὶν, ἡ ἐλάττων τοῦ μείζονος, ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα ἐκτὸς τοῦ κατὰ τὸ Α συναφοῦς πεσεῖται· ἐπ' αὐτῷ ἄρα.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα καὶ ἐκβαλλομένη ἐπὶ τὴν συναφὴν πεσεῖται τῶν κύκλων. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΩΣ.

Ἀλλὰ δὴ πιπτέτω ὡς ἡ ΗΖΓ καὶ συμπεβλήσθω ἐπ' εὐθείας ἡ ΓΖΗ ἐπὶ τὸ Θ σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΑΖ.

Ἐπεὶ οὖν αἱ ΑΗ, ΗΖ μείζονές εἰσι τῆς ΑΖ, ἀλλὰ ἡ ΑΖ ἴση ἐστὶ τῇ ΓΖ, τοῦτ' ἔστι τῇ ΖΘ, κοινὴ ἀφῃρήσθω ἡ ΖΗ· λοιπὴ ἄρα ἡ ΑΗ λοιπῆς τῆς ΗΘ μείζων ἐστὶ, τοῦτ' ἔστιν ἡ ΗΔ τῆς ΗΘ, ἡ ἐλάττων τοῦ μείζονος, ὅπερ οὐκ ἐνδέχεται ἀδύνατον. ὁμοίως δὲ κἂν ἐκτὸς ᾖ τοῦ μικροῦ τὸ κέντρον τοῦ μείζονος κύκλου, δείξομεν τὸ αὐτὸ ἄτοπον.

PROP. XI. THEOR.

Si duo circuli ſeſe intus contingant, & ſumantur centra ipſorum; recta linea ipſorum centra conjungens producta in circulorum contactum cadet.

DUO enim circuli ABΓ, AΔE ſeſe intus contingant in puncto A, & ſumatur circuli quidem ABΓ centrum, quod ſit Z, circuli vero AΔE centrum H: dico rectam lineam à puncto H ad Z ductam, ſi producatur, in punctum A cadere.

Si enim non, fieri ſi poteſt, cadat ut ZHΔΘ, & jungantur AZ, AH.

Quoniam igitur AH, HZ majores ſunt [per 20. 1.] quam ZA, hoc eſt, quam ZΘ, (eſt enim ZA æqualis ZΘ, ambæ ab eodem centro) communis auferatur ZH, reliqua igitur AH major eſt quam reliqua HΘ. ſed AH eſt æqualis HΔ: ergo HΔ major eſt ipſa HΘ, minor majore, quod fieri non poteſt. non igitur à puncto Z ad H ducta recta linea extra contactum A cadet: quare in ipſum cadat neceſſe eſt.

Si igitur duo circuli ſeſe intus contingant, recta linea ipſorum centra conjungens, ſi producatur, in contactum circulorum cadet. quod erat demonſtrandum.

ALITER.

Sed cadat ut HZΓ, & producatur in directum ΓZH ad punctum Θ, junganturque AH, AZ.

Quoniam igitur AH, HZ majores ſunt quam AZ, & AZ eſt æqualis ΓZ, hoc eſt ipſi ZΘ, communis auferatur ZH: reliqua igitur AH reliqua HΘ eſt major; hoc eſt HΔ major ipſa HΘ, minor majore, quod fieri non poteſt. ſimiliter & ſi extra circulum parvum ſit centrum majoris circuli, idem ſequi abſurdum oſtendemus.

Hæc demonſtratio vix differt à priori, adeo ut videatur non eſſe Euclidis.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Ἐὰν δύο κύκλοι ἅπτωνται ἀλλήλων ἐκτὸς, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα διὰ τῆς ἁφῆς ἐλεύσεται.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΑΔΕ ἁπτέσθωσαν ἀλλήλων ἐκτὸς κατὰ τὸ Α σημεῖον, καὶ εἰλήφθω τοῦ μὲν ΑΒΓ κύκλου κέντρον, τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η· λέγω ὅτι ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα διὰ τοῦ κατὰ τὸ Α ἁφῆς ἐλεύσεται.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν ἐρχέσθω ὡς αἱ ΖΓΔΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΑΗ.

PROP. XII. THEOR.

Si duo circuli ſeſe extra contingant, recta linea ipſorum centra conjungens per contactum tranſibit.

DUO enim circuli ABΓ, AΔE ſeſe extra contingant in puncto A; & ſumatur circuli quidem ABΓ centrum quod ſit Z, circuli vero AΔE centrum H: dico rectam lineam, quæ à puncto Z ad H ducitur, per contactum A tranſire.

Si enim non, fieri ſi poteſt, cadat ut ZΓΔH, & AZ, AH jungantur.

Quoniam igitur Z centrum eſt circuli ABΓ, erit ZA æqualis ZΓ. rurſus, quoniam H centrum eſt AΔE circuli, erit AH ipſi HΔ æqualis. oſtenſa eſt autem & ZA æqualis ZΓ. ſunt igitur ZA, AH ipſis ZΓ, ΔH æquales: ergo tota ZH major eſt quam ZA, AH. ſed & [per 20. 1.] minor; quod fieri non poteſt. non igitur à puncto Z ad H ducta recta linea per contactum A non tranſibit: quare per ipſum tranſeat neceſſe eſt.



Si igitur duo circuli ſeſe extra contingant, recta linea ipſorum centra conjungens per contactum tranſibit. quod erat demonſtrandum.

Επεὶ ἓν τὸ Z σημεῖον κέντρον ἐστὶ τοῦ ABΓ κύκλου, ἴση ἐστὶν ἡ ZA τῇ ZΓ. πάλιν, ἐπεὶ τὸ H σημεῖον κέντρον ἐστὶ τοῦ AΔE κύκλου, ἴση ἐστὶν ἡ AH τῇ HΔ. ἐδείχθη δὲ καὶ ἡ ZA τῇ ZΓ ἴση· αἱ ἄρα ZA, AH τῇ ZΓ, ΔH ἴσαι εἰσίν· ὥστε ὅλη ἡ ZH τῶν ZA, AH μείζων ἐστίν, ἀλλὰ καὶ ἐλάττων· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Z ἐπὶ τὸ H ἐπιζευγνυμένη εὐθεῖα ἥξει διὰ τῆς κατὰ τὸ A ἐπαφῆς οὐκ ἐλεύσεται· δι' αὐτῆς ἄρα.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐκτὸς, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα διὰ τῆς ἐπαφῆς ἐλεύσεται. ὅπερ ἔδει δεῖξαι.

PROP. XIII. THEOR.

Circulus circulum non contingit in pluribus punctis quam uno, ſive intus ſive extra contingat.

SI enim fieri poteſt, circulus ABΔΓ circulum EBZΔ contingat primum intus in pluribus punctis quam uno, videlicet in B, Δ.

Et ſumatur [per 1. 3.] circuli quidem ABΔΓ centrum H, circuli vero EBZΔ centrum Θ.

Ergo recta linea, quæ à puncto H ad Θ ducitur, [per 11. 3.] in puncta B, Δ cadet. cadat ut BHΘΔ. & quoniam H centrum eſt circuli ABΔΓ, erit BH ipſi HΔ æqualis: major eſt igitur BH quam ΘΔ, & BΘ quam ΘΔ multo major. rurſus, quoniam Θ centrum eſt EBZΔ circuli, æqualis eſt BΘ ipſi ΘΔ. atqui oſtenſa eſt ipſa multo major, quod fieri non poteſt: non igitur circulus circulum intus contingit in pluribus punctis quam uno.



DICO etiam neque extra. ſi enim fieri poteſt, circulus AΓK circulum ABΔΓ extra contingat in pluribus punctis quam uno, videlicet in A, Γ, & ducatur AΓ.

Quoniam igitur in circumferentia circulorum ABΔΓ, AΓK ſumpta ſunt duo quælibet puncta A, Γ; recta linea quæ ipſa conjungit [per 2. 3.] intra utrumq; ipſorum cadet. ſed [per 3. def. 3.] quæ intra circulum quidem ABΔΓ cadit, extra circulum AΓK cadet, quod abſurdum: circulus igitur non contingit circulum extra in pluribus punctis quam uno. oſtenſum autem eſt neque intus contingere.

Circulus igitur circulum non contingit in pluribus punctis quam uno, ſive intus ſive extra contingat. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Κύκλος κύκλου οὐκ ἐφάπτεται κατὰ πλείονα σημεῖα ἢ κατ' ἕν, εἴτε ἐκτὸς εἴτε ἐντὸς ἐφάπτηται.

Εἰ γὰρ δυνατὸν, κύκλος ὁ ABΔΓ κύκλου τοῦ EBZΔ ἁπτέσθω πρότερον ἐντὸς κατὰ πλείονα σημεῖα ἢ ἓν, τὰ B, Δ.

Καὶ εἰλήφθω τοῦ μὲν ABΔΓ κύκλου κέντρον, τὸ H· τοῦ δὲ EBZΔ, τὸ Θ.

Ἡ ἄρα ἀπὸ τοῦ H ἐπὶ τὸ Θ ἐπιζευγνυμένη εὐθεῖα ἐπὶ τὰ B, Δ πεσεῖται. πιπτέτω ὡς ἡ BHΘΔ. καὶ ἐπεὶ τὸ H σημεῖον κέντρον ἐστὶ τοῦ ABΔΓ κύκλου, ἴση ἐστὶν ἡ BH τῇ HΔ· μείζων ἄρα ἡ BH τῆς ΘΔ· πολλῷ ἄρα μείζων ἡ BΘ τῆς ΘΔ. πάλιν, ἐπεὶ τὸ Θ σημεῖον κέντρον ἐστὶ τοῦ EBZΔ κύκλου, ἴση ἐστὶν ἡ BΘ τῇ ΘΔ. ἐδείχθη δὲ αὐτῆς καὶ πολλῷ μείζων, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα κύκλος κύκλου ἐφάπτεται ἐντὸς κατὰ πλείονα σημεῖα ἢ ἕν.

ΛΕΓΩ δὴ ὅτι οὐδὲ ἐκτός. εἰ γὰρ δυνατὸν, κύκλος ὁ AΓK κύκλου τοῦ ABΔΓ ἐφαπτέσθω ἐκτὸς κατὰ πλείονα σημεῖα ἢ ἓν, τὰ A, Γ, καὶ ἐπεζεύχθω ἡ AΓ.

Ἐπεὶ οὖν κύκλων τῶν ABΔΓ, AΓK εἴληπται ἐπὶ τῆς περιφερείας ἑκατέρας δύο τυχόντα σημεῖα τὰ A, Γ, ἡ ἐπὶ τὰ αὐτὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς ἑκατέρας πεσεῖται. ἀλλὰ τοῦ μὲν ABΔΓ ἐντὸς ἔπεσε, τοῦ δὲ AΓK ἐκτὸς, ὅπερ ἄτοπον· οὐκ ἄρα κύκλου κύκλος ἐφάπτεται ἐκτὸς κατὰ πλείονα σημεῖα ἢ ἕν. ἐδείχθη δὲ, ὅτι οὐδὲ ἐντός.

Κύκλος ἄρα κύκλου οὐκ ἐφάπτεται κατὰ πλείονα σημεῖα ἢ ἕν, εἴτε ἐντὸς εἴτε ἐκτὸς ἐφάπτηται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Εν κύκλῳ αἱ ἴσαι εὐθεῖαι ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου, καὶ αἱ ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου ἴσαι ἀλλήλαις εἰσίν.

Prop. XIV. Theor.

In circulo æquales rectæ lineæ æqualiter distant à centro, & quæ æqualiter distant à centro sunt inter se æquales.

Ἔστω κύκλος ὁ ΑΒΔΓ, καὶ ἐν αὐτῷ ἴσαι εὐθεῖαι ἔστωσαν αἱ ΑΒ, ΓΔ· λέγω ὅτι ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΑΒΔΓ κύκλου, καὶ ἔστω τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὰς ΑΒ, ΓΔ κάθετοι ἤχθωσαν αἱ ΕΖ, ΕΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΕ, ΕΓ.

Ἐπεὶ οὖν εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΕΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΒ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τέμνει· ἴση ἄρα ἡ ΑΖ τῇ ΖΒ, διπλῆ ἄρα ἡ ΑΒ τῆς ΑΖ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΔ τῆς ΓΗ ἐστὶ διπλῆ, καὶ ἔστιν ἴση ΑΒ τῇ ΓΔ· ἴση ἄρα καὶ ἡ ΑΖ τῇ ΓΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΓ, ἴσον καὶ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ τῆς ΕΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΕ ἴσα τὰ ἀπὸ τῶν ΑΖ, ΖΕ, ὀρθὴ γὰρ ἡ πρὸς τῷ Ζ γωνία· τῷ δὲ ἀπὸ τῆς ΕΓ ἴσα τὰ ἀπὸ τῶν ΕΗ, ΗΓ, ὀρθὴ γὰρ ἡ πρὸς τῷ Η γωνία· τὰ ἄρα ἀπὸ τῶν ΑΖ, ΖΕ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΓΗ, ΗΕ, ὧν τὸ ἀπὸ τῆς ΑΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΗ, ἴση γὰρ ἐστὶν ἡ ΑΖ τῇ ΓΗ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΖΕ λοιπῷ τῷ ἀπὸ τῆς ΕΗ ἴσον ἐστίν, ἴση ἄρα ἡ ΖΕ τῇ ΕΗ. ἐν δὲ κύκλῳ ἴσον ἀπέχειν ἀπὸ τοῦ κέντρου εὐθεῖαι λέγονται, ὅταν αἱ ἀπὸ τοῦ κέντρου ἐπ' αὐτὰς κάθετοι ἀγόμεναι ἴσαι ὦσιν· αἱ ἄρα ΑΒ, ΓΔ ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου.



Ἀλλὰ δὴ αἱ ΑΒ, ΓΔ εὐθεῖαι ἴσον ἀπεχέτωσαν ἀπὸ τοῦ κέντρου, τουτέστιν, ἴση ἔστω ἡ ΖΕ τῇ ΕΗ· λέγω ὅτι ἴση ἐστὶ καὶ ἡ ΑΒ τῇ ΓΔ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ὁμοίως δὴ δείξομεν, ὅτι διπλῆ ἐστιν ἡ μὲν ΑΒ τῆς ΑΖ, ἡ δὲ ΓΔ τῆς ΓΗ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΓ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ τῆς ΕΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΕ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΕΖ, ΖΑ, τῷ δὲ ἀπὸ τῆς ΕΓ ἴσα τὰ ἀπὸ τῶν ΕΗ, ΗΓ· τὰ ἄρα ἀπὸ τῶν ΕΖ, ΖΑ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΕΗ, ΗΓ, ὧν τὸ ἀπὸ τῆς ΕΗ τῷ ἀπὸ τῆς ΕΖ ἴσον ἐστίν. ἴση γὰρ ἡ ΕΖ τῇ ΕΗ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΑΖ λοιπῷ τῷ ἀπὸ τῆς ΓΗ ἴσον ἐστίν· ἴση ἄρα ἡ ΑΖ τῇ ΓΗ, καὶ ἔστι τῆς μὲν ΑΖ διπλῆ ἡ ΑΒ, τῆς δὲ ΓΗ διπλῆ ἡ ΓΔ· ἴση ἄρα ἡ ΑΒ τῇ ΓΔ.

Ἐν κύκλῳ ἄρα αἱ ἴσαι εὐθεῖαι ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου, καὶ αἱ ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου ἴσαι ἀλλήλαις εἰσίν. ὅπερ ἔδει δεῖξαι.

SIT circulus ΑΒΔΓ, & in ipso æquales rectæ lineæ ΑΒ, ΓΔ: dico eas à centro æqualiter distare.

Sumatur enim circuli ΑΒΔΓ centrum quod sit Ε, & ab ipso ad ΑΒ, ΓΔ perpendiculares ducantur ΕΖ, ΕΗ, & jungantur ΑΕ, ΕΓ.

Quoniam igitur recta linea per centrum ducta ΕΖ rectam lineam ΑΒ non ductam per centrum ad rectos angulos secat, & bifariam [per 3. 3.] ipsam secat: quare ΑΖ est æqualis ΖΒ, ideoque ΑΒ ipsius ΑΖ dupla. eadem ratione & ΓΔ dupla est ΓΗ, atque est ΑΒ ipsi ΓΔ æqualis: æqualis igitur & ΑΖ ipsi ΓΗ. & quoniam ΑΕ est æqualis ΕΓ, erit & quadratum ex ΑΒ quadrato ex ΕΓ æquale. sed quadrato ex ΑΕ æqualia sunt [per 47. 1.] ex ΑΖ, ΖΕ quadrata, rectus est enim angulus ad Ζ: quadrato autem ex ΕΓ æqualia sunt quadrata ex ΕΗ, ΗΓ, cum angulus ad Η sit rectus: quadrata igitur ex ΑΖ, ΖΕ æqualia sunt quadratis ex ΓΗ, ΗΕ, è quibus quadratum ex ΑΖ quadrato ex ΓΗ est æquale; æqualis enim est ΑΖ ipsi ΓΗ: reliquum igitur quod fit ex ΖΕ quadratum æquale est reliquo ex ΕΗ; ac propterea ΖΕ ipsi ΕΗ est æqualis. in circulo autem æqualiter distare à centro rectæ lineæ dicuntur, [per 4. def. 3.] quando à centro ad ipsas perpendiculares ductæ sunt æquales: ergo ΑΒ, ΓΔ à centro æqualiter distant.

Sed ΑΒ, ΓΔ æqualiter distent à centro, hoc est, sit ΖΕ æqualis ipsi ΕΗ: dico ΑΒ ipsi ΓΔ æqualem esse.

Iisdem enim constructis similiter ostendemus, ΑΒ duplam esse ipsius ΑΖ, & ΓΔ duplam ipsius ΓΗ: & quoniam æqualis est ΑΕ ipsi ΕΓ, erit & ex ΑΕ quadratum quadrato ex ΕΓ æquale. sed quadrato quidem ex ΑΕ æqualia sunt [per 47. 1.] quadrata ex ΕΖ, ΖΑ, quadrato autem ex ΕΓ æqualia quadrata ex ΕΗ, ΗΓ: quadrata igitur ex ΕΖ, ΖΑ quadratis ex ΕΗ, ΗΓ sunt æqualia, è quibus quadratum ex ΕΗ æquale est quadrato ex ΕΖ. est autem ΕΖ ipsi ΕΗ æqualis: reliquum igitur ex ΑΖ quadratum æquale est reliquo ex ΓΗ; ergo ΑΖ ipsi ΓΗ est æqualis. atque est ΑΒ ipsius ΑΖ dupla, & ΓΔ dupla ipsius ΓΗ: quare ΑΒ ipsi ΓΔ æqualis erit.

In circulo igitur æquales rectæ lineæ æqualiter à centro distant, & quæ æqualiter à centro distant inter se sunt æquales. quod erat demonstrandum.

PROP.

Prop. XV. Theor.

In circulo maxima quidem eſt diameter: aliarum vero, ſemper propinquior centro major eſt remotiore.

SIT circulus ΑΒΓΔ, cujus diameter ΑΔ, centrum Ε, & propinquior quidem centro Ε ſit ΒΓ, remotior vero ΖΗ: dico ΑΔ maximam eſſe, & ΒΓ majorem quam ΖΗ.

Ducantur enim à centro ad ΒΓ, ΖΗ perpendiculares ΕΘ, ΕΚ. & quoniam ΒΓ propinquior eſt centro, remotior autem ΖΗ; erit [per 5. def. 3.] ΕΚ major quam ΕΘ. ponatur ipſi ΕΘ æqualis ΕΛ, & per Λ ipſi ΕΚ ad rectos angulos ducta ΛΜ producatur in Ν, & jungantur ΕΜ, ΕΝ, ΕΖ, ΕΗ.



Quoniam igitur ΕΘ eſt æqualis ΕΛ, erit [per 14. 3.] & ΒΓ ipſi ΜΝ æqualis. rurſus, quoniam æqualis eſt ΑΕ ipſi ΕΜ, & ΕΔ ipſi ΕΝ: erit ΑΔ ipſis ΜΕ, ΕΝ æqualis. ſed ΜΕ, ΕΝ majores ſunt quam ΜΝ: ergo & ΑΔ major eſt quam ΜΝ. at ΜΝ eſt æqualis ΒΓ: eſt igitur ΑΔ major quam ΒΓ. & quoniam duæ ΜΕ, ΕΝ duabus ΖΕ, ΕΗ ſint æquales, anguluſque ΜΕΝ major angulo ΖΕΗ; & baſis ΜΝ [per 24. 1.] baſi ΖΗ major erit. oſtenſa autem eſt ΜΝ æqualis ΒΓ: ergo & ΒΓ eſt major quam ΖΗ. maxima igitur eſt ΑΔ diameter, & ΒΓ eſt major quam ΖΗ.

Quare in circulo maxima eſt diameter: aliarum vero, ſemper propinquior centro major eſt remotiore. quod erat demonſtrandum.

Prop. XVI. Theor.

Recta diametro circuli ad rectos angulos ab extremitate ducta cadit extra circulum: & in locum qui inter rectam lineam & circumferentiam interjicitur altera recta linea non cadet: & ſemicirculi angulus major eſt quovis angulo rectilineo acuto: reliquus autem minor.

SIT circulus ΑΒΓ circa centrum Δ & diametrum ΑΒ: dico rectam lineam, quæ à puncto Α ipſi ΑΒ ad rectos angulos ducitur, extra circulum cadere.

Si enim non, fieri ſi poteſt, cadat intus ut ΑΓ, & jungatur ΔΓ.

Quoniam igitur æqualis eſt ΔΑ ipſi ΔΓ, erit & angulus ΔΑΓ [per 5. 1.] angulo ΑΓΔ æqualis. rectus autem eſt ΔΑΓ, ergo & ΑΓΔ eſt rectus: ac propterea anguli ΔΑΓ, ΑΓΔ duobus rectis ſunt æquales, quod [per 17. 1.] fieri

ΠΡΟΤΑΣΙΣ ιε'.

Εν κύκλῳ μεγίστη μέν ἐστιν ἡ διάμετρος· τῶν δὲ ἄλλων, ἀεὶ ἡ ἐγγιον τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΑΔ, κέντρον δὲ τὸ Ε, καὶ ἐγγιον μὲν τοῦ Ε κέντρου ἔστω ἡ ΒΓ, ἀπώτερον δὲ ἡ ΖΗ· λέγω ὅτι μεγίστη μὲν ἐστιν ἡ ΑΔ, μείζων δὲ ἡ ΒΓ τῆς ΖΗ.

Ηχθωσαν γὰρ ἀπὸ τοῦ κέντρου τοῦ Ε ταῖς ΒΓ, ΖΗ κάθετοι αἱ ΕΘ, ΕΚ. καὶ ἐπεὶ ἐγγιον μὲν τοῦ κέντρου ἐστὶν ἡ ΒΓ, ἀπώτερον δὲ ἡ ΖΗ, μείζων ἄρα ἡ ΕΚ τῆς ΕΘ. κείσθω τῇ ΕΘ ἴση ἡ ΕΛ, καὶ διὰ τοῦ Λ τῇ ΕΚ πρὸς ὀρθὰς ἀχθεῖσα ἡ ΛΜ διήχθω ἐπὶ τὸ Ν, καὶ ἐπεζεύχθωσαν αἱ ΕΜ, ΕΝ, ΕΖ, ΕΗ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΘ τῇ ΕΛ, ἴση ἐστὶ καὶ ἡ ΒΓ τῇ ΜΝ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΜ, ἡ δὲ ΕΔ τῇ ΕΝ, ἡ ἄρα ΑΔ ταῖς ΜΕ, ΕΝ ἴση ἐστίν. ἀλλ' αἱ ΜΕ, ΕΝ τῆς ΜΝ μείζονές εἰσι, καὶ ἡ ΑΔ ἄρα τῆς ΜΝ μείζων ἐστίν. ἴση δὲ ἡ ΜΝ τῇ ΒΓ, ἡ ΑΔ ἄρα τῆς ΒΓ μείζων ἐστί. καὶ ἐπεὶ δύο αἱ ΜΕ, ΕΝ δυσὶ ταῖς ΖΕ, ΕΗ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΜΕΝ, γωνίας τῆς ὑπὸ ΖΕΗ μείζων ἐστί· βάσις ἄρα ἡ ΜΝ βάσεως τῆς ΖΗ μείζων ἐστίν. ἀλλὰ ἡ ΜΝ τῇ ΒΓ ἐδείχθη ἴση, καὶ ἡ ΒΓ τῆς ΖΗ μείζων ἐστίν. μεγίστη ἄρα ἡ ΑΔ διάμετρος, μείζων δὲ ἡ ΒΓ τῆς ΖΗ.

Εν κύκλῳ ἄρα μεγίστη μὲν ἐστιν ἡ διάμετρος· τῶν δὲ ἄλλων, ἀεὶ ἡ ἐγγιον τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ις'.

Η τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐκτὸς πεσεῖται τοῦ κύκλου· καὶ εἰς τὸν μεταξὺ τόπον τῆς τε εὐθείας καὶ τῆς περιφερείας ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται· καὶ ἡ μὲν τοῦ ἡμικυκλίου γωνία ἁπάσης ὀξείας γωνίας εὐθυγράμμου μείζων ἐστίν· ἡ δὲ λοιπὴ ἐλάττων.

Ἔστω κύκλος ὁ ΑΒΓ περὶ κέντρον τὸ Δ καὶ διάμετρον τὴν ΑΒ· λέγω ὅτι ἡ ἀπὸ τοῦ Α τῇ ΑΒ πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐκτὸς πεσεῖται τοῦ κύκλου.

Μὴ γὰρ, ἀλλ' εἰ δυνατὸν πιπτέτω ἐντὸς, ὡς ἡ ΑΓ καὶ ἐπεζεύχθω ἡ ΔΓ.

Επεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΔΓ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΔΑΓ γωνίᾳ τῇ ὑπὸ ΑΓΔ. ὀρθὴ δὲ ἡ ὑπὸ ΔΑΓ, ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΓΔ· αἱ ἄρα ὑπὸ ΔΑΓ, ΑΓΔ δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, ὅπερ ἐστὶν ἀδύνατον.

ἐκ ἄρα ἡ ἀπὸ τοῦ Α σημείου, τῇ ΒΑ πρὸς ὀρθὰς ἀγομένη ἐντὸς πεσεῖται τοῦ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἐπὶ τῆς περιφερείας· ἐκτὸς ἄρα πεσέται, ὡς ἡ ΑΕ.

non poteſt. recta igitur à puncto Α ipſi ΒΑ ad rectos angulos ducta non cadet intra circulum. ſimiliter oſtendemus neque in circumferentiam cadere: extra igitur cadat neceſſe eſt, ut ΑΕ.

ΛΕΓΩ ὅτι εἰς τὸ μεταξὺ τόπον, τῆς τε ΑΕ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας, ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

Dico in locum, qui inter rectam lineam ΑΕ & circumferentiam ΓΘΑ interjicitur, alteram rectam lineam non cadere.

Εἰ γὰρ δυνατὸν, παρεμπιπτέτω ὡς ἡ ΖΑ, καὶ ἤχθω ἀπὸ τοῦ Δ σημείου ἐπὶ τὴν ΖΑ κάθετος ἡ ΔΗ.

Si enim fieri poteſt, cadat ut ΖΑ, & à puncto Δ ad ΖΑ perpendicularis ducatur ΔΗ.

Καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΑΗΔ, ἐλάττων δὲ ὀρθῆς ἡ ὑπὸ ΔΑΗ· μείζων ἄρα ἡ ΑΔ τῆς ΔΗ. ἴση δὲ ἡ ΔΑ τῇ ΔΘ· μείζων ἄρα ἡ ΔΘ τῆς ΔΗ, ἡ ἐλάττων τοῦ μείζονος, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα εἰς τὸ μεταξὺ τόπον, τῆς τε εὐθείας καὶ τῆς περιφερείας, ἑτέρα εὐθεῖα παρεμπεσεῖται.

Et quoniam rectus eſt angulus ΑΗΔ, minor autem recto ΔΑΗ, erit ΑΔ [per 19. 1.] major quam ΔΗ. æqualis autem eſt ΔΑ ipſi ΔΘ: major igitur eſt ΔΘ ipſa ΔΗ, minor majore, quod fieri non poteſt. in locum igitur, qui inter rectam lineam & circumferentiam interjicitur, altera recta linea non cadet.



ΛΕΓΩ ὅτι καὶ ἡ μετὰ τῆς ἡμικυκλίου γωνία, ἡ περιεχομένη ὑπὸ τῆς ΒΑ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας, ἀπάσης γωνίας ὀξείας εὐθυγράμμου μείζων ἐστίν· ἡ δὲ λοιπὴ, ἡ περιεχομένη ὑπὸ τῆς ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας, ἀπάσης γωνίας ὀξείας εὐθυγράμμου ἐλάττων ἐστίν.

Dico præterea angulum ſemicirculi, qui à recta linea ΒΑ & circumferentia ΓΘΑ comprehenditur, quovis angulo acuto rectilineo majorem eſſe; reliquum vero, comprehenſum à circumferentia ΓΘΑ & recta linea ΑΕ, quovis angulo acuto rectilineo eſſe minorem.

Εἰ γάρ ἐστί τις γωνία εὐθύγραμμος, μείζων μὲν τῆς περιεχομένης ὑπὸ τῆς ΒΑ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας, ἐλάττων δὲ τῆς περιεχομένης ὑπὸ τῆς ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας, εἰς τὸ μεταξὺ τόπον τῆς τε ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας παρεμπεσεῖται εὐθεῖα, ἥτις ποιήσει μείζονα μὲν τῆς περιεχομένης ὑπὸ τῆς ΒΑ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας ὑπὸ εὐθειῶν περιεχομένην, ἐλάττονα δὲ τῆς περιεχομένης ὑπὸ τῆς ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας. οὐ παρεμπίπτει δέ· οὐκ ἄρα τῆς περιεχομένης γωνίας ὑπὸ τῆς ΒΑ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας ἔσται μείζων ὀξεῖα ὑπὸ εὐθειῶν περιεχομένη, οὐδὲ μὴν ἐλάττων τῆς περιεχομένης ὑπὸ τῆς ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας. ὅπερ ἔδει δεῖξαι.

Si enim eſt aliquis angulus rectilineus major comprehenſo à recta linea ΒΑ & circumferentia ΓΘΑ, vel aliquis minor comprehenſo à ΓΘΑ circumferentia & recta linea ΑΕ; in locum, qui inter circumferentiam ΓΘΑ & rectam lineam ΑΕ interjicitur, cadet aliqua recta linea quæ faciet angulum majorem quidem comprehenſo à recta linea ΒΑ & ΓΘΑ circumferentia, qui ſcilicet rectis lineis comprehenditur, minorem vero comprehenſo à circumferentia ΓΘΑ & ΑΕ recta linea. non cadit autem: angulus igitur acutus, qui à rectis lineis comprehenditur, non eſt major angulo comprehenſo à recta linea ΒΑ & ΓΘΑ circumferentia, neque minor comprehenſo à circumferentia ΓΘΑ & ΑΕ recta linea. quod erat demonſtrandum.

Πόρισμα.

Ἐκ δὴ τούτων φανερὸν, ὅτι ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐφάπτεται τοῦ κύκλου· καὶ ὅτι εὐθεῖα κύκλου καθ' ἓν μόνον ἐφάπτεται σημεῖον. ἐπὶ δὲ περ καὶ ἡ κατὰ δύο αὐτῷ συμβάλλουσα ἐντὸς αὐτοῦ πίπτουσα ἐδείχθη.

Corollarium.

Ex his manifeſtum eſt, quod recta linea, quæ ad rectos angulos ducitur diametro circuli ab extremitate ejuſdem, circulum contingit: & quod recta linea circulum contingit in unico tantum puncto. quoniam quæ circulo in duobus punctis occurrit [per 2. 3.] intra ipſum cadere oſtendebatur.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Ἀπὸ τοῦ δοθέντος σημείου τοῦ δοθέντος κύκλου ἐφάπτομένην εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Prop. XVII. Probl.

A dato puncto rectam lineam ducere, quæ datum circulum contingat.

Ἔστω τὸ μὲν δοθὲν σημεῖον τὸ Α, ὁ δὲ δοθεὶς κύκλος ὁ ΒΓΔ· δεῖ δὴ ἀπὸ τοῦ Α σημείου τοῦ ΒΓΔ κύκλου ἐφαπτομένην εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

SIT datum quidem punctum Α, datus autem circulus ΒΓΔ: oportet à puncto Α rectam lineam ducere, quæ circulum ΒΓΔ contingat.

Εἰλήφθω γὰρ κέντρον τοῦ κύκλου τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΑΕ, καὶ κέντρῳ μὲν τῷ Ε διαστήματι δὲ τῷ ΕΑ κύ-

Sumatur enim centrum circuli Ε, & jungatur ΑΕ, & centro quidem Ε intervallo autem ΕΑ [per 3. poſt.]

poſt.] circulus AZH deſcribatur; & à puncto Δ ipſi EA ad rectos angulos [per 11. 1.] ducatur ΔZ, junganturque EBZ, AB: dico à puncto A ductam eſſe AB, quæ circulum BΓΔ contingit.



Quoniam enim E centrum eſt circulorum BΓΔ, AZH, erit EA æqualis EZ, & EΔ ipſi EB: duæ igitur AE, EB duabus ZE, EΔ ſunt æquales, & angulum communem continent, qui eſt ad E: baſis igitur ΔZ [per 4. 1.] baſi AB eſt æqualis, triangulumque ΔEZ æquale triangulo EBA, & reliqui anguli reliquis angulis: æquales igitur eſt angulus EBA angulo EΔZ. rectus autem eſt EΔZ, quare & EBA rectus. atque eſt EB ex centro: quæ autem diametro circuli ab extremitate ad rectos angulos ducitur [per 16. 3.] circulum contingit: ergo AB contingit circulum.

A dato igitur puncto A ducta eſt recta linea AB, quæ circulum BΓΔ contingit. quod erat faciendum.

κλος γεγράφθω ὁ AZH, καὶ ἀπὸ τῦ Δ τῇ EA πρὸς ὀρθὰς ἤχθω ἡ ΔZ, καὶ ἐπεζεύχθωσαν αἱ EBZ, AB· λέγω ὅτι ἀπὸ τῦ A σημείυ τῦ BΓΔ κύκλυ ἐφαπτομένη ἦκται ἡ AB.

Ἐπεὶ γὰρ τὸ E κέντρον ἐστὶ τῶν BΓΔ, AZH κύκλων, ἴση ἄρα ἐστὶν ἡ μὲν EA τῇ EZ, ἡ δὲ EΔ τῇ EB· δύο δὴ αἱ AE, EB δυσὶ ταῖς ZE, EΔ ἴσαι εἰσὶ, καὶ γωνίαν κοινὴν περιέχυσι, τὴν πρὸς τῷ E· βάσις ἄρα ἡ ΔZ βάσει τῇ AB ἴση ἐστί. καὶ τὸ ΔEZ τρίγωνον τῷ EBA τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις· ἴση ἄρα τῇ ὑπὸ EΔZ ἡ ὑπὸ EBA. ὀρθὴ δὲ ἡ ὑπὸ EΔZ, ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ EBA. καὶ ἐστὶν ἡ EB ἐκ τῦ κέντρυ· ἡ δὲ τῇ διαμέτρῳ τῦ κύκλυ πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐφάπτεται τῦ κύκλυ· ἡ AB ἄρα ἐφάπτεται τῦ κύκλυ.

Ἀπὸ τῦ δοθέντος ἄρα σημείυ τῦ A τῦ δοθέντος κύκλυ τῦ BΓΔ ἐφαπτομένη εὐθεῖα γραμμὴ ἦκται ἡ AB. ὅπερ ἔδει ποιῆσαι.

Prop. XVIII. Theor.

Si recta linea circulum contingat, à centro autem ad contactum recta linea ducatur, ea perpendicularis erit tangenti.

CIrculum enim ABΓ contingat recta linea ΔE in puncto Γ, & circuli ABΓ centrum ſumatur Z, à quo ad Γ ducatur ZΓ: dico ZΓ perpendicularem eſſe ad ipſam ΔE.

Si enim non fit ita, ducatur [per 12. 1.] à puncto Z ad ΔE perpendicularis ZH.

Quoniam igitur angulus ZHΓ rectus eſt, erit [per 17. 1.] HΓZ acutus: majorem autem angulum [per 19. 1.] majus latus ſubtendit, major igitur eſt ZΓ quam ZH. eſt autem ZΓ æqualis ipſi ZB: ergo ZB eſt major ipſa ZH, minor majore, quod fieri non poteſt. non eſt igitur ZH perpendicularis rectæ ΔE. ſimiliter oſtendemus neque aliam quampiam eſſe præter ipſam ZΓ: ergo ZΓ ad ΔE eſt perpendicularis.



Si igitur recta linea circulum contingat, à centro autem ad contactum recta linea ducatur, ea perpendicularis erit tangenti. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιη'.

Ἐὰν κύκλυ ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῦ κέντρυ ἐπί τ' ἀφὴν ἐπιζευχθῇ τις εὐθεῖα, ἡ ἐπιζευχθεῖσα κάθετος ἔσται ἐπὶ τὴν ἐφαπτομένην.

Κύκλυ γὰρ τῦ ABΓ ἐφάπτεσθω τις εὐθεῖα ἡ ΔE κατὰ τὸ Γ σημεῖον, καὶ εἰλήφθω τὸ κέντρον τῦ ABΓ κύκλυ τὸ Z, καὶ ἀπὸ τῦ Z ἐπὶ τὸ Γ ἐπεζεύχθω ἡ ZΓ· λέγω ὅτι ἡ ZΓ κάθετός ἐστιν ἐπὶ τὴν ΔE.

Εἰ γὰρ μή, ἤχθω ἀπὸ τῦ Z ἐπὶ τὴν ΔE κάθετος ἡ ZH.

Ἐπεὶ οὖν ἡ ὑπὸ ZHΓ γωνία ὀρθή ἐστιν, ὀξεῖα ἄρα ἐστὶν ἡ ὑπὸ HΓZ· τῷ δὲ μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει, μείζων ἄρα ἡ ZΓ τῆς ZH. ἴση δὲ ἡ ZΓ τῇ ZB· μείζων ἄρα ἡ ZB τῆς ZH, ἡ ἐλάττων τῆς μείζονος, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ZH κάθετός ἐστιν ἐπὶ τὴν ΔE. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ZΓ· ἡ ZΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΔE.

Ἐὰν ἄρα κύκλυ ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῦ κέντρυ ἐπὶ τὴν ἁφὴν ἐπιζευχθῇ τις εὐθεῖα, ἡ ἐπιζευχθεῖσα κάθετός ἐστιν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Ἐὰν κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς τῇ ἐφαπτομένῃ πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἀχθῇ, ἐπὶ τῆς ἀχθείσης ἔσται τὸ κέντρον τοῦ κύκλου.

Κύκλου γὰρ τοῦ ΑΒΓ ἁπτέσθω τις εὐθεῖα ἡ ΔΕ κατὰ τὸ Γ σημεῖον, καὶ ἀπὸ τοῦ Γ τῇ ΔΕ πρὸς ὀρθὰς ἤχθω ἡ ΓΑ· λέγω ὅτι ἐπὶ τῆς ΑΓ ἐστὶ τὸ κέντρον τοῦ κύκλου.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΓΖ.



Ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ ἐφάπτεταί τις εὐθεῖα ἡ ΔΕ, ἀπὸ δὲ τοῦ κέντρου ἐπὶ τὰ ἁφὴν ἐπέζευκται ἡ ΖΓ, ἡ ΖΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΓΕ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΓΕ ὀρθή· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΖΓΕ τῇ ὑπὸ ΑΓΕ, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Ζ κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλό τι πλὴν ἐπὶ τῆς ΑΓ.

Ἐὰν ἄρα κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς τῇ ἐφαπτομένῃ πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἀχθῇ, ἐπὶ τῆς ἀχθείσης ἔσται τὸ κέντρον τοῦ κύκλου. ὅπερ ἔδει δεῖξαι.

PROP. XIX. THEOR.

Si recta linea circulum contingat, à contactu autem recta linea ducatur ad angulos rectos tangenti, centrum circuli erit in eadem.

CIrculum enim ABΓ contingat quædam recta linea ΔΕ in Γ, & à puncto Γ ipsi ΔΕ ad rectos angulos ducatur ΓΑ: dico circuli centrum esse in ipsa ΑΓ.

Si enim non, fieri si potest, sit Ζ centrum, & jungatur ΓΖ.

Quoniam igitur circulum ABΓ contingit quædam recta linea ΔΕ, & à centro ad contactum ducta est ΖΓ, erit [per 18. 3.] ΖΓ ad ipsam ΔΕ perpendicularis: rectus igitur est angulus ΖΓΕ. est autem & ΑΓΕ rectus: ergo ΖΓΕ angulus est æqualis angulo ΑΓΕ, minor majori, quod fieri non potest. non est igitur Ζ centrum circuli ABΓ. similiter ostendemus neque aliud aliquod esse, præterquam in ipsa ΑΓ.

Quare si recta linea circulum contingat, à contactu autem recta linea ducatur ad angulos rectos tangenti, centrum circuli erit in eadem. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κ'.

Ἐν κύκλῳ, ἡ πρὸς τῷ κέντρῳ γωνία διπλασίων ἐστὶ τῆς πρὸς τῇ περιφερείᾳ, ὅταν τὴν αὐτὴν περιφέρειαν βάσιν ἔχωσιν αἱ γωνίαι.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ πρὸς μὲν τῷ κέντρῳ αὐτοῦ γωνία ἔστω ἡ ὑπὸ ΒΕΓ, πρὸς δὲ τῇ περιφερείᾳ, ἡ ὑπὸ ΒΑΓ, ἐχέτωσαν δὲ τὴν αὐτὴν περιφέρειαν βάσιν τὴν ΒΓ· λέγω ὅτι διπλασίων ἐστὶν ἡ ὑπὸ ΒΕΓ γωνία τῆς ὑπὸ ΒΑΓ.

Ἐπεζεύχθω γὰρ ἡ ΑΕ διήχθω ἐπὶ τὸ Ζ.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΕΑ τῇ ΕΒ, καὶ γωνία ἡ ὑπὸ ΕΑΒ τῇ ὑπὸ ΕΒΑ ἴση ἐστίν· αἱ ἄρα ὑπὸ ΕΑΒ, ΕΒΑ γωνίαι τῆς ὑπὸ ΕΑΒ διπλάσιαί εἰσιν. ἴση δὲ ἡ ὑπὸ ΒΕΖ τῇ ὑπὸ ΕΑΒ, ΕΒΑ· καὶ ἡ ὑπὸ ΒΕΖ ἄρα τῆς ὑπὸ ΕΑΒ ἐστὶ διπλῆ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΖΕΓ τῆς ὑπὸ ΕΑΓ ἐστὶ διπλῆ· ὅλη ἄρα ἡ ὑπὸ ΒΕΓ ὅλης τῆς ὑπὸ ΒΑΓ ἐστὶ διπλῆ.

Κεκλάσθω δὴ πάλιν, καὶ ἔστω γωνία ἑτέρα ἡ

PROP. XX. THEOR.

In circulo, angulus qui ad centrum duplus est ejus qui ad circumferentiam, quando circumferentiam eandem habent pro basi.

SIT circulus ABΓ, ad cujus centrum sit angulus ΒΕΓ, ad circumferentiam vero ΒΑΓ, & eandem circumferentiam ΒΓ habeant pro basi: dico angulum ΒΕΓ anguli ΒΑΓ duplum esse.

Jungatur enim ΑΕ & ad Ζ producatur.

Itaque quoniam ΕΑ est æqualis ΕΒ, erit & angulus ΕΑΒ [per 5. 1.] angulo ΕΒΑ æqualis: anguli igitur ΕΑΒ, ΕΒΑ dupli sunt ipsius anguli ΕΑΒ. sed angulus ΒΕΖ est [per 32. 1.] æqualis angulis ΕΑΒ, ΕΒΑ: ergo angulus ΒΕΖ duplus est anguli ΕΑΒ. eadem ratione & angulus ΖΕΓ duplus est ipsius ΕΑΓ: totus igitur ΒΕΓ totius ΒΑΓ duplus erit.

Rursus inclinetur, & sit alter angulus ΒΔΓ,

junctaque Δ E ad H producatur. similiter ostendemus angulum H E Γ anguli H Δ Γ duplum esse, è quibus H E B duplus est ipsius H Δ B: ergo reliquus B E Γ reliqui B Δ Γ est duplus.

In circulo igitur, angulus qui ad centrum duplus est ejus qui ad circumferentiam, quando circumferentiam eandem habent pro basi. quod erat demonstrandum.

ὑπὸ ΒΔΓ, καὶ ἐπιζευχθεῖσα ἡ ΔΕ ἐκβεβλήσθω ἐπὶ τὸ Η. ὁμοίως δὴ δείξομεν, ὅτι διπλῆ ἐστιν ἡ ὑπὸ ΗΕΓ γωνία τῆς ὑπὸ ΗΔΓ, ὧν ἡ ὑπὸ ΗΕΒ διπλῆ ἐστι τῆς ὑπὸ ΗΔΒ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΕΓ διπλῆ ἐστι τῆς ὑπὸ ΒΔΓ.

Ἐν κύκλῳ ἄρα ἡ πρὸς τῷ κέντρῳ γωνία διπλασίων ἐστὶ τῆς πρὸς τῇ περιφερείᾳ, ὅταν τὴν αὐτὴν περιφέρειαν βάσιν ἔχωσιν αἱ γωνίαι. ὅπερ ἔδει δεῖξαι.

Prop. XXI. Theor.

Anguli in eodem circuli segmento sunt inter se æquales.

ΠΡΟΤΑΣΙΣ κα'.

Ἐν κύκλῳ αἱ ἐν τῷ αὐτῷ τμήματι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

SIT circulus A B Γ Δ, & in eodem segmento B A E Δ anguli sint B A Δ, B E Δ: dico eos inter se esse æquales.

Sumatur enim [per 1. 3.] circuli A B Γ Δ centrum quod sit Z, junganturque B Z, Z Δ.

Quoniam autem angulus B Z Δ est ad centrum, angulus vero B A Δ ad circumferentiam, & circumferentiam eandem B Γ Δ habent pro basi, erit [per 20. 3.] angulus B Z Δ duplus anguli B A Δ. eadem ratione angulus B Z Δ duplus est etiam anguli B E Δ: ergo angulus B A Δ [per 7. ax.] angulo B E Δ æqualis erit.



Anguli igitur in eodem circuli segmento sunt inter se æquales. quod erat demonstrandum.

Ἔστω κύκλος ὁ Α Β Γ Δ, καὶ ἐν τῷ τμήματι τῷ Β Α Ε Δ γωνίαι ἔστωσαν αἱ ὑπὸ Β Α Δ, Β Ε Δ· λέγω ὅτι αἱ ὑπὸ Β Α Δ, Β Ε Δ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

Εἰλήφθω γὰρ τὸ Α Β Γ Δ κύκλου τὸ κέντρον, καὶ ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ Β Ζ, Ζ Δ.

Καὶ ἐπεὶ ἡ μὲν ὑπὸ Β Ζ Δ γωνία πρὸς τῷ κέντρῳ ἐστίν, ἡ δὲ ὑπὸ Β Α Δ πρὸς τῇ περιφερείᾳ, ἔχουσι δὲ τὴν αὐτὴν περιφέρειαν βάσιν, τὴν Β Γ Δ· ἡ ἄρα ὑπὸ Β Ζ Δ γωνία διπλασίων ἐστὶ τῆς ὑπὸ Β Α Δ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ Β Ζ Δ τῆς ὑπὸ Β Ε Δ ἐστὶ διπλασίων· ἴση ἄρα ἡ ὑπὸ Β Α Δ τῇ ὑπὸ Β Ε Δ.

Ἐν κύκλῳ ἄρα αἱ ἐν τῷ αὐτῷ τμήματι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXII. Theor.

Quadrilaterorum, quæ circulis inscribuntur, anguli oppositi sunt duobus rectis æquales.

ΠΡΟΤΑΣΙΣ κβ'.

Τῶν ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

SIT circulus A B Γ Δ, & in ipso quadrilaterum A B Γ Δ: dico angulos ipsius oppositos duobus rectis esse æquales.

Jungantur A Γ, B Δ.

Quoniam igitur omnis trianguli tres anguli sunt [per 32. 1.] duobus rectis æquales, erunt trianguli A B Γ tres anguli Γ A B, A B Γ, B Γ A æquales duobus rectis. sed angulus Γ A B est [per 21. 3.] æqualis angulo B Δ Γ, in eodem enim sunt segmento B A Δ Γ, & angulus A Γ B æqualis ipsi A Δ B, quod sint in eodem A Δ Γ B segmento: totus igitur angulus A Δ Γ angulis B A Γ, A Γ B est æqualis. communis apponatur A B Γ angulus: sunt igitur anguli A B Γ, B A Γ, A Γ B, angulis A B Γ, A Δ Γ æquales. sed A B Γ, B A Γ, A Γ B sunt duobus rectis æquales: ergo & anguli A B Γ, A Δ Γ sunt duobus rectis æquales. similiter ostendemus angulos quoque B A Δ, Δ Γ B duobus rectis esse æquales.



Ἔστω κύκλος ὁ Α Β Γ Δ, καὶ ἐν αὐτῷ τετράπλευρον ἔστω τὸ Α Β Γ Δ· λέγω ὅτι αἱ ἀπεναντίον αὐτοῦ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἐπεζεύχθωσαν αἱ Α Γ, Β Δ.

Καὶ ἐπεὶ παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, τοῦ Α Β Γ αἱ τρεῖς γωνίαι αἱ ὑπὸ Γ Α Β, Α Β Γ, Β Γ Α δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἴση δὲ ἡ μὲν ὑπὸ Γ Α Β τῇ ὑπὸ Β Δ Γ, ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσι τῷ Β Α Δ Γ, ἡ δὲ ὑπὸ Α Γ Β τῇ ὑπὸ Α Δ Β, ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσι τῷ Α Δ Γ Β· ὅλη ἄρα ἡ ὑπὸ Α Δ Γ σὺν τῇ ὑπὸ Β Α Γ, Α Γ Β ἴση ἐστί. κοινὴ προσκείσθω ἡ ὑπὸ Α Β Γ· αἱ ἄρα ὑπὸ Α Β Γ, Β Α Γ, Α Γ Β σὺν ὑπὸ Α Β Γ, Α Δ Γ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ Α Β Γ, Β Α Γ, Α Γ Β δυσὶν ὀρθαῖς ἴσαι εἰσί· καὶ αἱ ὑπὸ Α Β Γ, Α Δ Γ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ὑπὸ Β Α Δ, Δ Γ Β γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί.

Τῶν

Τῶν ἄρα ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί. ὅπερ ἔδει δεῖξαι.

Quadrilaterorum igitur, quæ circulis inſcribuntur, anguli oppoſiti ſunt duobus rectis æquales. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κγ'.

Ἐπὶ τῆς αὐτῆς εὐθείας δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα ὡσαύτως συνεστάτων οὐκ ἐπὶ τὰ αὐτὰ μέρη.

PROP. XXIII. THEOR.

Super eadem recta linea duo circulorum ſegmenta ſimilia & inæqualia ex eadem parte non conſtituentur.

Εἰ γὰρ δυνατὸν, ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα συνεστάτω ἐπὶ τὰ αὐτὰ μέρη τὰ ΑΓΒ, ΑΔΒ, καὶ διήχθω ἡ ΑΔΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΒ, ΔΒ.



Ἐπεὶ οὖν ὅμοιόν ἐστι τὸ ΑΓΒ τμῆμα τῷ ΑΔΒ τμήματι, ὅμοια δὲ τμήματα κύκλων ἐστὶ τὰ δεχόμενα γωνίας ἴσας· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΑΔΒ, ἡ ἐκτὸς τῇ ἐντὸς, ὅπερ ἐστὶν ἀδύνατον.

Οὐκ ἄρα ἐπὶ τῆς αὐτῆς εὐθείας δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα συσταθήσεται ὡσαύτως ἐπὶ τὰ αὐτὰ μέρη. ὅπερ ἔδει δεῖξαι.

SI enim fieri poteſt, ſuper eadem recta linea AB duo circulorum ſegmenta ſimilia & inæqualia conſtituantur ex eadem parte AΓB, AΔB, ducaturque AΔΓ, & jungantur ΓB, ΔB.

Quoniam igitur ſegmentum AΓB ſimile eſt ſegmento AΔB, ſimilia autem circulorum ſegmenta ſunt [per 11. def. 3.] quæ angulos capiunt æquales; erit AΓB angulus æqualis angulo AΔB, exterior interiori, quod [per 16. 1.] fieri non poteſt.

Non igitur ſuper eadem recta linea duo circulorum ſegmenta ſimilia & inæqualia ex eadem parte conſtituentur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κδ'.

Τὰ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν.

PROP. XXIV. THEOR.

Super æqualibus rectis lineis ſimilia circulorum ſegmenta ſunt inter ſe æqualia.

Ἐστωσαν γὰρ ἐπὶ ἴσων εὐθειῶν τῶν ΑΒ, ΓΔ ὅμοια τμήματα κύκλων τὰ ΑΕΒ, ΓΖΔ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΕΒ τμῆμα τῷ ΓΖΔ τμήματι.

SInt enim ſuper æqualibus rectis lineis AB, ΓΔ ſimilia circulorum ſegmenta AEB, ΓZΔ: dico ſegmentum AEB ſegmento ΓZΔ eſſe æquale.

Ἐφαρμοζομένου γὰρ τοῦ ΑΕΒ τμήματος ἐπὶ τὸ ΓΖΔ, καὶ τιθεμένου τοῦ μὲν Α σημείου ἐπὶ τὸ Γ, τῆς δὲ ΑΒ εὐθείας ἐπὶ τὴν ΓΔ, ἐφαρμόσει καὶ τὸ Β σημεῖον ἐπὶ τὸ Δ σημεῖον, διὰ τὸ ἴσην εἶναι τὴν ΑΒ τῇ ΓΔ· ἐφαρμοσάσης δὲ τῆς ΑΒ εὐθείας ἐπὶ τὴν ΓΔ, ἐφαρμόσει καὶ τὸ ΑΕΒ τμῆμα ἐπὶ τὸ ΓΖΔ. εἰ γὰρ ἡ ΑΒ εὐθεῖα ἐπὶ τὴν ΓΔ ἐφαρμόσει, τὸ δὲ ΑΕΒ τμῆμα ἐπὶ τὸ ΓΖΔ μὴ ἐφαρμόσει, ἀλλὰ παραλλάξει ὡς τὸ ΓΘΗΔ. κύκλος δὲ κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο· ἀλλὰ καὶ τέμνει ὁ ΓΘΗΔ τὸν ΓΖΔ κατὰ πλείονα σημεῖα ἢ δύο, τὰ Γ, Η, Δ, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἐφαρμοζομένης τῆς ΑΒ εὐθείας ἐπὶ τὴν ΓΔ οὐκ ἐφαρμόσει καὶ τὸ ΑΕΒ τμῆμα ἐπὶ τὸ ΓΖΔ· ἐφαρμόσει ἄρα, καὶ ἴσον αὐτῷ ἔσται.



Segmento enim AEB congruente ſegmento ΓZΔ, & poſito puncto quidem A ſuper Γ, recta vero linea AB ſuper ΓΔ, congruet & B punctum puncto Δ, propterea quod AB ipſi ΓΔ ſit æqualis: congruente autem recta linea AB rectæ ΓΔ, congruet & AEB ſegmentum ſegmento ΓZΔ. ſi enim AB congruat ipſi ΓΔ, ſegmentum vero AEB ſegmento ΓZΔ non congruat, ſitum mutet ut ΓΘHΔ. ſed circulus circulum in pluribus quam duobus punctis [per 10. 3.] non ſecat: at vero circulus ΓΘHΔ circulum ΓZΔ ſecat in pluribus punctis quam duobus, videlicet in punctis Γ, H, Δ, quod fieri non poteſt. congruente igitur recta linea AB rectæ ΓΔ, non poteſt non congruere AEB ſegmento ΓZΔ: quare congruet, & proinde ipſi æquale erit.

Τὰ ἄρα ἐπὶ τῶν ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Super æqualibus igitur rectis lineis ſimilia circulorum ſegmenta ſunt inter ſe æqualia. quod erat demonſtrandum.

PROP. XXV. PROBL.

Dato circuli ſegmento, deſcribere circulum cujus eſt ſegmentum.

SIT datum circuli ſegmentum ABΓ: oportet autem circulum deſcribere, cujus ABΓ eſt ſegmentum.

Secetur AΓ [per 10. 1.] bifariam in Δ, & à puncto Δ ipſi AΓ ad rectos angulos [per 11. 1.] ducatur ΔB, & jungatur AB: angulus igitur ABΔ vel major eſt angulo BAΔ, vel æqualis, vel minor.



Sit primum major, & ad rectam lineam BA, atque ad datum in ea punctum A, conſtituatur [per 23. 1.] angulus BAE æqualis angulo ABΔ, & ΔB producatur ad E, jungaturque EΓ. quoniam igitur angulus ABE eſt æqualis angulo BAE, erit recta linea BE [per 6. 1.] ipſi BA æqualis. & quoniam AΔ eſt æqualis ΔΓ, communis autem ΔE, duæ AΔ, ΔE duabus ΓΔ, ΔE ſunt æquales, altera alteri; & angulus AΔE æqualis angulo ΓΔE, rectus enim eſt uterque: ergo & baſis AE [per 4. 1.] baſi EΓ eſt æqualis. ſed oſtenſa eſt AE æqualis EB: quare & BE ipſi EΓ eſt æqualis, ac propterea tres rectæ lineæ AE, EB, EΓ inter ſe ſunt æquales: centro igitur E intervallo autem æquali uni ipſarum AE, EB, EΓ circulus deſcriptus etiam per reliqua tranſibit puncta, & circulus deſcriptus erit. quare circuli ſegmento dato deſcriptus eſt [per 9. 3.] circulus, cujus eſt ſegmentum. ſed & illud conſtat, ſegmentum ABΓ ſemicirculo minus eſſe; propterea quod E centrum ipſius cadit extra.



Similiter & ſi angulus ABΔ ſit æqualis angulo BAΔ, facta AΔ æquali utrivis ipſarum BΔ, ΔΓ, erunt tres rectæ lineæ ΔA, ΔB, ΔΓ inter ſe æquales, atque erit [per 9. 3.] Δ circuli completi centrum, & ſegmentum ABΓ ſemicirculus.



Si vero angulus ABΔ minor ſit angulo BAΔ, & conſtituatur ad rectam lineam BA & ad punctum in ea datum A angulus BAE æqualis angulo ABΔ, intra ſegmentum ABΓ erit centrum E, in ipſa ΔB, atque erit ABΓ ſegmentum ſemicirculo majus.

Circuli igitur ſegmento dato, deſcriptus eſt circulus cujus eſt ſegmentum. quod erat faciendum.

PROP. XXVI. THEOR.

In æqualibus circulis æquales anguli æqualibus inſiſtunt circumferentiis, ſive ad centra ſive ad circumferentias inſiſtant.

SInt æquales circuli ABΓ, ΔEZ, & in ipſis æquales anguli, ad centra quidem BHΓ,

ΠΡΟΤΑΣΙΣ κε'.

Κύκλυ τμήματος δοθέντος, περιγράψαι τὸν κύκλον ὅπερ ἐστὶ τμῆμα.

ΕΣτω τὸ δοθὲν τμῆμα κύκλυ, τὸ ΑΒΓ· δεῖ δὴ περιγράψαι τὸν κύκλον, ὅυπέρ ἐστι τὸ ΑΒΓ τμῆμα.

Τετμήσθω γὰρ ἡ ΑΓ δίχα κατὰ τὸ Δ, καὶ ἤχθω ἀπὸ τοῦ Δ σημείυ τῇ ΑΓ πρὸς ὀρθὰς ἡ ΔΒ, καὶ ἐπεζεύχθω ἡ ΑΒ· ἡ ἄρα ὑπὸ ΑΒΔ γωνία τῆς ὑπὸ ΒΑΔ ἤτοι μείζων ἐστὶν, ἢ ἴση, ἢ ἐλάττων.

Ἔστω πρότερον μείζων, καὶ συνεστάτω πρὸς τῇ ΒΑ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α, τῇ ὑπὸ ΑΒΔ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΑΕ, καὶ διήχθω ἐπὶ τὸ Ε ἡ ΔΒ, καὶ ἐπεζεύχθω ἡ ΕΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΕ γωνία τῇ ὑπὸ ΒΑΕ, ἴση ἄρα ἐστὶ καὶ ἡ ΒΕ εὐθεῖα τῇ ΕΑ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΓ, κοινὴ δὲ ἡ ΔΕ, δύο δὴ αἱ ΑΔ, ΔΕ δυσὶ ταῖς ΓΔ, ΔΕ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΑΔΕ γωνίᾳ τῇ ὑπὸ ΓΔΕ ἴση ἐστὶν, ὀρθὴ γὰρ ἑκατέρα· καὶ βάσις ἄρα ἡ ΑΕ βάσει τῇ ΓΕ ἴση ἐστίν. ἀλλὰ ἡ ΑΕ τῇ ΕΒ ἐδείχθη ἴση· καὶ ἡ ΒΕ ἄρα τῇ ΓΕ ἐστὶν ἴση· αἱ τρεῖς ἄρα αἱ ΑΕ, ΕΒ, ΕΓ ἴσαι ἀλλήλαις εἰσίν· ὁ ἄρα κέντρῳ τῷ Ε, διαστήματι δὲ ἑνὶ τῶν ΑΕ, ΕΒ, ΕΓ, κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος. κύκλυ ἄρα τμήματος δοθέντος, περιγέγραπται ὁ κύκλος. καὶ δῆλον ὡς τὸ ΑΒΓ τμῆμα ἔλαττόν ἐστι ἡμικυκλίου, διὰ τὸ, τὸ Ε κέντρον αὐτὸ ἐκτὸς τυγχάνειν.

Ὁμοίως δὲ κἂν ᾖ ἡ ὑπὸ ΑΒΔ γωνία ἴση τῇ ὑπὸ ΒΑΔ, τὰ ΑΔ ἴσης ἑκατέρᾳ τῶν ΒΔ, ΔΓ, αἱ τρεῖς ἄρα αἱ ΔΑ, ΔΒ, ΔΓ ἴσαι ἀλλήλαις ἔσονται, καὶ ἔσται τὸ Δ κέντρον τοῦ περιγεγραμμένου κύκλυ, καὶ δῆλον ὅτι ἔσται τὸ ΑΒΓ ἡμικύκλιον.

Ἐὰν δὲ ἡ ὑπὸ ΑΒΔ ἐλάττων ᾖ τῆς ὑπὸ ΒΑΔ, καὶ συνιστώμεθα πρὸς τῇ ΒΑ εὐθείᾳ, καὶ τῷ Α σημείῳ, τῇ ὑπὸ ΑΒΔ γωνίαν ἴσην, ἐντὸς τοῦ ΑΒΓ τμήματος πεσεῖται τὸ κέντρον ἐπὶ τῆς ΔΒ, καὶ ἔσται δῆλον τὸ ΑΒΓ τμῆμα μεῖζον ἡμικυκλίου.

Κύκλυ ἄρα τμήματος δοθέντος, περιγέγραπται ὁ κύκλος, ὅπερ ἐστὶ τὸ τμῆμα. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ἔν τε πρὸς τοῖς κέντροις ἔν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι.

ΕΣτωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ, καὶ ἐν αὐτοῖς ἴσαι γωνίαι ἔστωσαν, πρὸς μὲν τοῖς κέντροις αἱ ὑπὸ

ἴσην τὴν ΒΗΓ, ΕΘΖ, πρὸς δὲ ταῖς περιφερείαις αἱ ἴσαι ΒΑΓ, ΕΔΖ· λέγω ὅτι ἴση ἐστὶν ἡ ΒΚΓ περιφέρεια τῇ ΕΔΖ περιφερείᾳ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΓ, ΕΖ.

Καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΑΒΓ, ΔΕΖ κύκλοι, ἴσαι εἰσὶ καὶ αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ ΒΗ, ΗΓ δυσὶ ταῖς ΕΘ, ΘΖ ἴσαι εἰσὶν, καὶ γωνία ἡ πρὸς τῷ Η γωνίᾳ τῇ πρὸς τῷ Θ ἴση ἐστί· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ πρὸς τῷ Α γωνία τῇ πρὸς τῷ Δ, ὅμοιον ἄρα ἐστὶ τὸ ΒΑΓ τμῆμα τῷ ΕΔΖ τμήματι, καί ἐστιν ἐπὶ ἴσων εὐθειῶν τῶν ΒΓ, ΕΖ· τὰ δὲ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα τὸ ΒΑΓ τμῆμα τῷ ΕΔΖ τμήματι. ἐστὶ δὲ καὶ ὅλος ὁ ΑΒΓ κύκλος ὅλῳ τῷ ΔΕΖ κύκλῳ ἴσος, λοιπὸν ἄρα ΒΚΓ τμῆμα λοιπῷ ΕΔΖ ἴσον· ἡ ἄρα ΒΚΓ περιφέρεια τῇ ΕΔΖ περιφερείᾳ ἐστὶν ἴση.



Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ἐάντε πρὸς τοῖς κέντροις ἐάντε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι. ὅπερ ἔδει δεῖξαι.

EXEUNT enim BH, HΓ duabus EΘ, ΘZ æquales, & angulus ad H æqualis angulo ad Θ: ergo & baſis BΓ [per 4. 1.] baſi EZ eſt æqualis. & quoniam æqualis eſt angulus ad A angulo ad Δ, ſegmentum BAΓ ſimile erit [per 11. def. 3.] ſegmento EΔZ, & ſunt ſuper æquales rectas lineas BΓ, EZ; quæ autem ſuper æquales rectas lineas ſimilia ſunt circulorum ſegmenta [per 24. 3.] ſunt inter ſe æqualia: ſegmentum igitur BAΓ ſegmento EΔZ eſt æquale. ſed & totus ABΓ circulus æqualis eſt toti ΔEZ: reliquum igitur ſegmentum BKΓ reliquo EΔZ eſt æquale, circumferentia igitur BKΓ circumferentiæ EΔZ æqualis erit.



In æqualibus igitur circulis, æquales anguli æqualibus inſiſtunt circumferentiis, ſive ad centra ſive ad circumferentias inſiſtant. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κζ'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ἐπὶ ἴσων περιφερειῶν βεβηκυῖαι γωνίαι ἴσαι ἀλλήλαις εἰσὶν, ἐάντε πρὸς τοῖς κέντροις ἐάντε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι.

PROP. XXVII. THEOR.

In æqualibus circulis anguli qui æqualibus inſiſtunt circumferentiis ſunt inter ſe æquales, ſive ad centra ſive ad circumferentias inſiſtant.

ΕΝ γὰρ ἴσοις κύκλοις τοῖς ΑΒΓ, ΔΕΖ, ἐπὶ ἴσων περιφερειῶν τῶν ΒΓ, ΕΖ, πρὸς μὲν τοῖς Η, Θ κέντροις γωνίαι βεβηκέτωσαν αἱ ὑπὸ ΒΗΓ, ΕΘΖ, πρὸς δὲ ταῖς περιφερείαις αἱ ὑπὸ ΒΑΓ, ΕΔΖ· λέγω ὅτι ἡ μὲν ὑπὸ ΒΗΓ τῇ ὑπὸ ΕΘΖ ἐστὶν ἴση, ἡ δὲ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.

Εἰ μὲν οὖν ἡ ὑπὸ ΒΗΓ ἴση ἐστὶ τῇ ὑπὸ ΕΘΖ, φανερόν ὅτι καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ ἴση ἐστίν. εἰ δὲ οὔ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΒΗΓ, καὶ συνεστάτω πρὸς τῇ ΒΗ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Η, τῇ ὑπὸ ΕΘΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΗΚ· αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ὅταν πρὸς τοῖς κέντροις



IN æqualibus enim circulis ABΓ, ΔEZ æqualibus circumferentiis BΓ, EZ inſiſtant anguli ad centra quidem BHΓ, EΘZ, ad circumferentias vero BAΓ, EΔZ: dico angulum BHΓ angulo EΘZ, & angulum BAΓ angulo EΔZ æqualem eſſe.

Si enim angulus BHΓ æqualis ſit angulo EΘZ, manifeſtum eſt [per 20. 3.] angulum quoque BAΓ angulo EΔZ eſſe æqualem. ſin minus, unus ipſorum eſt major. ſit major BHΓ, & conſtituatur [per 23. 1.] ad rectam lineam BH, & ad punctum in ipſa H angulo EΘZ æqualis angulus BHK; æquales autem anguli [per 26. 3.] æqualibus inſiſtunt circumferentiis, quando ad



centra

centra fuerint: ergo circumferentia ΒΚ æqualis eſt circumferentiæ ΕΖ. ſed circumferentia ΕΖ æqualis eſt ipſi ΒΓ: ergo & ΒΚ ipſi ΒΓ eſt æqualis, minor majori, quod fieri non poteſt. non eſt igitur inæqualis angulus ΒΗΓ angulo ΕΘΖ: ergo eſt æqualis. eſt autem angulus ad Α [per 20. 3.] dimidius anguli ΒΗΓ, anguli vero ΕΘΖ dimidius qui ad Δ: angulus igitur qui ad Α angulo qui ad Δ eſt æqualis.



In æqualibus igitur circulis anguli qui æqualibus inſiſtunt circumferentiis ſunt inter ſe æquales, ſive ad centra ſive ad circumferentias inſiſtant. quod erat demonſtrandum.

ὧσιν· ἴση ἄρα ἡ ΒΚ τῇ ΕΖ περιφέρεια τῇ ΕΖ περιφερείᾳ. ἀλλ' ἡ ΕΖ τῇ ΒΓ ἐστιν ἴση, καὶ ἡ ΒΚ ἄρα τῇ ΒΓ ἐστιν ἴση, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἐστιν ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ ΒΗΓ γωνία τῇ ὑπὸ ΕΘΖ· ἴση ἄρα. καὶ ἐστὶ τῆς μὲν ὑπὸ ΒΗΓ ἡμίσεια ἡ πρὸς τῷ Α, τῆς δὲ ὑπὸ ΕΘΖ ἡμίσεια ἡ πρὸς τῷ Δ· ἴση ἄρα καὶ ἡ πρὸς τῷ Α γωνία τῇ πρὸς τῷ Δ.



Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἐπὶ ἴσων περιφερειῶν βεβηκυῖαι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἐάντε πρὸς τοῖς κέντροις ὦσι ἐάντε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι. ὅπερ ἔδει δεῖξαι.

Prop. XXVIII. Theor.

In æqualibus circulis æquales rectæ lineæ circumferentias æquales auferunt, majorem quidem majori, minorem vero minori.

ΠΡΟΤΑΣΙΣ κή'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ἴσαι εὐθεῖαι ἴσας περιφερείας ἀφαιροῦσι, τὴν μὲν μείζονα τῇ μείζονι, τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι.

SInt æquales circuli ΑΒΓ, ΔΕΖ, & in ipſis æquales rectæ lineæ ΒΓ, ΕΖ, quæ circumferentias quidem auferant majores ΒΑΓ, ΕΔΖ, minores vero ΒΗΓ, ΕΘΖ: dico circumferentiam ΒΑΓ majorem majori circumferentiæ ΕΔΖ, & minorem circumferentiam ΒΗΓ minori ΕΘΖ æquales eſſe.

Sumantur enim [per 1. 3.] centra circulorum Κ, Λ, junganturque ΒΚ, ΚΓ, ΕΛ, ΛΖ.

Quoniam autem circuli ſunt æquales, erunt & quæ ex centris æquales: duæ igitur ΒΚ, ΚΓ ſunt æquales duabus ΕΛ, ΛΖ, & baſis ΒΓ æqualis eſt baſi ΕΖ: ergo angulus ΒΚΓ [per 8. 1.] angulo ΕΛΖ eſt æqualis. æquales autem anguli [per 26. 3.] æqualibus inſiſtunt circumferentiis, quando ad centra fuerint: quare circumferentia ΒΗΓ æqualis eſt circumferentiæ ΕΘΖ. ſed & totus ΑΒΓ circulus toti ΔΕΖ eſt æqualis: reliqua igitur circumferentia ΒΑΓ reliquæ ΕΔΖ æqualis erit.

Ergo in æqualibus circulis æquales rectæ lineæ circumferentias æquales auferunt, majorem quidem majori, minorem vero minori. quod erat demonſtrandum.



Ἐστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ, καὶ ἐν αὐτοῖς ἴσαι εὐθεῖαι ἔστωσαν αἱ ΒΓ, ΕΖ, τὰς μὲν ΒΑΓ, ΕΔΖ περιφερείας μείζονας ἀφαιρούσας, τὰς δὲ ΒΗΓ, ΕΘΖ ἐλάττονας· λέγω ὅτι ἡ μὲν ΒΑΓ μείζων περιφέρεια ἴση ἐστὶ τῇ ΕΔΖ μείζονι περιφερείᾳ, ἡ δὲ ΒΗΓ ἐλάττων περιφέρεια ἴση τῇ ΕΘΖ ἐλάττονι.

Εἰλήφθω γὰρ τὰ κέντρα τῶν κύκλων, τὰ Κ, Λ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΚ, ΚΓ, ΕΛ, ΛΖ.



Καὶ ἐπεὶ ἴσοι κύκλοι εἰσὶν, ἴσαι εἰσὶ καὶ αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ ΒΚ, ΚΓ δυσὶ ταῖς ΕΛ, ΛΖ ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΒΚΓ γωνίᾳ τῇ ὑπὸ ΕΛΖ ἴση ἐστίν. αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ὅταν πρὸς τοῖς κέντροις ὦσι· ἴση ἄρα ἡ περιφέρεια ΒΗΓ τῇ ΕΘΖ περιφερείᾳ. ἔστι δὲ καὶ ὅλος ὁ ΑΒΓ κύκλος ὅλῳ τῷ ΔΕΖ κύκλῳ ἴσος· λοιπὴ ἄρα ἡ ΒΑΓ περιφέρεια λοιπῇ τῇ ΕΔΖ περιφερείᾳ ἴση ἐστίν.

Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἴσαι εὐθεῖαι ἴσας περιφερείας ἀφαιροῦσι, τὴν μὲν μείζονα τῇ μείζονι, τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κθ'.

Ἐν τοῖς ἴσοις κύκλοις τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν.

Ἔστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ, καὶ ἐν αὐτοῖς ἴσαι περιφέρειαι ἀπειλήφθωσαν αἱ ΒΗΓ, ΕΘΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΓ, ΕΖ εὐθεῖαι· λέγω ὅτι ἴση ἐστὶν ἡ ΒΓ εὐθεῖα τῇ ΕΖ.

Εἰλήφθω γὰρ τὰ κέντρα τῶν κύκλων, τὰ Κ, Λ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΚ, ΚΓ, ΕΛ, ΛΖ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΗΓ περιφέρεια τῇ ΕΘΖ περιφερείᾳ, ἴση ἐστὶ καὶ ἡ γωνία ἡ ὑπὸ ΒΚΓ τῇ ὑπὸ ΕΛΖ. καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΑΒΓ, ΔΕΖ κύκλοι, ἴσαι εἰσὶ καὶ αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ ΒΚ, ΚΓ δυσὶ ταῖς ΕΛ, ΛΖ ἴσαι εἰσίν, καὶ γωνίας περιέχουσιν ἴσας· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστίν.

Ἐν ἄρα τοῖς ἴσοις κύκλοις ὑπὸ τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXIX. Theor.

In æqualibus circulis æquales circumferentias æquales rectæ lineæ ſubtendunt.

Sint æquales circuli ΑΒΓ, ΔΕΖ, & in ipſis æquales ſumantur circumferentiæ ΒΗΓ, ΕΘΖ, & ΒΓ, ΕΖ jungantur: dico rectam lineam ΒΓ rectæ ΕΖ æqualem eſſe.

Sumantur enim centra circulorum Κ, Λ, & jungantur ΒΚ, ΚΓ, ΕΛ, ΛΖ.



Quoniam igitur circumferentia ΒΗΓ eſt æqualis circumferentiæ ΕΘΖ, erit [per 27. 3.] & angulus ΒΚΓ angulo ΕΛΖ æqualis. & quoniam circuli ΑΒΓ, ΔΕΖ ſunt æquales, & quæ ex centris æquales erunt: duæ igitur ΒΚ, ΚΓ ſunt æquales duabus ΕΛ, ΛΖ, & æquales angulos continent: quare baſis ΒΓ [per 4. 1.] baſi ΕΖ eſt æqualis.

In æqualibus igitur circulis æquales circumferentias æquales rectæ lineæ ſubtendunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λ'.

Τὴν δοθεῖσαν περιφέρειαν δίχα τεμεῖν.

Ἔστω ἡ δοθεῖσα περιφέρεια ἡ ΑΔΒ· δεῖ δὴ τὴν ΑΔΒ περιφέρειαν δίχα τεμεῖν.

Ἐπεζεύχθω ἡ ΑΒ, καὶ τετμήσθω δίχα κατὰ τὸ Γ, καὶ ἀπὸ τοῦ Γ σημείου τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς ἤχθω ἡ ΓΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΒ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΒ, κοινὴ δὲ ἡ ΓΔ· δύο δὴ αἱ ΑΓ, ΓΔ δυσὶ ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΑΓΔ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση, ὀρθὴ γὰρ ἑκατέρα· καὶ βάσις ἡ ΑΔ βάσει τῇ ΔΒ ἴση ἐστίν. αἱ δὲ ἴσας εὐθείας ἴσας περιφερείας ἀφαιροῦσι, τὴν μὲν μείζονα τῇ μείζονι, τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι· καὶ ἔστιν ἑκατέρα τῶν ΑΔ, ΔΒ περιφερειῶν ἐλάττων ἡμικυκλίου· ἴση ἄρα ἡ ΑΔ περιφέρεια τῇ ΔΒ περιφερείᾳ.

Ἡ ἄρα δοθεῖσα περιφέρεια δίχα τέτμηται. ὅπερ ἔδει ποιῆσαι.

Prop. XXX. Probl.

Datam circumferentiam bifariam ſecare.

Sit data circumferentia ΑΔΒ: oportet ΑΔΒ circumferentiam bifariam ſecare.

Jungatur ΑΒ, & [per 10. 1.] bifariam ſecetur in Γ: à puncto autem Γ ipſi ΑΒ [per 11. 1.] ad rectos angulos ducatur ΓΔ, & jungantur ΑΔ, ΔΒ.

Quoniam igitur ΑΓ eſt æqualis ΓΒ, communis autem ΓΔ, duæ ΑΓ, ΓΔ duabus ΒΓ, ΓΔ ſunt æquales. & angulus ΑΓΔ æqualis angulo ΒΓΔ, rectus enim eſt uterque: ergo baſis ΑΔ [per 4. 1.] baſi ΔΒ eſt æqualis. æquales autem rectæ lineæ [per 28. 3.] circumferentias æquales auferunt, majorem quidem majori, minorem vero minori; & eſt utraque ipſarum ΑΔ, ΔΒ circumferentiarum ſemicirculo minor: quare circumferentia ΑΔ circumferentiæ ΔΒ æqualis erit.

Data igitur circumferentia bifariam ſecta eſt. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ λα'.

Ἐν κύκλῳ, ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν· ἡ δὲ ἐν τῷ μείζονι τμήματι ἐλάττων ὀρθῆς· ἡ δὲ ἐν τῷ ἐλάττονι μείζων ὀρθῆς.

Prop. XXXI. Theor.

In circulo, angulus qui in ſemicirculo rectus eſt: qui vero in majori ſegmento minor eſt recto: & qui in minori

nori major recto. & insuper majoris quidem segmenti angulus recto major est; minoris vero segmenti angulus recto minor.

SIT circulus ABΓΔ, cujus diameter BΓ, centrum autem E, & jungantur BA, AΓ, AΔ, ΔΓ: dico angulum quidem, qui est in semicirculo BAΓ, rectum esse; qui vero in segmento ABΓ majore semicirculo, videlicet angulum ABΓ, minorem esse recto; & qui in segmento AΔΓ minore semicirculo, [hoc est angulum AΔΓ] recto majorem esse.



Jungatur AE, & BA ad Z producatur.

Itaque quoniam BE est æqualis EA, erit & angulus EAB [per 5. 1.] angulo EBA æqualis. rursus, quoniam EA est æqualis EΓ, & angulus AΓE angulo ΓAE æqualis erit: totus igitur angulus BAΓ est æqualis duobus angulis ABΓ, AΓB. est autem & angulus ZAΓ, extra triangulum ABΓ, [per 32. 1.] duobus ABΓ, AΓB æqualis: angulus igitur BAΓ est æqualis angulo ZAΓ, ac propterea [per 10. def. 1.] uterque ipsorum rectus: quare in semicirculo BAΓ angulus BAΓ rectus est.

ET quoniam trianguli ABΓ duo anguli ABΓ, BAΓ [per 17. 1.] duobus rectis sunt minores, rectus autem BAΓ; erit ABΓ angulus recto minor, atque est in segmento ABΓ majore semicirculo.

CUM autem in circulo quadrilaterum sit ABΓΔ, quadrilaterorum vero, qui in circulis describuntur, anguli oppositi [per 22. 3.] duobus rectis sint æquales; erunt ABΓ, AΔΓ anguli æquales duobus rectis. & angulus ABΓ minor est recto: reliquus igitur AΔΓ recto major erit, atque est in segmento AΔΓ minore semicirculo.

DICO præterea majoris segmenti angulum, comprehensum à circumferentia ABΓ & recta linea AΓ, recto esse majorem; angulum vero minoris segmenti, comprehensum à circumferentia AΔΓ & recta linea AΓ, recto minorem. quod quidem perspicue apparet. Quoniam enim angulus à rectis lineis BA, AΓ comprehensus rectus est, erit & comprehensus à circumferentia ABΓ & recta linea AΓ major recto. rursus, quoniam angulus comprehensus à rectis lineis ΓA, AZ rectus est; erit angulus, qui comprehenditur à recta ΓA & AΔΓ circumferentia, minor recto.

In circulo igitur, angulus qui in semicirculo rectus est: qui vero in majore segmento minor est recto: & qui in minore major. & insuper majoris segmenti angulus est recto major, minoris vero segmenti minor. quod erat demonstrandum.

ALITER.

Demonstratur angulum BAΓ rectum esse.

ΕΣτω κύκλος ὁ ABΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ BΓ, κέντρον δὲ τὸ E, καὶ ἐπεζεύχθωσαν αἱ BA, AΓ, AΔ, ΔΓ. λέγω ὅτι ἡ μὲν ἐν τῷ BAΓ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν· ἡ δὲ ἐν τῷ ABΓ μείζονι τοῦ ἡμικυκλίου τμήματι γωνία, ἡ τοῦ ABΓ, ἐλάττων ὀρθῆς· ἡ δὲ ἐν τῷ AΔΓ ἐλάττονι τοῦ ἡμικυκλίου τμήματι γωνία μείζων ἐστὶν ὀρθῆς.

Ἐπεζεύχθω ἡ AE, καὶ διήχθω ἡ BA ἐπὶ τὸ Z.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ BE τῇ EA, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ EAB τῇ ὑπὸ EBA. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ EA τῇ EΓ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ AΓE τῇ ὑπὸ ΓAE· ὅλη ἄρα ἡ ὑπὸ BAΓ δυσὶ ταῖς ὑπὸ ABΓ, AΓB ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ ὑπὸ ZAΓ ἐκτὸς τοῦ ABΓ τριγώνου δυσὶ ταῖς ὑπὸ ABΓ, AΓB γωνίαις ἴση· ἴση ἄρα καὶ ἡ ὑπὸ BAΓ γωνία τῇ ὑπὸ ZAΓ, ὀρθὴ ἄρα ἑκατέρα· ἡ ἄρα ἐν τῷ BAΓ ἡμικυκλίῳ γωνία ἡ ὑπὸ BAΓ ὀρθή ἐστι.

ΚΑΙ ἐπεὶ τοῦ ABΓ τριγώνου δύο γωνίαι αἱ ὑπὸ ABΓ, BAΓ δυσὶν ὀρθῶν ἐλάττονές εἰσιν, ὀρθὴ δὲ ἡ ὑπὸ BAΓ γωνία· ἐλάττων ἄρα ὀρθῆς ἐστιν ἡ ὑπὸ ABΓ γωνία, ἥ ἐστιν ἐν τῷ ABΓ μείζονι τοῦ ἡμικυκλίου τμήματι.

ΚΑΙ ἐπεὶ ἐν κύκλῳ τετράπλευρόν ἐστι τὸ ABΓΔ, τῶν δὲ ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ABΓ, AΔΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσί. καὶ ἔστιν ἡ ὑπὸ ABΓ ἐλάττων ὀρθῆς· λοιπὴ ἄρα ἡ ὑπὸ AΔΓ μείζων ἐστὶν ὀρθῆς, καὶ ἔστιν ἐν τῷ ἐλάττονι τοῦ ἡμικυκλίου τμήματι.

ΛΕΓΩ δὴ ὅτι καὶ ἡ μὲν τοῦ μείζονος τμήματος γωνία, ἡ περιεχομένη ὑπὸ τῆς ABΓ περιφερείας καὶ τῆς AΓ εὐθείας, μείζων ἐστὶν ὀρθῆς· ἡ δὲ τοῦ ἐλάττονος τμήματος γωνία, ἡ περιεχομένη ὑπὸ τῆς AΔΓ περιφερείας καὶ τῆς AΓ εὐθείας, ἐλάττων ἐστὶν ὀρθῆς. καὶ ἔστιν αὐτόθεν φανερόν. Ἐπεὶ γὰρ ἡ ὑπὸ τῶν BA, AΓ εὐθειῶν περιεχομένη ὀρθὴ γωνία ἐστίν, ἡ ἄρα ὑπὸ τῆς ABΓ περιφερείας καὶ τῆς AΓ εὐθείας περιεχομένη μείζων ἐστὶν ὀρθῆς. πάλιν, ἐπεὶ ἡ ὑπὸ τῶν ΓA, AZ εὐθειῶν ὀρθή ἐστιν· ἡ ἄρα ὑπὸ τῆς ΓA εὐθείας καὶ τῆς AΔΓ περιφερείας ἐλάττων ἐστὶν ὀρθῆς.

Ἐν κύκλῳ ἄρα, ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν· ἡ δὲ ἐν τῷ μείζονι τμήματι ἐλάττων ἐστὶν ὀρθῆς· ἡ δὲ ἐν τῷ ἐλάττονι μείζων ἐστὶν ὀρθῆς. καὶ ἔτι ἡ μὲν τοῦ μείζονος τμήματος γωνία μείζων ἐστὶν ὀρθῆς· ἡ δὲ τοῦ ἐλάττονος τμήματος ἐλάττων ἐστὶν ὀρθῆς. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΩΣ.

Ἀποδεικτὸν τοῦ ὀρθὴν εἶναι τὴν ὑπὸ BAΓ. ἐπεὶ διπλῆ

διπλῆ ἐστιν ἡ ὑπὸ ΑΕΓ τῆς ὑπὸ ΒΑΕ, ἴση γὰρ δυσὶ τοῖς ἐντὸς καὶ ἀπεναντίον· ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΑΕΒ διπλῆ τῆς ὑπὸ ΒΑΓ· αἱ ἄρα ὑπὸ ΑΕΒ, ΑΕΓ διπλασίονές εἰσι τῆς ὑπὸ ΒΑΓ. ἀλλὰ αἱ ὑπὸ ΑΕΒ, ΑΕΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ἡ ἄρα ὑπὸ ΒΑΓ ὀρθή ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν τριγώνου ἡ μία γωνία δυσὶν ἴσῃ ᾖ, ὀρθή ἐστι· λέγω τὸ καὶ τλὸ ἐκείνης ἐφεξῆς τοῖς αὐτοῖς ἴσον εἶναι. ὅταν δὲ αἱ ἐφεξῆς γωνίαι ἴσαι ὦσιν, ὀρθαὶ εἰσιν.

ΠΡΟΤΑΣΙΣ λβ'.

Ἐὰν κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς ἀπὸ τοῦ κύκλου διαχθῇ τις εὐθεῖα τέμνουσα τὸν κύκλον, ἃς ποιεῖ γωνίας πρὸς τῇ ἐφαπτομένῃ ἴσας ἐστὶν ταῖς ἐν τοῖς ἐναλλὰξ τοῦ κύκλου τμήμασι γωνίαις.

Κύκλου γὰρ τοῦ ΑΒΓΔ ἐφαπτέσθω τις εὐθεῖα ἡ ΕΖ κατὰ τὸ Β σημεῖον, καὶ ἀπὸ τοῦ Β σημείου διήχθω τις εὐθεῖα διὰ τοῦ ΑΒΓΔ κύκλου τέμνουσα αὐτὸν ἡ ΒΔ· λέγω ὅτι ἃς ποιεῖ γωνίας ἡ ΒΔ μετὰ τῆς ΕΖ ἐφαπτομένης ἴσας ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τμήμασι τοῦ κύκλου γωνίαις, τουτέστιν, ὅτι ἡ μὲν ὑπὸ ΖΒΔ ἴση ἐστὶ τῇ ἐν τῷ ΔΑΒ τμήματι συνισταμένῃ γωνίᾳ, ἡ δὲ ὑπὸ ΕΒΔ ἴση ἐστὶ τῇ ἐν τῷ ΔΓΒ τμήματι.



Ἤχθω γὰρ ἀπὸ τοῦ Β τῇ ΕΖ πρὸς ὀρθὰς ἡ ΒΑ, καὶ εἰλήφθω ἐπὶ τῆς ΒΔ περιφερείας τυχὸν σημεῖον τὸ Γ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΓ, ΓΒ.

Καὶ ἐπεὶ κύκλου τοῦ ΑΒΓΔ ἐφάπτεταί τις εὐθεῖα ἡ ΕΖ κατὰ τὸ Β σημεῖον, καὶ ἀπὸ τῆς κατὰ τὸ Β ἁφῆς ἦκταί τις ἡ ΒΑ πρὸς ὀρθὰς τῇ ἐφαπτομένῃ πρὸς ὀρθὰς ἡ ΒΑ, ἐπὶ τῆς ΒΑ τὸ κέντρον ἐστὶ τοῦ ΑΒΓΔ κύκλου· ἡ ἄρα ὑπὸ ΑΔΒ γωνία ἐν ἡμικυκλίῳ ἴσαι ὀρθῇ ἐστι· λοιπαὶ ἄρα αἱ ὑπὸ ΒΑΔ, ΑΒΔ μιᾷ ὀρθῇ ἴσαι εἰσίν. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΑΒΖ ὀρθή· ἡ ἄρα ὑπὸ ΑΒΖ ἴση ἐστὶ ταῖς ὑπὸ ΒΑΔ, ΑΒΔ. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΑΒΔ· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΒΖ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τμήματι τοῦ κύκλου γωνίᾳ, τῇ ὑπὸ ΒΑΔ. καὶ ἐπεὶ ἐν κύκλῳ τετράπλευρόν ἐστι τὸ ΑΒΓΔ, αἱ ἀπεναντίον αὐτοῦ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ΔΒΖ, ΔΒΕ τῇ ὑπὸ ΒΑΔ, ΒΓΔ ἴσαι εἰσὶν, ὧν ἡ ὑπὸ ΒΑΔ τῇ ὑπὸ ΔΒΖ ἐδείχθη ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΒΕ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι τῷ ΔΓΒ, τῇ ὑπὸ ΔΓΒ γωνίᾳ, ἐστὶν ἴση.

Ἐὰν ἄρα κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς ἐπὶ τὸν κύκλον διαχθῇ τις εὐθεῖα τέμνουσα τὸν κύκλον, ἃς ποιεῖ γωνίας πρὸς τῇ ἐφαπτομένῃ ἴσας ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τοῦ κύκλου τμήμασι γωνίαις. ὅπερ ἔδει δεῖξαι.

quoniam enim angulus AEΓ duplus est anguli BAE, etenim duobus interioribus & oppositis [per 32. 1.] est æqualis: est autem & AEB duplus ipsius BAΓ: anguli AEB, AEΓ dupli erunt anguli BAΓ. sed AEB, AEΓ anguli [per 13. 1.] duobus rectis sunt æquales: ergo angulus BAΓ rectus est. quod erat demonstrandum.

Corollarium.

Hinc manifestum est, quod si unus angulus trianguli sit æqualis duobus reliquis, est rectus: propterea quod ejus angulus deinceps iisdem est æqualis. quando autem anguli deinceps sunt æquales, [per 10. def. 1.] sunt recti.

PROP. XXXII. THEOR.

Si recta linea circulum contingat, à contactu autem ducatur recta linea circulum secans; anguli quos hæc cum contingente facit æquales erunt iis qui in alternis circuli segmentis consistunt.

CIrculum enim ABΓΔ contingat recta linea EZ in B, & à puncto B per circulum ABΓΔ ducatur recta linea BΔ secans illum utcunque: dico angulos quos BΔ cum contingente EZ facit æquales esse iis qui in alternis circuli segmentis consistunt; hoc est, angulum ZBΔ esse æqualem angulo qui constituitur in ΔAB segmento, angulum vero EBΔ æqualem angulo qui in segmento ΔΓB constituitur.

Ducatur enim [per 11. 1.] à puncto B ipsi BZ ad rectos angulos BA, & in circumferentia BΔ sumatur quodvis punctum Γ, junganturque AΔ, ΔΓ, ΓB.

Quoniam igitur circulum ABΓΔ contingit recta linea EZ in puncto B, & à contactu B ad rectos angulos contingenti ducta est BA, erit [per 19. 3.] in ipsa BA centrum circuli ABΓΔ: angulus igitur AΔB in semicirculo [per 31. 3.] est rectus; reliqui igitur anguli BAΔ, ABΔ uni recto sunt æquales. est autem [per constr.] ABZ rectus: ergo [per 10. ax.] angulus ABZ æqualis est angulis BAΔ, ABΔ. communis auferatur ABΔ: reliquus igitur ΔBZ ei qui in alterno circuli segmento consistit, videlicet angulo BAΔ, est æqualis. & quoniam in circulo quadrilaterum est ABΓΔ, anguli ejus oppositi [per 22. 3.] æquales sunt duobus rectis; erunt igitur ΔBZ, ΔBE anguli [per 13. 1.] angulis BAΔ, BΓΔ æquales, è quibus BAΔ ostensus est æqualis ipsi ΔBZ: ergo reliquus ΔBE ei qui in alterno circuli segmento ΔΓB constituitur, videlicet angulo ΔΓB, æqualis erit.

Si igitur recta linea circulum contingat, à contactu autem ducatur recta linea secans; anguli quos hæc cum contingente facit æquales erunt iis qui in alternis circuli segmentis consistunt. quod erat demonstrandum.

PROP. XXXIII. THEOR.

Super data recta linea deſcribere ſegmentum circuli, quod capiat angulum dato angulo rectilineo æqualem.

SIT data recta linea AB, datus autem angulus rectilineus qui ad Γ: itaque oportet ſuper data recta linea AB deſcribere ſegmentum circuli, quod capiat angulum æqualem angulo qui eſt ad Γ. angulus igitur ad Γ vel eſt acutus, vel rectus, vel obtuſus.

Sit primum acutus, ut in prima figura, & ad rectam lineam AB & ad punctum in ea A conſtituatur [per 23. 1.] angulus BAΔ angulo qui eſt ad Γ æqualis: acutus igitur angulus eſt BAΔ. & à puncto A ipſi AΔ [per 11. 1.] ad rectos angulos ducatur AE, ſecetur autem [per 10. 1.] AB bifariam in Z, atque à puncto Z ducatur ZH ad rectos angulos ipſi AB, & HB jungatur. quoniam igitur AZ eſt æqualis ZB, communis autem ZH, duæ AZ, ZH duabus ZB, ZH ſunt æquales, & angulus AZH æqualis angulo HZB: ergo baſis AH [per 4. 1.] baſi HB eſt æqualis. itaque centro H, intervallo autem AH, circulus deſcriptus tranſibit etiam per B. deſcribatur, & ſit ABE, jungaturque EB. Quoniam igitur à puncto A extremitate diametri AB ipſi AE ad rectos angulos ducta eſt AΔ, ipſa AΔ [per 16. 3.] circulum continget. & quoniam circulum ABE contingit recta linea AΔ, & à contactu qui eſt ad A in circulum ABE ducta eſt recta linea AB; erit [per 32. 3.] angulus ΔAB æqualis angulo qui in alterno circuli ſegmento conſtituitur, videlicet ipſi AEB. ſed angulus ΔAB angulo qui ad Γ eſt æqualis: ergo & angulus ad Γ angulo AEB æqualis erit. Super data igitur recta linea AB ſegmentum circuli deſcriptum eſt AEB, quod capiat angulum AEB, dato angulo qui ad Γ æqualem.



Sit deinde angulus qui ad Γ rectus: & oporteat rurſus ſuper rectam lineam AB deſcribere circuli ſegmentum, quod capiat angulum æqualem recto angulo qui eſt ad Γ. Conſtituatur enim rurſus angulo recto qui ad Γ [per 23. 1.] æqualis angulus BAΔ, ut in ſecunda figura; ſeceturque AB [per 10. 1.] bifariam in Z, & centro Z intervallo autem æquali alterutri ipſarum AZ, ZB circulus deſcribatur AEB. Ergo AΔ recta linea [per 16. 3.] circulum ABE contingit, propterea quod rectus eſt qui ad A angulus. & angulus BAΔ æqualis angulo, qui eſt in ſegmento AEB; rectus enim & ipſe eſt [per

ΠΡΟΤΑΣΙΣ λγ'.

Επὶ τ δοθείσης εὐθείας γράψαι τμῆμα κύκλυ, δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

ΕΣτω ἡ δοθεῖσα εὐθεῖα ἡ AB, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ πρὸς τῷ Γ. δεῖ δὴ ὅπι τ δοθείσης εὐθείας τ AB γράψαι τμῆμα κύκλυ, δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ γωνίᾳ. ἡ γὰρ πρὸς τῷ Γ ἤτοι ὀξεῖά ἐστιν, ἢ ὀρθὴ, ἢ ἀμβλεῖα.

Εστω πρότερον ὀξεῖα, ὡς ὅπι τ πρώτης καταγραφῆς, καὶ συνεστάτω πρὸς τῇ AB εὐθείᾳ καὶ τῷ A σημείῳ τῇ πρὸς τῷ Γ γωνίᾳ ἴση ἡ ὑπὸ BAΔ· ὀξεῖα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ BAΔ. καὶ ἤχθω τῇ AΔ πρὸς ὀρθὰς ἡ AE, καὶ τετμήσθω ἡ AB δίχα κατὰ τὸ Z, καὶ ἤχθω ἀπὸ τ Z σημείου τῇ AB πρὸς ὀρθὰς ἡ ZH, καὶ ἐπεζεύχθω ἡ HB. Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AZ τῇ ZB, κοινὴ δὲ ἡ ZH, δύο δὴ αἱ AZ, ZH δυσὶ τ ZB, ZH ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ AZH τῇ ὑπὸ HZB ἴση· βάσις ἄρα ἡ AH βάσει τῇ HB ἴση ἐστίν. ὁ ἄρα κέντρῳ μὲν τῷ H, διαστήματι δὲ τῷ AH, κύκλος γραφόμενος ἥξει καὶ διὰ τ B. γεγράφθω, καὶ ἔστω ὁ ABE, καὶ ἐπεζεύχθω ἡ EB. ἐπεὶ οὖν ἀπ' ἄκρας τ AE διαμέτρου, ἀπὸ τ A, τῇ AE πρὸς ὀρθὰς ἐστιν ἡ AΔ, ἡ AΔ ἄρα ἐφάπτεται τ κύκλου. Καὶ ἐπεὶ τ ABE κύκλου ἐφάπτεταί τις εὐθεῖα ἡ AΔ, καὶ ἀπὸ τῆς κατὰ τὸ A ἀφῆς ἐπὶ τὸν ABE κύκλον διῆκταί τις εὐθεῖα ἡ AB· ἡ ἄρα ὑπὸ ΔAB γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τμήματι γωνίᾳ τῇ ὑπὸ AEB. ἀλλ' ἡ ὑπὸ ΔAB τῇ πρὸς τῷ Γ ἐστὶν ἴση· καὶ ἡ πρὸς τῷ Γ ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ AEB. Επὶ τῆς δοθείσης ἄρα εὐθείας τῆς AB τμῆμα κύκλου γέγραπται τὸ AEB, δεχόμενον γωνίαν τὴν ὑπὸ AEB ἴσην τῇ δοθείσῃ τῇ πρὸς τῷ Γ.

Αλλὰ δὴ ὀρθὴ ἔστω ἡ πρὸς τῷ Γ· καὶ δέον πάλιν ἔστω ἐπὶ τῆς AB γράψαι τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ ὀρθῇ. Συνεστάτω γὰρ πάλιν τῇ πρὸς τῷ Γ ὀρθῇ γωνίᾳ ἴση ἡ ὑπὸ BAΔ, ὡς ἔχει ὅπι τ δευτέρας καταγραφῆς, καὶ τετμήσθω ἡ AB δίχα κατὰ τὸ Z, καὶ κέντρῳ μὲν τῷ Z, διαστήματι δὲ ὁποτέρῳ τῶν AZ, ZB, κύκλος γεγράφθω ὁ AEB· ἐφάπτεται ἄρα ἡ AΔ εὐθεῖα τ ABE κύκλου, διὰ τὸ ὀρθὴν εἶναι τὴν πρὸς τῷ A γωνίαν. καὶ ἔστιν ἡ μὲν ὑπὸ BAΔ γωνία τῇ ἐν τῷ AEB τμήματι ἴση, ὀρθὴ γὰρ καὶ αὐτὴ ἐν ἡμικυκλίῳ

κλίου οὖσα. ἀλλὰ ἡ ὑπὸ ΒΑΔ τῇ πρὸς τῷ Γ ἐστὶν ἴση. Γέγραπται ἄρα πάλιν ἐπὶ τῆς ΑΒ τμήματος κύκλου τὸ ΑΕΒ, δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ.

Ἀλλὰ δὴ ἡ πρὸς τῷ Γ ἀμβλεῖα ἔστω, καὶ συνεστάτω αὐτῇ ἴση πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ Α σημείῳ ἡ ὑπὸ ΒΑΔ, ὡς ἔχει ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ τῇ ΑΔ πρὸς ὀρθὰς ἤχθω ἡ ΑΕ, καὶ τετμήσθω πάλιν ἡ ΑΒ δίχα κατὰ τὸ Ζ, καὶ τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθω ἡ ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΗΒ. καὶ ἐπεὶ πάλιν ἴση ἐστὶν ἡ ΑΖ τῇ ΖΒ, καὶ κοινὴ ἡ ΖΗ, δύο δὴ αἱ ΑΖ, ΖΗ δυσὶ ταῖς ΒΖ, ΖΗ ἴσαι εἰσὶ, καὶ γωνία ὑπὸ ΑΖΗ γωνίᾳ τῇ ὑπὸ ΒΖΗ ἴση· βάσις ἄρα ἡ ΑΗ βάσει τῇ ΗΒ ἴση ἐστίν. ὁ ἄρα κέντρῳ μὲν τῷ Η, διαστήματι δὲ τῷ ΑΗ, κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ Β. εἰχέσθω ὡς ΑΕΒ. καὶ ἐπεὶ τῇ ΑΕ διαμέτρῳ ἀπ' ἄκρας πρὸς ὀρθὰς ἦκται ἡ ΑΔ, ἡ ΑΔ ἄρα ἐφάπτεται τοῦ ΑΕΒ κύκλου. Καὶ ἔστω τοῦ κατὰ τὸ Α ἁπτῆς δεδηγμένη ἡ ΑΒ· ἡ ἄρα ὑπὸ ΒΑΔ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι τῷ ΑΘΒ συνισταμένῃ γωνίᾳ. ἀλλὰ ἡ ὑπὸ ΒΑΔ γωνία τῇ πρὸς τῷ Γ ἴση ἐστί· καὶ ἡ ἐν τῷ ΑΘΒ ἄρα τμήματι γωνία ἴση ἐστὶ τῇ πρὸς τῷ Γ. Ἐπὶ τοῦ δοθείσης ἄρα εὐθείας τῆς ΑΒ γέγραπται τμῆμα κύκλου τὸ ΑΘΒ, δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ. ὅπερ ἔδει ποιῆσαι.

31. 3.] in ſemicirculo conſiſtens. ſed anguli BAΔ æqualis eſt ei qui ad Γ. Deſcripta igitur eſt rurſus ſuper recta linea AB ſegmentum circuli AEB, quod capiat angulum angulo recto qui ad Γ æqualem.

Denique ſit angulus ad Γ obtuſus, & ad rectam lineam AB & ad punctum A conſtituatur [per 23. 1.] ipſi æqualis angulus BAΔ, ut in tertia figura; & ipſi AΔ rectæ lineæ ad rectos angulos [per 11. 1.] ducatur AE, ſeceturque rurſus AB [per 10. 1.] bifariam in Z, ipſi vero AB ducatur ad rectos angulos ZH, & jungatur HB. quoniam autem AZ eſt æqualis ZB, communis autem ZH, duæ ZH, AZ duabus BZ, ZH ſunt æquales, & angulus AZH angulo BZH æqualis: baſis igitur AH [per 4. 1.] eſt æqualis baſi HB. quare centro H, intervallo autem AH, circulus deſcriptus etiam per B tranſibit. tranſeat ut AEB. Et quoniam diametro AE, ab extremitate ad rectos angulos ducta eſt AΔ, ipſa AΔ [per 16. 3.] circulum AEB continget. & à contactu qui eſt ad A ducta eſt AB: quare angulus BAΔ ei qui in alterno circuli ſegmento AΘB conſtituitur eſt æqualis. ſed BAΔ angulus æqualis eſt angulo qui ad Γ: angulus igitur qui in ſegmento AΘB angulo qui ad Γ æqualis erit. Ergo ſuper data recta linea AB deſcriptum eſt AΘB circuli ſegmentum, quod capiat angulum æqualem ei qui eſt ad Γ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ λδ'.

Ἀπὸ τοῦ δοθέντος κύκλου τμῆμα ἀφελεῖν, δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Prop. XXXIV. Probl.

A dato circulo ſegmentum abſcindere, quod capiat angulum dato angulo rectilineo æqualem.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ πρὸς τῷ Δ· δεῖ δὴ δὴ τοῦ ΑΒΓ κύκλου τμῆμα ἀφελεῖν, δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Δ γωνίᾳ.

Ἤχθω τοῦ ΑΒΓ κύκλου ἐφαπτομένη ἡ ΕΖ κατὰ τὸ Β σημεῖον, καὶ συνεστάτω πρὸς τῇ ΕΖ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β τῇ πρὸς τῷ Δ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΒΓ.



Ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ ἐφάπτεταί τις εὐθεῖα ἡ ΕΖ, καὶ ἀπὸ τῆς κατὰ τὸ Β ἁπτῆς διῆκται ἡ ΒΓ· ἡ ὑπὸ ΖΒΓ ἄρα ἴση ἐστὶ τῇ ἐν τῷ ΒΑΓ ἐναλλὰξ τμήματι συνισταμένῃ γωνίᾳ. ἀλλὰ ἡ ὑπὸ ΖΒΓ τῇ πρὸς τῷ Δ ἐστὶν ἴση· καὶ ἡ ἐν τῷ ΒΑΓ ἄρα τμήματι γωνία ἴση ἐστὶ τῇ πρὸς τῷ Δ.

Ἀπὸ τοῦ δοθέντος ἄρα κύκλου τοῦ ΑΒΓ τμῆμα ἀφῄρηται τὸ ΒΑΓ, δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ πρὸς τῷ Δ. ὅπερ ἔδει ποιῆσαι.

SIT datus circulus ABΓ, datus autem angulus rectilineus qui ad Δ: oportet à circulo ABΓ ſegmentum abſcindere, quod capiat angulum angulo qui ad Δ æqualem.

Ducatur [per 17. 3.] recta linea EZ contingens circulum ABΓ in puncto B, & ad rectam lineam ZE: & ad punctum in ea B conſtituatur [per 23. 1.] angulus ZBΓ angulo qui eſt ad Δ æqualis.

Quoniam igitur circulum ABΓ contingit recta linea EZ, & à contactu B ducta eſt BΓ, erit [per 32. 3.] angulus ZBΓ æqualis ei qui in BAΓ alterno circuli ſegmento conſtituitur. ſed ZBΓ angulus angulo qui ad Δ eſt æqualis: ergo & angulus qui in ſegmento BAΓ angulo qui ad Δ æqualis erit.

A dato igitur circulo ABΓ abſciſſum eſt ſegmentum BAΓ, quod capiat angulum dato angulo rectilineo qui eſt ad Δ æqualem. quod erat faciendum.

PROP. XXXV. THEOR.

Si in circulo duæ rectæ lineæ ſeſe mutuo ſecent, rectangulum ſub ſegmentis unius comprehenſum æquale eſt ei quod ſub alterius ſegmentis comprehenditur.

IN circulo enim ΑΒΓΔ duæ rectæ lineæ ΑΓ, ΒΔ ſeſe mutuo ſecent in puncto Ε: dico rectangulum comprehenſum ſub ΑΕ, ΕΓ æquale eſſe ei quod comprehenditur ſub ΔΕ, ΕΒ.

Si igitur ΑΓ, ΒΔ per centrum tranſeant, ita ut Ε ſit centrum circuli ΑΒΓΔ; manifeſtum eſt, æqualibus exiſtentibus ΑΕ, ΕΓ, ΔΕ, ΕΒ, & rectangulum comprehenſum ſub ΑΕ, ΕΓ æquale eſſe ei quod ſub ΔΕ, ΕΒ comprehenditur.

Rectæ autem ΑΓ, ΔΒ non tranſeant per centrum, & ſumatur [per 1. 3.] centrum circuli ΑΒΓΔ quod ſit Ζ, & à Ζ ad rectas lineas ΑΓ, ΔΒ [per 12. 1.] perpendiculares ducantur ΖΗ, ΖΘ, junganturque ΖΒ, ΖΓ, ΖΕ.



Quoniam igitur recta linea ΗΖ per centrum ducta rectam lineam ΑΓ non ductam per centrum ad rectos angulos ſecat, [per 3. 3.] & bifariam ipſam ſecabit: quare ΑΗ ipſi ΗΓ eſt æqualis. & quoniam recta linea ΑΓ ſecta eſt in partes æquales in puncto Η, & in partes inæquales in Ε, erit [per 5. 2.] rectangulum ſub ΑΕ, ΕΓ comprehenſum una cum iplius ΗΕ quadrato æquale quadrato ex ΗΓ. commune addatur ex ΗΖ quadratum: ergo rectangulum ſub ΑΕ, ΕΓ una cum iis quæ ex ΗΕ, ΗΖ quadratis æquale eſt quadratis ex ΓΗ, ΗΖ. ſed quadratis quidem ex ΕΗ, ΗΖ æquale eſt [per 47. 1.] quadratum ex ΖΕ; quadratis vero ex ΓΗ, ΗΖ æquale quod ex ΖΓ quadratum: rectangulum igitur ſub ΑΕ, ΕΓ una cum quadrato ex ΖΕ æquale eſt quadrato ex ΖΓ. eſt autem ΖΓ æqualis ΖΒ: ergo rectangulum ſub ΑΕ, ΕΓ una cum quadrato ex ΕΖ æquale eſt ei quod ex ΖΒ quadrato. eadem ratione & rectangulum ſub ΔΕ, ΕΒ una cum quadrato ex ΖΕ æquale eſt quadrato ex ΖΒ. oſtenſum autem eſt & rectangulum ſub ΑΕ, ΕΓ una cum quadrato ex ΖΕ æquale ei quod ex ΖΒ quadrato: ergo rectangulum ſub ΑΕ, ΕΓ una cum quadrato ex ΖΕ æquale eſt rectangulo ſub ΔΕ, ΕΒ una cum quadrato ex ΖΕ. commune auferatur quod ex ΖΕ quadratum: reliquum igitur rectangulum ſub ΑΕ, ΕΓ reliquo ſub ΔΕ, ΕΒ rectangulo æquale erit.

Quare ſi in circulo duæ rectæ lineæ ſeſe mutuo ſecent, rectangulum ſub ſegmentis unius

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τῆς μιᾶς τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν τῆς ἑτέρας τμημάτων περιεχομένῳ ὀρθογωνίῳ.

ΕΝ γὰρ τῷ κύκλῳ τῷ ΑΒΓΔ δύο εὐθεῖαι αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε σημεῖον· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Εἰ μὲν οὖν αἱ ΑΓ, ΒΔ διὰ τοῦ κέντρου εἰσίν, ὥστε τὸ Ε κέντρον εἶναι τοῦ ΑΒΓΔ κύκλου· φανερὸν ὅτι, ἴσων ὄντων τῶν ΑΕ, ΕΓ, ΔΕ, ΕΒ, καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐστωσαν δὴ αἱ ΑΓ, ΔΒ μὴ διὰ τοῦ κέντρου, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓΔ, καὶ ἔστω τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὰς ΑΓ, ΔΒ εὐθείας κάθετοι ἤχθωσαν αἱ ΖΗ, ΖΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΓ, ΖΕ.



Καὶ ἐπεὶ εὐθεία τις διὰ τοῦ κέντρου ἡ ΗΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τεμεῖ· ἴση ἄρα ἡ ΑΗ τῇ ΗΓ. ἐπεὶ οὖν εὐθεῖα ἡ ΑΓ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Η, εἰς δὲ ἄνισα κατὰ τὸ Ε, τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΗΕ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΗΓ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΗΖ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τῶν ἀπὸ τῶν ΗΕ, ΗΖ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΓΗ, ΗΖ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΕΗ, ΗΖ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΕ, τοῖς δὲ ἀπὸ τῶν ΓΗ, ΗΖ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΓ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ὑπὸ τῶν ΔΕ, ΕΒ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ. ἐδείχθη δὲ ὅτι καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΖΕ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐὰν ἄρα ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τῆς μιᾶς τμημάτων περιεχόμενον

μένου ὀρθογωνίου ἴσον ἐστὶ τῷ ἀπὸ τῶν τῆ ἑτέρας τμημάτων περιεχομένῳ ὀρθογωνίῳ. ὅπερ ἔδει δεῖξαι.

comprehenſum æquale eſt ei quod ſub alterius ſegmentis comprehenditur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτὸς, καὶ ἀπ' αὐτοῦ πρὸς τὸν κύκλον προσπίπτωσιν δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ ἐφάπτηται· ἔσται τὸ ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας περιεχόμενον ὀρθογώνιον ἴσον τῷ ἀπὸ τῆς ἐφαπτομένης τετραγώνῳ.

Prop. XXXVI. Theor.

Si extra circulum aliquod punctum ſumatur, & ab eo in circulum cadant duæ rectæ lineæ, quarum altera circulum ſecet, altera vero contingat; rectangulum, comprehenſum ſub tota ſecante & exteriore ſegmento inter punctum & convexam circumferentiam, æquale erit ei quod à contingente fit quadrato.

Κύκλου γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσπιπτέτωσαν δύο εὐθεῖαι αἱ ΔΓΑ, ΔΒ, καὶ ἡ μὲν ΔΓΑ τεμνέτω τὸν ΑΒΓ κύκλον, ἡ δὲ ΔΒ ἐφαπτέσθω· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ τετραγώνῳ. ἡ ΔΓΑ ἤτοι διὰ τοῦ κέντρου ἐστὶν, ἢ οὔ.

Ἐχέτω πρότερον διὰ τοῦ κέντρου, καὶ ἔστω τὸ Ζ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἐπεζεύχθω ἡ ΖΒ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΒΔ. καὶ ἐπεὶ εὐθεῖα ἡ ΑΓ δίχα τέτμηται κατὰ τὸ Ζ, πρόσκειται δὲ αὐτῇ ἡ ΓΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΔ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΖΒ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ ἐφαπτομένης.



Ἀλλὰ δὴ ἡ ΔΓΑ μὴ ἔστω διὰ τοῦ κέντρου τοῦ ΑΒΓ κύκλου, καὶ εἰλήφθω τὸ κέντρον τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΓ κάθετος ἤχθω ἡ ΕΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΒ, ΕΓ, ΕΔ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΕΖΔ. καὶ ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΕΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τεμεῖ· ἡ ΑΖ ἄρα τῇ ΖΓ ἐστὶν ἴση. καὶ ἐπεὶ εὐθεῖα ἡ ΑΓ τέτμηται δίχα κατὰ τὸ Ζ, πρόσκειται δὲ αὐτῇ ἡ ΓΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. κοινὸν πρόσ-

Extra circulum enim ΑΒΓ ſumatur aliquod punctum Δ, & ab eo ad dictum circulum cadant duæ rectæ lineæ ΔΓΑ, ΔΒ; & ΔΓΑ quidem circulum ΑΒΓ ſecet; ΔΒ vero contingat: dico rectangulum ſub ΑΔ, ΔΓ æquale eſſe quadrato quod fit ex ΔΒ. vel igitur ΔΓΑ per centrum tranſit, vel non.

Tranſeat primum per centrum circuli ΑΒΓ, quod ſit Ζ, & jungatur ΖΒ: erit igitur [per 18. 3.] angulus ΖΒΔ rectus. itaque, quoniam recta linea ΑΓ bifariam ſecta eſt in Ζ & ipſi adjicitur ΓΔ, rectangulum ſub ΑΔ, ΔΓ una cum quadrato ex ΖΓ æquale erit [per 6. 2.] ei quod fit ex ΖΔ quadrato. æqualis autem eſt ΖΓ ipſi ΖΒ: ergo rectangulum ſub ΑΔ, ΔΓ una cum quadrato ex ΖΒ æquale eſt quadrato ex ΖΔ. ſed quadratum ex ΖΔ [per 47. 1.] eſt æquale quadratis ipſarum ΖΒ, ΒΔ, rectus enim eſt angulus ΖΒΔ: rectangulum igitur ſub ΑΔ, ΔΓ una cum quadrato ex ΖΒ æquale eſt ipſarum ΖΒ, ΒΔ quadratis. commune auferatur quadratum ex ΖΒ: ergo reliquum ſub ΑΔ, ΔΓ rectangulum æquale erit quadrato quod fit à contingente ΔΒ.



Sed ΔΓΑ non tranſeat per centrum circuli ΑΒΓ, ſumaturque centrum Ε, & ab ipſo Ε ad ΑΓ [per 12. 1.] perpendicularis agatur ΕΖ, & jungantur ΕΒ, ΕΓ, ΕΔ: rectus igitur eſt ΕΖΔ angulus. & quoniam recta linea ΕΖ per centrum ducta rectam lineam ΑΓ non ductam per centrum ad rectos angulos ſecat, [per 3. 3.] & bifariam ipſam ſecabit: quare ΑΖ ipſi ΖΓ eſt æqualis. rurſus, quoniam recta linea ΑΓ bifariam ſecta eſt in Ζ atque ipſi adjicitur ΓΔ, erit [per 6. 2.] rectangulum ſub ΑΔ, ΔΓ una cum quadrato ex ΖΓ æquale quadrato ex ΖΔ. com-

mune

mune addatur ex ZE quadratum: rectangulum igitur ſub AΔ, ΔΓ una cum quadratis ex ΓZ, ZE eſt æquale quadratis ex ΔZ, ZE. ſed quadratis quidem ex ΔZ, ZE æquale eſt [per 47. 1.] ex ΔE quadratum, etenim rectus eſt angulus EZΔ; quadratis vero ex ΓZ, ZE æquale eſt quadratum ex ΓE: ergo rectangulum ſub AΔ, ΔΓ una cum quadrato ex ΓE eſt æquale quadrato ex EΔ. æqualis autem eſt ΓE ipſi EB: rectangulum igitur ſub AΔ, ΔΓ una cum quadrato ex EB æquale eſt ei quod ex EΔ fit quadrato. ſed quadrato ex EΔ æqualia ſunt [per 47. 1.] quadrata ex EB, BΔ, ſiquidem rectus eſt angulus EBΔ: ergo rectangulum ſub AΔ, ΔΓ una cum quadrato ex EB æquale eſt eis quæ ex EB, BΔ fiunt quadratis. commune auferatur quadratum ex EB: reliquum igitur ſub AΔ, ΔΓ rectangulum quadrato quod fit ex ΔB æquale erit.



Si igitur extra circulum aliquod punctum ſumatur, & quæ ſequuntur. quod erat demonſtrandum.

PROP. XXXVII. THEOR.

Si extra circulum ſumatur aliquod punctum, atque ab eo in circulum cadant duæ rectæ lineæ, quarum altera quidem circulum ſecet, altera vero in eum incidat, ſit autem rectangulum comprehenſum ſub tota ſecante & exteriore ſegmento inter punctum & convexam circumferentiam æquale ei quod ab incidente fit quadrato; incidens linea circulum continget.

EXtra circulum enim ABΓ ſumatur aliquod punctum Δ, atque à puncto Δ in circulum ABΓ cadant duæ rectæ lineæ ΔΓA, ΔB, & ΔΓA quidem circulum ſecet, ΔB vero in illum incidat, ſitque rectangulum ſub AΔ, ΔΓ æquale quadrato quod fit ex ΔB: dico ipſam ΔB circulum ABΓ contingere.

Ducatur enim [per 17. 3.] recta linea ΔE contingens circulum ABΓ, & ſumatur [per 1. 3.] circuli ABΓ centrum quod ſit Z, jungunturque ZE, ZB, ZΔ: ergo [per 18. 3.] angulus ZEΔ rectus eſt.

Et quoniam ΔE circulum ABΓ contingit, ſecat autem ΔΓA, rectangulum ſub AΔ, ΔΓ æquale erit [per 36. 3.] quadrato ex ΔE. ſed rectangulum ſub AΔ, ΔΓ ponitur æquale quadrato ex ΔB: quadratum igitur

ΠΡΟΤΑΣΙΣ λζ'.

Ἐὰν κύκλου λαφθῇ τι σημεῖον ἐκτὸς, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ προσπίπτῃ, ἐὰν δὲ τὸ ὑπὸ τῆς ὅλης τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τοῦ κυρτοῦ περιφερείας ἴσον τῷ ἀπὸ τῆς προσπιπτούσης· ἡ προσπίπτουσα ἐφάψεται τοῦ κύκλου.

Κύκλου γὰρ τοῦ ABΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν ABΓ κύκλον προσπιπτέτωσαν δύο εὐθεῖαι αἱ ΔΓA, ΔB, καὶ ἡ μὲν ΔΓA τεμνέτω τὸν κύκλον, ἡ δὲ ΔB προσπιπτέτω, ἔστω δὲ τὸ ὑπὸ τῶν AΔ, ΔΓ ἴσον τῷ ἀπὸ τῆς ΔB· λέγω ὅτι ἡ ΔB ἐφάπτεται τοῦ ABΓ κύκλου.

Ἤχθω γὰρ τοῦ ABΓ ἐφαπτομένη ἡ ΔE, καὶ εἰλήφθω τὸ Z κέντρον τοῦ ABΓ κύκλου, καὶ ἐπεζεύχθωσαν αἱ ZE, ZB, ZΔ· ἡ ἄρα ὑπὸ ZEΔ ὀρθή ἐστι.

Καὶ ἐπεὶ ἡ ΔE ἐφάπτεται τοῦ ABΓ κύκλου, τέμνει δὲ ἡ ΔΓA· τὸ ἄρα ὑπὸ τῶν AΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔE. ὑπόκειται δὲ τὸ ὑπὸ τῶν AΔ, ΔΓ ἴσον τῷ ἀπὸ τῆς ΔB· τὸ ἄρα ἀπὸ τῆς



ΔE

ΔE ἴση τῷ ἀπὸ τῆς ΔB· ἴση ἄρα ἡ ΔE τῇ ΔB. ἔστι δὲ καὶ ἡ ZE τῇ ZB ἴση, δύο δὴ αἱ ΔE, EZ δυσὶ ταῖς ΔB, BZ ἴσαι εἰσὶ, καὶ βάσις αὐτῶν κοινὴ ἡ ZΔ· γωνία ἄρα ἡ ὑπὸ ΔEZ γωνίᾳ τῇ ὑπὸ ΔBZ ἐστὶν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΔEZ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΔBZ. ἡ ἄρα ΔB ἐφάπτεται τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δειχθήσεται καὶ ἐὰν τὸ κέντρον ἐπὶ τῆς ΑΓ τυγχάνῃ.



ex Δ E quadrato ex Δ B æquale erit, ac propterea linea Δ E ipſi Δ B æqualis. eſt autem & Z E æqualis Z B: duæ igitur Δ E, E Z duabus Δ B, B Z ſunt æquales, & baſis ipſarum communis Z Δ: angulus igitur Δ E Z [per 8. 1.] eſt æqualis angulo Δ B Z. rectus autem eſt Δ E Z: ergo & Δ B Z eſt rectus. atque Z B producta eſt diameter: quæ vero diametro circuli ad rectos angulos ab extremitate ducitur [per 16. 3.] contingit circulum A B Γ. ſimiliter etiam demonſtrabitur ſi centrum ſit in ipſa A Γ.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτὸς, καὶ ἀπ' αὐτοῦ ἐπὶ τὸν κύκλον προσπίπτωσιν εὐθεῖαι δύο, ὧν ἡ μία διὰ τοῦ κέντρου ἐστὶ, καὶ ἡ ἑτέρα μηδὲν αὐτῆς· ἐὰν ἄρα ἡ ἐπιζευγνύουσα τὰ ἀπὸ τοῦ κύκλου προσπίπτουσαι ἐφάπτηται τοῦ κύκλου. ὅπερ ἔδει δεῖξαι.

Si igitur extra circulum ſumatur aliquod punctum, & quæ ſequuntur, quod erat demonſtrandum.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

EUCLIDIS
ELEMENTORUM
LIBER QUARTUS.

DEFINITIONES.

1. FIGURA rectilinea in figura rectilinea inſcribi dicitur, quando unuſquiſque figuræ inſcriptæ angulus contingit unumquodque latus ejus in qua inſcribitur.

2. Figura ſimiliter circa figuram circumſcribi dicitur, quando unumquodque latus circumſcriptæ contingit unumquemque angulum ejus circa quam circumſcribitur.

3. Figura rectilinea in circulo inſcribi dicitur, quando unuſquiſque inſcriptæ figuræ angulus circuli circumferentiam contingit.

4. Figura rectilinea circa circulum circumſcribi dicitur, quando unumquodque latus circumſcriptæ circuli circumferentiam contingit.

5. Circulus ſimiliter in figura rectilinea inſcribi dicitur, quando circuli circumferentia unumquodque latus ejus in qua inſcribitur contingit.

6. Circulus circa figuram rectilineam circumſcribi dicitur, quando circuli circumferentia unumquemque angulum ejus circa quam circumſcribitur contingit.

7. Recta linea in circulo aptari dicitur, quando ejus termini in circuli circumferentia fuerint.

ΟΡΟΙ.

α'. ΣΧΗΜΑ εὐθύγραμμον εἰς σχῆμα εὐθύγραμμον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη τῶν ἐγγραφομένου σχήματος γωνιῶν ἑκάστης πλευρᾶς τοῦ εἰς ὃ ἐγγράφεται ἅπτηται.

β. Σχῆμα δὲ ὁμοίως δεῖ σχῆμα περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τοῦ περιγραφομένου ἑκάστης γωνίας τοῦ δεῖ ὃ περιγράφεται ἅπτηται.

γ'. Σχῆμα δὲ εὐθύγραμμον εἰς κύκλον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη γωνία τοῦ ἐγγραφομένου ἅπτηται τῆς τοῦ κύκλου περιφερείας.

δ'. Σχῆμα δὲ εὐθύγραμμον περὶ κύκλον περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τῆς τοῦ κύκλου περιφερείας τοῦ περιγραφομένου ἐφάπτηται.

ε'. Κύκλος δὲ ὁμοίως εἰς σχῆμα λέγεται ἐγγράφεσθαι, ὅταν ἡ τοῦ κύκλου περιφέρεια ἑκάστης πλευρᾶς τοῦ εἰς ὃ ἐγγράφεται ἅπτηται.

ϛ'. Κύκλος δὲ περὶ σχῆμα περιγράφεσθαι λέγεται, ὅταν ἡ τοῦ κύκλου περιφέρεια ἑκάστης γωνίας τοῦ περὶ ὃ περιγράφεται ἅπτηται.

ζ'. Εὐθεῖα εἰς κύκλον ἐναρμόζεσθαι λέγεται, ὅταν τὰ πέρατα αὐτῆς ὦσι ἐπὶ τῆς περιφερείας τοῦ κύκλου.

ΠΡΟΤΑΣΙΣ α'.

Εἰς τὸ δοθὲν κύκλον τῇ δοθείσῃ εὐθείᾳ, μὴ μείζονι οὔσῃ τῆς τοῦ κύκλου διαμέτρου, ἴσην εὐθεῖαν ἐναρμόσαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα εὐθεῖα μὴ μείζων τῆς τοῦ κύκλου διαμέτρου ἡ Δ· δεῖ δὴ εἰς τὸν ΑΒΓ κύκλον τῇ Δ εὐθείᾳ ἴσην εὐθεῖαν ἐναρμόσαι.

Ἤχθω τοῦ ΑΒΓ κύκλου διάμετρος ἡ ΒΓ. εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ΒΓ τῇ Δ, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν. ἐναρμόσαι γὰρ εἰς τὸν ΑΒΓ κύκλον τῇ Δ εὐθείᾳ ἴσην ἡ ΒΓ. εἰ δὲ οὔ, μείζων ἐστὶν ἡ ΒΓ τῆς Δ, καὶ κείσθω τῇ Δ ἴση ἡ ΓΕ, καὶ κέντρῳ μὲν τῷ Γ διαστήματι δὲ τῷ ΓΕ κύκλος γεγράφθω ὁ ΑΕΖ, καὶ ἐπεζεύχθω ἡ ΓΑ.



Ἐπεὶ οὖν τὸ Γ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΕΖ κύκλου, ἴση ἐστὶν ἡ ΓΑ τῇ ΓΕ. ἀλλὰ ἡ Δ τῇ ΓΕ ἐστὶν ἴση· καὶ ἡ Δ ἄρα τῇ ΓΑ ἐστὶν ἴση.

Εἰς ἄρα τὸν δοθέντα κύκλον τὸν ΑΒΓ, τῇ δοθείσῃ εὐθείᾳ, μὴ μείζονι οὔσῃ τῆς τοῦ κύκλου διαμέτρου, τῇ Δ, ἴση ἐναρμόσαι ἡ ΓΑ. ὅπερ ἔδει ποιῆσαι.

Propositio I. Problema.

In dato circulo datæ rectæ lineæ, quæ diametro ejus major non ſit, æqualem rectam lineam aptare.

SIT datus circulus ABΓ, data autem recta linea Δ non major circuli diametro: oportet in circulo ABΓ rectæ lineæ Δ æqualem rectam lineam aptare.

Ducatur circuli ABΓ diameter BΓ. ſi igitur BΓ ſit æqualis ipſi Δ, factum jam erit quod proponebatur. etenim in circulo ABΓ aptata eſt BΓ rectæ lineæ Δ æqualis. ſin minus, major eſt BΓ quam Δ, ponaturque [per 3. 1.] ipſi Δ æqualis ΓE, & centro quidem Γ intervallo autem ΓE [per 3. poſt.] circulus deſcribatur AEZ, & [per 1. poſt.] ΓA jungatur.

Itaque quoniam punctum Γ centrum eſt AEZ circuli, erit ΓA ipſi ΓE æqualis. ſed Δ eſt æqualis rectæ ΓE: ergo & Δ ipſi ΓA æqualis erit.

In dato igitur circulo ABΓ, datæ rectæ lineæ Δ, non majore circuli diametro, æqualis aptata eſt ΓA. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ β'.

Εἰς τὸν δοθέντα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔΕΖ· δεῖ δὴ εἰς τὸν ΑΒΓ κύκλον τῷ ΔΕΖ τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγράψαι.

Ἤχθω τοῦ ΑΒΓ κύκλου ἐφαπτομένη ἡ ΗΑΘ κατὰ τὸ Α, καὶ συνεστάτω πρὸς μὲν τῇ ΑΘ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΔΕΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΘΑΓ· πρὸς δὲ τῇ ΗΑ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΖΔΕ γωνίᾳ ἴση ἡ ὑπὸ ΗΑΒ, καὶ ἐπεζεύχθω ἡ ΒΓ.



Ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ ἐφάπτεταί τις εὐθεῖα ἡ ΘΑΗ, ἀπὸ δὲ τῆς ἁφῆς διῆκταί τις ἡ ΑΓ· ἡ ἄρα ὑπὸ ΘΑΓ ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ, τῇ ὑπὸ ΑΒΓ. ἀλλὰ ἡ ὑπὸ ΘΑΓ τῇ ὑπὸ ΔΕΖ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ΑΒΓ ἄρα γωνία τῇ ὑπὸ ΖΕΔ ἐστὶν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΖΔΕ ἐστὶν ἴση, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΑΓ λοιπῇ τῇ ὑπὸ ΕΖΔ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, καὶ ἐγγέγραπται εἰς τὸν ΑΒΓ κύκλον.

Prop. II. Probl.

In dato circulo inſcribere triangulum, æquiangulum dato triangulo.

SIT datus circulus ABΓ, datum autem triangulum ΔEZ: oportet in circulo ABΓ inſcribere triangulum, triangulo ΔEZ æquiangulum.

Ducatur recta linea HAΘ contingens circulum ABΓ in puncto A, & ad rectam lineam AΘ & ad punctum in ea A conſtituatur [per 23. 1.] angulus ΘAΓ æqualis angulo ΔEZ: rurſus, ad rectam lineam HA & ad punctum in ipſa A conſtituatur angulus HAB æqualis angulo ZΔE, & BΓ jungatur.

Quoniam igitur circulum ABΓ contingit recta ΘAH, à contactu autem ducta eſt AΓ, ΘAΓ angulus [per 32. 3.] æqualis ei qui in alterno circuli ſegmento conſiſtit, videlicet ipſi ABΓ. ſed ΘAΓ angulus æqualis eſt angulo ΔEZ: ergo & angulus ABΓ angulo ΔEZ eſt æqualis. eadem ratione & angulus AΓB eſt æqualis angulo ZΔE: reliquus igitur BAΓ angulus reliquo EZΔ [per 32. 1.] æqualis erit: ergo triangulum ABΓ triangulo ΔEZ eſt æquiangulum, & inſcriptum eſt [per 3. def. 4.] in circulo ABΓ.

In dato igitur circulo inſcriptum eſt triangulum æquiangulum dato triangulo. quod erat faciendum.

PROP. III. PROBL.

Circa datum circulum circumſcribere triangulum, æquiangulum dato triangulo.

SIT datus circulus ABΓ, datum autem triangulum ΔEZ: oportet circa circulum ABΓ circumſcribere triangulum, æquiangulum triangulo ΔEZ.

Protrahatur [per 2. poſt.] EZ ex utraque parte ad puncta Θ, H, & ſumatur [per 1. 3.] circuli ABΓ centrum K, & recta linea KB utcunque ducatur, conſtituaturque [per 23. 1.] ad lineam KB & ad punctum in ea K angulus BKA æqualis angulo ΔEH, angulo autem ΔZΘ æqualis angulus BKΓ, & per A, B, Γ puncta ducantur [per 17. 3.] rectæ lineæ ΛAM, MBN, NΓΛ circulum ABΓ contingentes.



Quoniam igitur circulum ABΓ contingunt ΛM, MN, NΛ in punctis A, B, Γ, à centro autem K ad puncta A, B, Γ ducuntur rectæ KA, KB, KΓ; erunt [per 18. 3.] anguli ad puncta A, B, Γ recti. & quoniam quadrilateri AMBK anguli quatuor [per 32. 1.] quatuor rectis ſunt æquales (enim in duo triangula dividitur quadrilaterum AMBK) è quibus anguli KAM, KBM ſunt recti; erunt reliqui AKB, AMB duobus rectis æquales. ſunt autem [per 13. 1.] & ΔEH, ΔEZ æquales duobus rectis: anguli igitur AKB, AMB angulis ΔEH, ΔEZ ſunt æquales, è quibus AKB ipſi ΔEH eſt æqualis: ergo reliquus AMB reliquo ΔEZ æqualis erit. ſimiliter demonſtrabitur angulus ΛNM ipſi ΔZE æqualis: ergo & reliquus MΛN [per 32. 1.] eſt æqualis reliquo EΔZ. eſt igitur ΛMN triangulum æquiangulum triangulo ΔEZ, & [per 4. def. 4.] circumſcribitur circa circulum ABΓ.

Circa datum igitur circulum circumſcriptum eſt triangulum, æquiangulum dato triangulo. quod erat faciendum.

PROP. IV. PROBL.

In dato triangulo circulum inſcribere.

SIT datum triangulum ABΓ: oportet in triangulo ABΓ circulum inſcribere.

Secentur [per 9. 1.] anguli ABΓ, BΓA bifariam à rectis lineis BΔ, ΓΔ, quæ conveniant inter ſe in puncto Δ, & à puncto Δ ad rectas lineas AB, BΓ, ΓA [per 12. 1.] perpendiculares ducantur ΔE, ΔZ, ΔH.

Εἰς τὸ δοθὲν ἄρα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ γ'.

Περὶ τὸν δοθέντα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον περιγράψαι.

ΕΣτω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔΕΖ· δεῖ δὴ περὶ τὸν ΑΒΓ κύκλον τῷ ΔΕΖ τριγώνῳ ἰσογώνιον τρίγωνον περιγράψαι.

Ἐκβεβλήθω ἑφ' ἑκάτερα τὰ μέρη ἡ ΕΖ ἐπὶ τὰ Θ, Η σημεῖα, καὶ εἰλήφθω τὸ ΑΒΓ κύκλου κέντρον τὸ Κ, καὶ διήχθω ὡς ἔτυχεν εὐθεῖα ἡ ΚΒ, καὶ συνεστάτω πρὸς τῇ ΚΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Κ τῇ μὲν ὑπὸ ΔΕΗ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΚΑ, τῇ δὲ ὑπὸ ΔΖΘ ἴση ἡ ὑπὸ ΒΚΓ, καὶ διὰ τῶν Α, Β, Γ σημείων ἤχθωσαν ἐφαπτόμεναι τοῦ ΑΒΓ κύκλου αἱ ΛΑΜ, ΜΒΝ, ΝΓΛ.

Καὶ ἐπεὶ ἐφάπτεται τοῦ ΑΒΓ κύκλου αἱ ΛΜ, ΜΝ, ΝΛ κατὰ τὰ Α, Β, Γ, ἀπὸ δὲ τοῦ Κ κέντρου ἐπὶ τὰ Α, Β, Γ σημεῖα ἐπιζευγνύμεναί εἰσιν αἱ ΚΑ, ΚΒ, ΚΓ· ὀρθαὶ ἄρα εἰσὶν αἱ πρὸς τοῖς Α, Β, Γ σημείοις γωνίαι. καὶ ἐπεὶ τοῦ ΑΜΒΚ τετραπλεύρου αἱ τέσσαρες γωνίαι τέτρασιν ὀρθαῖς ἴσαι εἰσὶν (ἐπεὶ διπλᾶ καὶ εἰς δύο τρίγωνα διαιρεῖται τὸ ΑΜΒΚ τετράπλευρον) ὧν αἱ ὑπὸ ΚΑΜ, ΚΒΜ γωνίαι δύο ὀρθαῖς εἰσιν· λοιπαὶ ἄρα αἱ ὑπὸ ΑΚΒ, ΑΜΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΔΕΗ, ΔΕΖ δυσὶν ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ ΑΚΒ, ΑΜΒ ταῖς ὑπὸ ΔΕΗ, ΔΕΖ ἴσαι εἰσίν, ὧν ἡ ὑπὸ ΑΚΒ τῇ ὑπὸ ΔΕΗ ἐστιν ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΜΒ λοιπῇ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ὑπὸ ΛΝΜ τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΜΛΝ λοιπῇ τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΛΜΝ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, καὶ περιγέγραπται περὶ τὸν ΑΒΓ κύκλον.

Περὶ τὸν δοθέντα ἄρα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ δ'.

Εἰς τὸ δοθὲν τρίγωνον κύκλον ἐγγράψαι.

ΕΣτω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ· δεῖ δὴ εἰς τὸ ΑΒΓ τρίγωνον κύκλον ἐγγράψαι.

Τετμήσθωσαν αἱ ὑπὸ ΑΒΓ, ΒΓΑ γωνίαι δίχα ταῖς ΒΔ, ΓΔ εὐθείαις, καὶ συμβαλλέτωσαν ἀπ' ἀλλήλων κατὰ τὸ Δ σημεῖον, καὶ ἤχθωσαν ἀπὸ τοῦ Δ ἐπὶ τὰς ΑΒ, ΒΓ, ΓΑ εὐθείας κάθετοι αἱ ΔΕ, ΔΖ, ΔΗ.

Καὶ

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΔ γωνία τῇ ὑπὸ ΓΒΔ, δίχα γὰρ τέτμηται ἡ ὑπὸ ΑΒΓ, ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΕΔ ὀρθὴ τῇ ὑπὸ ΒΖΔ ἴση· δύο δὴ τρίγωνά ἐστι τὰ ΕΒΔ, ΔΒΖ, τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν κοινὴν αὐτῶν τὴν ΒΔ, καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· ἴση ἄρα ἡ ΔΕ τῇ ΔΖ. Διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΔΗ τῇ ΔΖ ἐστὶν ἴση· ὁ ἄρα κέντρῳ μὲν τῷ Δ διαστήματι δὲ ἑνὶ τῶν ΔΕ, ΔΖ, ΔΗ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἐφάψεται τῶν ΑΒ, ΒΓ, ΓΑ εὐθειῶν, διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς Ε, Ζ, Η σημείοις γωνίας. εἰ γὰρ τεμεῖ αὐτάς, ἔσται ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐντὸς πεσεῖται τοῦ κύκλου, ὅπερ ἄτοπον· οὐκ ἄρα ὁ κέντρῳ μὲν τῷ Δ διαστήματι δὲ ἑνὶ τῶν ΔΕ, ΔΖ, ΔΗ γραφόμενος κύκλος τεμνει τὰς ΑΒ, ΒΓ, ΓΑ εὐθείας· ἐφάψεται ἄρα αὐτῶν, καὶ ἔσται κύκλος ἐγγεγραμμένος εἰς τὸ ΑΒΓ τρίγωνον.

Εἰς ἄρα τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ κύκλος ἐγγέγραπται ὁ ΕΖΗ. ὅπερ ἔδει ποιῆσαι.



Et quoniam angulus ABΔ eſt æqualis angulo ΓBΔ, bifariam enim ſectus eſt angulus ABΓ; eſtque etiam BEΔ rectus æqualis recto BZΔ; erunt EBΔ, ΔBZ duo triangula habentia duos angulos duobus angulis æquales & unum latus uni lateri æquale & utrique commune BΔ, quod ſcilicet uni æqualium angulorum ſubtenditur: ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt, eritque ΔE æqualis ΔZ. eadem ratione erit etiam ΔH æqualis ΔZ: quare centro Δ intervallo autem æquali uni ipſarum ΔE, ΔZ, ΔH circulus deſcriptus etiam per reliqua tranſibit puncta, & rectas lineas AB, BΓ, ΓA continget; propterea quod recti ſunt ad E, Z, H anguli. ſi enim ipſas ſecet, quæ diametro circuli ad rectos angulos ab extremitate ducitur intra circulum cadet, quod [per 16. 3.] eſt abſurdum: circulus igitur centro Δ intervallo autem æquali uni ipſarum ΔE, ΔZ, ΔH deſcriptus non ſecabit rectas lineas AB, BΓ, ΓA: quare ipſas continget, atque circulus erit [per 5. def. 4.] inſcriptus in triangulo ABΓ.

In dato igitur triangulo ABΓ inſcriptus eſt circulus EZH. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ε'.

Περὶ τὸ δοθὲν τρίγωνον κύκλον περιγράψαι.

PROP. V. PROBL.

Circa datum triangulum circulum circumſcribere.

Ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ· δεῖ δὴ περὶ τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ κύκλον περιγράψαι.

Τετμήθωσαν αἱ ΑΒ, ΑΓ δίχα κατὰ τὰ Δ, Ε σημεῖα, καὶ ἀπὸ τῶν Δ, Ε σημείων τῇ ΑΒ, ΑΓ πρὸς ὀρθὰς ἤχθωσαν αἱ ΔΖ, ΕΖ· συμπεσοῦνται δὴ ἤτοι ἐντὸς τοῦ ΑΒΓ τριγώνου, ἢ ἐπὶ τῆς ΒΓ εὐθείας, ἢ ἐκτὸς *τῆς ΒΓ.

Συμπιπτέτωσαν πρότερον ἐντὸς κατὰ τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΖ, ΖΓ, ΖΑ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΒ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΔΖ· βάσις ἄρα ἡ ΑΖ βάσει τῇ ΖΒ ἴση ἐστίν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ΓΖ τῇ ΖΑ ἐστὶν ἴση, ὥστε καὶ ἡ ΒΖ τῇ ΖΓ ἴση· αἱ τρεῖς ἄρα αἱ ΖΑ, ΖΒ, ΖΓ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν ΖΑ, ΖΒ, ΖΓ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος ὁ κύκλος περὶ τὸ ΑΒΓ τρίγωνον. καὶ περιγεγράφθω ὡς ὁ ΑΒΓ.



SIT datum triangulum ABΓ: oportet circa datum triangulum ABΓ circulum circumſcribere.

Secentur AB, AΓ [per 10. 1.] bifariam in Δ, E punctis, & à punctis Δ, E ipſis AB, AΓ [per 11. 1.] ad rectos angulos ducantur ΔZ, EZ; quæ vel intra triangulum ABΓ conveniant, vel in recta linea BΓ, vel extra triangulum ABΓ.

Conveniant primum intra triangulum in puncto Z; & BZ, ZΓ, ZA jungantur. quoniam igitur AΔ eſt æqualis ΔB, communis autem & ad rectos angulos ΔZ; erit [per 4. 1.] baſis AZ baſi ZB æqualis. ſimiliter oſtendetur & ΓZ æqualis ZA: ergo & BZ eſt æqualis ZΓ: tres igitur ZA, ZB, ZΓ inter ſe ſunt æquales. quare centro Z, intervallo autem æquali uni ipſarum ZA, ZB, ZΓ circulus deſcriptus etiam per reliqua puncta tranſibit: atque erit [per 6. def. 4.] circulus circumſcriptus circa triangulum ABΓ. circumſcribatur igitur ut ABΓ.

*Legimus τῷ ΑΒΓ τριγώνῳ.

Sed Δ Z, E Z conveniant in recta linea B Γ, in puncto Z, ut in ſecunda figura, & A Z jungatur. ſimiliter demonſtrabimus punctum Z centrum eſſe circuli circa triangulum A B Γ circumſcripti.



Poſtremo Δ Z, E Z conveniant extra triangulum A B Γ rurſus in Z puncto, ut in tertia figura; & jungantur A Z, Z B, Z Γ. & quoniam A Δ eſt æqualis Δ B, communis autem & ad rectos angulos Δ Z; baſis A Z [per 4. 1.] baſi Z B æqualis erit. ſimiliter demonſtrabimus & Γ Z ipſi Z A æqualem eſſe; quare & B Z eſt æqualis Z Γ; rurſus igitur centro Z, intervallo autem æquali uni ipſarum Z A, Z B, Z Γ circulus deſcriptus etiam per reliqua tranſibit puncta; atque erit circa triangulum A B Γ circumſcriptus. deſcribatur igitur ut A B Γ.



Circa datum igitur triangulum circulus eſt circumſcriptus. quod erat faciendum.

Corollarium.

Et manifeſtum eſt, quod, ſi centrum circuli intra triangulum ceciderit, angulus B A Γ exiſtens in ſegmento ſemicirculo majore minor eſt recto: ſi autem ceciderit in recta linea B Γ, angulus in ſemicirculo rectus erit: & ſi extra triangulum A B Γ, angulus in ſegmento minore ſemicirculo erit major recto. Quare ſi datum triangulum ſit oxygonium, Δ Z, E Z intra triangulum convenient: ſin in eo ſit angulus rectus B A Γ, in ipſa B Γ: & ſi ſit major recto, extra A B Γ.

Ἀλλὰ δὴ αἱ Δ Z, E Z συμπιπτέτωσαν ἐπὶ τὰ B Γ εὐθείας κατὰ τὸ Z, ὡς ἔχει ἐπὶ τῆς δευτέρας καταγραφῆς, καὶ ἐπεζεύχθω ἡ A Z. ὁμοίως δὴ δείξομεν ὅτι τὸ Z σημεῖον κέντρον ἐστὶ τοῦ περὶ τὸ A B Γ τρίγωνον περιγραφομένου κύκλου.

Ἀλλὰ δὴ αἱ Δ Z, E Z συμπιπτέτωσαν ἐκτὸς τοῦ A B Γ τριγώνου, κατὰ τὸ Z πάλιν, ὡς ἔχει ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ ἐπεζεύχθωσαν αἱ A Z, Z B, Z Γ. καὶ ἐπεὶ πάλιν ἴση ἐστὶν ἡ A Δ τῇ Δ B, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ Δ Z· βάσις ἄρα ἡ A Z βάσει τῇ Z B ἐστὶν ἴση. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ Γ Z τῇ Z A ἐστὶν ἴση, ὥστε καὶ ἡ B Z τῇ Z Γ ἴση· ὁ ἄρα πάλιν κέντρῳ τῷ Z διαστήματι δὲ ἑνὶ τῶν Z A, Z B, Z Γ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγραφόμενος περὶ τὸ A B Γ τρίγωνον. καὶ γεγράφθω ὡς ὁ A B Γ.

Περὶ τὸ δοθὲν ἄρα τρίγωνον κύκλος περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

Πόρισμα.

Καὶ φανερὸν, ὅτι, ὅταν μὲν ἐντὸς τοῦ τριγώνου πίπτῃ τὸ κέντρον τοῦ κύκλου, ἡ ὑπὸ B A Γ γωνία, ἐν μείζονι τμήματι τοῦ ἡμικυκλίου τυγχάνουσα, ἐλάττων ἐστὶν ὀρθῆς· ὅταν δὲ ἐπὶ τῆς B Γ, ἐν ἡμικυκλίου τυγχάνουσα, ὀρθὴ ἔσται· ὅταν δὲ ἐκτὸς * τῆς B Γ εὐθείας τὸ κέντρον πίπτῃ, ἡ ὑπὸ B A Γ, ἐν ἐλάττονι τμήματι ἡμικυκλίου τυγχάνουσα, μείζων ἐστὶν ὀρθῆς. ὅτε δὲ ὅταν † ἐλάττων ὀρθῆς τυγχάνῃ ἡ διδομένη γωνία, ἐντὸς τοῦ τριγώνου συμπεσοῦνται αἱ Δ Z, E Z· ὅταν μὲν ὀρθὴ, ἐπὶ τῆς B Γ· ὅταν δὲ μείζων ὀρθῆς, ἐκτὸς τῆς B Γ.

Prop. VI. Probl.

ΠΡΟΤΑΣΙΣ ϛ'.

In dato circulo quadratum inſcribere.

Εἰς τὸν δοθέντα κύκλον τετράγωνον ἐγγράψαι.

SIT datus circulus A B Γ Δ: oportet in circulo A B Γ Δ quadratum inſcribere.

Ducantur [per 11. 1.] circuli A B Γ Δ diametri ad rectos angulos inter ſe A Γ, B Δ; & A B, B Γ, Γ Δ, Δ A jungantur.



Quoniam igitur B E eſt æqualis B Δ, eſt enim E centrum, communis autem & ad rectos angulos E A; erit [per 4. 1.] baſis A B æqualis baſi A Δ. & eadem ratione utraque ipſarum B Γ, Γ Δ utrique B A, A Δ eſt æqualis: æquila-

Ἔστω ὁ δοθεὶς κύκλος ὁ A B Γ Δ· δεῖ δὴ εἰς τὸν A B Γ Δ κύκλον τετράγωνον ἐγγράψαι.

Ἤχθωσαν τοῦ A B Γ Δ κύκλου διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ A Γ, B Δ· καὶ ἐπεζεύχθωσαν αἱ A B, B Γ, Γ Δ, Δ A.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ B E τῇ E Δ, κέντρον γὰρ τὸ E, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ E A· βάσις ἄρα ἡ A B βάσει τῇ A Δ ἴση ἐστί. κατὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν B Γ, Γ Δ ἑκατέρᾳ τῶν B A, A Δ ἴση ἐστί· ἰσό-

* Legimus τῶν A B Γ τριγώνου. † Hic locus in omnibus (quos vidimus) codicibus Græcis, tam MSS. quam impreſſo, male ſe habet. Nos in verſione (pauculis immutatis) reſtituimus; quod & antea fecerunt *Campanus* & *Clavius*.

πλευρον

τόλυρον ἄρα ἐστὶ τὸ ΑΒΓΔ τετράπλευρον. λέγω δὴ ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ ἡ ΒΔ εὐθεῖα διάμετρός ἐστι τοῦ ΑΒΓΔ κύκλου, ἡμικύκλιον ἄρα ἐστὶ τὸ ΒΑΔ· ὀρθὴ ἄρα ἡ ὑπὸ ΒΑΔ. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάστη τῶν ὑπὸ ΑΒΓ, ΒΓΔ, ΓΔΑ ὀρθή ἐστιν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔ τετράπλευρον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τετράγωνον ἄρα ἐστί. καὶ ἐγγέγραπται εἰς τὸ δοθέντα ΑΒΓΔ κύκλον.

Εἰς τὸ δοθέντα ἄρα κύκλον τὸ ΑΒΓΔ τετράγωνον ἐγγέγραπται τὸ ΑΒΓΔ. ὅπερ ἔδει ποιῆσαι.

terum igitur est ΑΒΓΔ quadrilaterum. dico & rectangulum esse. quoniam enim recta linea ΒΔ diameter est ΑΒΓΔ circuli, erit ΒΑΔ semicirculus: quare [per 31. 3.] angulus ΒΑΔ rectus est. & eadem ratione unusquisque ipsorum ΑΒΓ, ΒΓΔ, ΓΔΑ rectus erit: rectangulum igitur est ΑΒΓΔ quadrilaterum. ostensum autem est æquilaterum esse: igitur quadratum est. & inscriptum est in circulo ΑΒΓΔ.

In dato igitur ΑΒΓΔ circulo inscriptum est quadratum ΑΒΓΔ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ζ'.

Περὶ τὸν δοθέντα κύκλον τετράγωνον περιγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ΑΒΓΔ· δεῖ δὴ περὶ τὸν ΑΒΓΔ κύκλον τετράγωνον περιγράψαι.

Ἤχθωσαν τοῦ ΑΒΓΔ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΑΓ, ΒΔ, καὶ διὰ τῶν Α, Β, Γ, Δ σημείων ἤχθωσαν ἐφαπτόμεναι τοῦ ΑΒΓΔ κύκλου αἱ ΖΗ, ΗΘ, ΘΚ, ΚΖ.

Ἐπεὶ οὖν ἐφάπτεται ἡ ΖΗ τοῦ ΑΒΓΔ κύκλου, ἀπὸ δὲ τοῦ Ε κέντρου ἐπὶ τὴν κατὰ τὸ Α ἁπτὴν ἐπιζευγνυται ἡ ΕΑ· αἱ ἄρα πρὸς τῷ Α γωνίαι ὀρθαί εἰσι. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ πρὸς τοῖς Β, Γ, Δ σημείοις γωνίαι ὀρθαί εἰσι. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΑΕΒ γωνία, ἔστι δὲ ὀρθὴ καὶ ἡ ὑπὸ ΕΒΗ· παράλληλος ἄρα ἐστὶν ἡ ΗΘ τῇ ΑΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΑΓ τῇ ΖΚ παράλληλός ἐστιν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκατέρα τῶν ΗΖ, ΘΚ τῇ ΒΕΔ ἐστὶ παράλληλος. παραλληλόγραμμα ἄρα ἐστὶ τὰ ΗΚ, ΗΓ, ΑΚ, ΖΒ, ΒΚ· ἴση ἄρα ἐστὶν ἡ μὲν ΗΖ τῇ ΘΚ, ἡ δὲ ΗΘ τῇ ΖΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΒΔ, ἀλλ' ἡ μὲν ΑΓ ἑκατέρα τῶν ΗΘ, ΖΚ ἐστὶν ἴση, ἡ δὲ ΒΔ ἑκατέρα τῶν ΗΖ, ΘΚ ἐστὶν ἴση· καὶ ἑκατέρα ἄρα τῶν ΗΘ, ΖΚ ἑκατέρα τῶν ΗΖ, ΘΚ ἐστὶν ἴση. ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΖΗΘΚ τετράπλευρον. λέγω ὅτι καὶ ὀρθογώνιον. ἐπεὶγὰρ παραλληλόγραμμόν ἐστι τὸ ΗΒΕΑ, καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ ΑΕΒ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΗΒ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ πρὸς τοῖς Θ, Κ, Ζ γωνίαι ὀρθαί εἰσιν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΖΗΘΚ τετράπλευρον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τετράγωνον ἄρα ἐστί. καὶ περιγέγραπται περὶ τὸ ΑΒΓΔ κύκλον.

Περὶ τὸν δοθέντα ἄρα κύκλον τετράγωνον περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.



Prop. VII. Probl.

Circa datum circulum quadratum circumscribere.

SIT datus circulus ΑΒΓΔ: oportet circa ΑΒΓΔ circulum quadratum circumscribere.

Ducantur circuli ΑΒΓΔ duæ diametri ΑΓ, ΒΔ ad rectos inter se angulos, & per puncta Α, Β, Γ, Δ ducantur [per 17. 3.] rectæ ΖΗ, ΗΘ, ΘΚ, ΚΖ contingentes circulum ΑΒΓΔ.

Quoniam igitur ΖΗ contingit circulum ΑΒΓΔ, à centro autem Ε ad contactum qui est ad Α ducitur ΕΑ; erunt [per 18. 3.] anguli ad Α recti. eadem ratione & anguli ad puncta Β, Γ, Δ sunt recti. & quoniam angulus ΑΕΒ est rectus, & ΕΒΗ etiam rectus; erit [per 28. 1.] ΗΘ ipsi ΑΓ parallela. eadem ratione & ΑΓ parallela est ΖΚ. similiter demonstrabimus & utramque ipsarum ΗΖ, ΘΚ ipsi ΒΕΔ parallelam esse. parallelogramma igitur sunt ΗΚ, ΗΓ, ΑΚ, ΖΒ, ΒΚ; ac propterea ΗΖ est [per 34. 1.] æqualis ΘΚ; ΗΘ vero ipsi ΖΚ. & quoniam ΑΓ æqualis est ΒΔ; sed & ΑΓ quidem utrique ipsarum ΗΘ, ΖΚ est æqualis, ΒΔ vero æqualis utrique ΗΖ, ΘΚ; & utraque ΗΘ, ΖΚ utrique ΗΖ, ΘΚ æqualis erit. æquilaterum igitur est ΖΗΘΚ quadrilaterum. dico & rectangulum esse. quoniam enim parallelogrammum est ΗΒΕΑ, atque est rectus ΑΕΒ angulus, & ipse ΑΗΒ [per 34. 1.] rectus erit. similiter demonstrabimus angulos etiam, qui ad puncta Θ, Κ, Ζ, rectos esse: rectangulum igitur est quadrilaterum ΖΗΘΚ. demonstratum autem est & æquilaterum: igitur quadratum est. & circumscriptum est circa circulum ΑΒΓΔ.

Igitur circa datum circulum circumscriptum est quadratum. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ η'.

Εἰς τὸ δοθὲν τετράγωνον κύκλον ἐγγεγράψαι.

Ἔστω τὸ δοθὲν τετράγωνον τὸ ΑΒΓΔ· δεῖ δὴ εἰς τὸ ΑΒΓΔ τετράγωνον κύκλον ἐγγεγράψαι.

Τετμήσθω ἑκατέρα τῶν ΑΒ, ΑΔ δίχα κατὰ τὸ

Prop. VIII. Probl.

In dato quadrato circulum inscribere.

SIT datum quadratum ΑΒΓΔ: oportet in ΑΒΓΔ quadrato circulum inscribere.

Secetur [per 10. 1.] utraque ipsarum ΑΒ, ΑΔ bifariam

bifariam in punctis Z, E, & per E alterutri ipſarum AB, ΓΔ [per 31. 1.] parallela ducatur EΘ, per Z vero ducatur ZK parallela alterutri AΔ, BΓ: parallelogrammum igitur eſt unumquodque ipſorum AK, KB, AΘ, ΘΔ, AH, HΓ, BH, HΔ; & latera ipſorum oppoſita [per 34. 1.] ſunt æqualia. & quoniam AΔ eſt æqualis AB, & ipſius quidem AΔ dimidia eſt AE, ipſius vero AB dimidia AZ; erit AE ipſi AZ æqualis: & latera etiam ipſis oppoſita ſunt æqualia, ergo ZH eſt æqualis HE. ſimiliter demonſtrabimus & utramque ipſarum HΘ, HK utrique ZH, HB æqualem eſſe. quatuor igitur HE, HZ, HΘ, HK inter ſe ſunt æquales. itaque centro quidem H intervallo autem æquali uni ipſarum HE, HZ, HΘ, HK circulus deſcriptus etiam per reliqua tranſibit puncta; & rectas lineas AB, BΓ, ΓΔ, ΔA continget, propterea quod anguli ad E, Z, Θ, K ſunt recti. ſi enim circulus ſecat rectas lineas AB, BΓ, ΓΔ, ΔA, quæ diametro circuli ad rectos angulos ab extremitate ducitur intra circulum cadet, quod [per 16. 3.] eſt abſurdum. non igitur centro quidem H intervallo autem æquali uni ipſarum HE, HZ, HΘ, HK circulus deſcriptus rectas lineas AB, BΓ, ΓΔ, ΔA ſecabit. ipſas igitur continget, atque erit [per 5. def. 4.] inſcriptus in quadrato ABΓΔ.



In dato igitur quadrato circulus eſt inſcriptus. quod erat faciendum.

Prop. IX. Probl.

Circa datum quadratum circulum circumſcribere.

SIT datum quadratum ABΓΔ: oportet circa quadratum ABΓΔ circulum circumſcribere.

Jungantur enim AΓ, BΔ, quæ ſe invicem in puncto E ſecent.

Et quoniam ΔA eſt æqualis AB, communis autem AΓ, duæ ΔA, AΓ duabus BA, AΓ ſunt æquales, & baſis ΔΓ æqualis baſi BΓ, erit [per 8. 1.] & angulus ΔAΓ æqualis angulo BAΓ: angulus igitur ΔAB bifariam ſectus eſt à recta linea AΓ. ſimiliter demonſtrabimus unumquemque angulorum ABΓ, BΓΔ, ΓΔA bifariam ſecari à rectis lineis AΓ, ΔB. quoniam igitur angulus ΔAB angulo ABΓ eſt æqualis, eſt autem anguli ΔAB dimidium angulus EAB, anguli vero ABΓ dimidium EBA: & EAB angulus angulo EBA æqualis erit; quare [per 6. 1.] & latus EA lateri EB eſt æquale. ſimiliter demonſtrabimus & utramque rectarum EΓ, EΔ utrique EA, EB



ΠΡΟΤΑΣΙΣ θ'.

Περὶ τὸ δοθὲν τετράγωνον κύκλον περιγράψαι.

ΕΣτω τὸ δοθὲν τετράγωνον τὸ ABΓΔ· δεῖ δὴ περὶ τὸ ABΓΔ τετράγωνον κύκλον περιγράψαι.

Επεζεύχθωσαν γὰρ αἱ AΓ, BΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ E.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔA τῇ AB, κοινὴ δὲ ἡ AΓ, δύο δὴ αἱ ΔA, AΓ δυσὶ ταῖς BA, AΓ ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΔΓ βάσει τῇ BΓ ἐστὶν ἴση· ἡ ἄρα γωνία ἡ ὑπὸ ΔAΓ γωνίᾳ τῇ ὑπὸ BAΓ ἐστὶν ἴση· ἡ ἄρα ὑπὸ ΔAB γωνία δίχα τέτμηται ὑπὸ τὴν AΓ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκατέρα τῶν ὑπὸ ABΓ, BΓΔ, ΓΔA δίχα τέτμηται ὑπὸ τὰς AΓ, ΔB εὐθείας. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔAB γωνία τῇ ὑπὸ ABΓ, καὶ ἔστι τῆς μὲν ὑπὸ ΔAB ἡμίσεια ἡ ὑπὸ EAB, τῆς δὲ ὑπὸ ABΓ ἡμίσεια ἡ ὑπὸ EBA· καὶ ἡ ὑπὸ EAB ἄρα τῇ ὑπὸ EBA ἐστὶν ἴση, ὥστε καὶ πλευρὰ ἡ EA πλευρᾷ τῇ EB ἐστὶν ἴση. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκατέρα τῶν EΓ, EΔ εὐθειῶν ἑκατέρᾳ

τέρα

τέρα τῆ ΕΑ, ΕΒ ἴση ἐστίν· αἱ τέσσαρες ἄρα αἱ ΕΑ, ΕΒ, ΕΓ, ΕΔ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ε καὶ διαστήματι ἑνὶ τῶν ΕΑ, ΕΒ, ΕΓ, ΕΔ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος περὶ τὸ ΑΒΓΔ τετράγωνον. περιγεγράφθω ὡς ὁ ΑΒΓΔ.

Περὶ τὸ δοθὲν ἄρα τετράγωνον κύκλος περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

æqualem esse; ergo quatuor rectæ lineæ ΕΑ, ΕΒ, ΕΓ, ΕΔ inter se sunt æquales. centro igitur Ε intervallo autem æquali uni ipsarum ΕΑ, ΕΒ, ΕΓ, ΕΔ circulus descriptus etiam per reliqua puncta transibit, atque erit circumscriptus circa quadratum ΑΒΓΔ. describatur ut ΑΒΓΔ.

Circa datum igitur quadratum circulus est circumscriptus. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ι'.

Ἰσοσκελὲς τρίγωνον συστήσασθαι, ἔχον ἑκατέραν τῶν πρὸς τῇ βάσει γωνιῶν διπλασίονα τῆς λοιπῆς.

Prop. X. Probl.

Isosceles triangulum constituere, habens alterutrum angulorum qui sunt ad basim duplum reliqui.

Ἐκκείσθω τις εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω κατὰ τὸ Γ σημεῖον, ὥστε τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τῆς ΓΑ τετραγώνῳ· καὶ κέντρῳ μὲν τῷ Α διαστήματι δὲ τῷ ΑΒ κύκλος γεγράφθω ὁ ΒΔΕ, καὶ ἐνηρμόσθω εἰς τὸν ΒΔΕ κύκλον τῇ ΑΓ εὐθείᾳ, μὴ μείζονι οὔσῃ τῆς τοῦ ΒΔΕ κύκλου διαμέτρου, ἴση εὐθεῖα ἡ ΒΔ· καὶ ἐπεζεύχθωσαν αἱ ΔΑ, ΔΓ, καὶ περιγεγράφθω περὶ τὸ ΑΓΔ τρίγωνον κύκλος ὁ ΑΓΔ.



Καὶ ἐπεὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ, ἴση δὲ ἡ ΑΓ τῇ ΒΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΔ. καὶ ἐπεὶ κύκλου τοῦ ΑΓΔ εἴληπταί τι σημεῖον ἐκτὸς τὸ Β, καὶ ἀπὸ τοῦ Β πρὸς τὸν ΑΓΔ κύκλον προσπεπτώκασι δύο εὐθεῖαι αἱ ΒΓΑ, ΒΔ, καὶ ἡ μὲν αὐτῶν τέμνει, ἡ δὲ προσπίπτει, καί ἐστι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ, ἴσον τῷ ἀπὸ τῆς ΒΔ· ἡ ΒΔ ἄρα ἐφάπτεται τοῦ ΑΓΔ κύκλου. ἐπεὶ οὖν ἐφάπτεται ἡ ΒΔ, ἀπὸ δὲ τῆς κατὰ τὸ Δ ἐπαφῆς διῆκται ἡ ΔΓ· ἡ ἄρα ὑπὸ ΒΔΓ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ τῇ ὑπὸ ΔΑΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΒΔΓ τῇ ὑπὸ ΔΑΓ, κοινὴ προσκείσθω ἡ ὑπὸ ΓΔΑ· ὅλη ἄρα ἡ ὑπὸ ΒΔΑ ἴση ἐστὶ δυσὶ ταῖς ὑπὸ ΓΔΑ, ΔΑΓ. ἀλλὰ ταῖς ὑπὸ ΓΔΑ, ΔΑΓ ἴση ἐστὶν ἡ ἐκτὸς ἡ ὑπὸ ΒΓΔ· καὶ ἡ ὑπὸ ΒΔΑ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ ΒΓΔ. ἀλλ' ἡ ὑπὸ ΒΔΑ τῇ ὑπὸ ΓΒΔ ἐστὶν ἴση, ἐπεὶ καὶ πλευρὰ ἡ ΑΔ τῇ ΑΒ ἐστιν ἴση· ὥστε καὶ ἡ ὑπὸ ΔΒΑ τῇ ὑπὸ ΒΓΔ ἐστὶν ἴση. αἱ τρεῖς ἄρα αἱ ὑπὸ ΒΔΑ, ΔΒΑ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΒΓ γωνία τῇ ὑπὸ ΒΓΔ, ἴση ἐστὶ καὶ πλευρὰ ἡ ΒΔ πλευρᾷ τῇ ΔΓ. ἀλλ' ἡ ΒΔ τῇ ΓΑ ὑπόκειται ἴση· καὶ ἡ ΑΓ ἄρα τῇ ΓΔ ἐστὶν ἴση· ὥστε καὶ γωνία ἡ ὑπὸ ΓΔΑ τῇ ὑπὸ ΔΑΓ ἐστὶν ἴση· αἱ ἄρα ὑπὸ ΓΔΑ, ΔΑΓ τῆς ὑπὸ ΔΑΓ διπλασίονές εἰσιν. ἴση δὲ καὶ ἡ ὑπὸ ΒΓΔ τῇ ὑπὸ ΓΔΑ, ΔΑΓ· καὶ ἡ ὑπὸ ΒΓΔ ἄρα διπλῆ ἐστὶ τῆς ὑπὸ ΔΑΓ. ἴση δὲ ἡ ὑπὸ ΒΓΔ ἑκατέρᾳ τῶν ὑπὸ ΒΔΑ, ΔΒΑ· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ ΒΔΑ, ΔΒΑ τῆς ὑπὸ ΔΑΒ ἐστὶ διπλῆ.

POnatur recta quædam linea ΑΒ, & secetur [per 11.2.] in puncto Γ, ita ut rectangulum comprehensum sub ΑΒ, ΒΓ æquale sit quadrato ex ΓΑ; & centro quidem Α intervallo autem ΑΒ [per 3. post.] circulus describatur ΒΔΕ; apteturque [per 1.4.] in ΒΔΕ circulo recta linea ΒΔ, æqualis ipsi ΑΓ, quæ non est major diametro circuli ΒΔΕ; & junctis ΔΑ, ΔΓ, triangulo ΑΓΔ [per 5. 4.] circumscribatur circulus ΑΓΔ.

Itaque quoniam rectangulum sub ΑΒ, ΒΓ æquale est quadrato quod fit ex ΑΓ; æqualis autem est ΑΓ ipsi ΒΔ; erit sub ΑΒ, ΒΓ rectangulum quadrato quod ex ΒΔ æquale. & quoniam extra circulum ΑΓΔ sumptum est punctum Β, & à puncto Β in circulum ΑΓΔ cadunt duæ rectæ lineæ ΒΓΑ, ΒΔ, quarum altera quidem secat, reliqua vero in eum incidit, & rectangulum sub ΑΒ, ΒΓ est æquale quadrato quod ex ΒΔ; recta linea ΒΔ [per 37. 3.] circulum ΑΓΔ continget. quoniam igitur ΒΔ contingit, & à contactu Δ ducta est ΔΓ; erit [per 32. 3.] ΒΔΓ angulus æqualis ei qui in alterno circuli segmento constituitur, videlicet angulo ΔΑΓ. cum autem angulus ΒΔΓ æqualis sit ipsi ΔΑΓ, communis addatur ΓΔΑ: totus igitur ΒΔΑ est æqualis duobus angulis ΓΔΑ, ΔΑΓ. sed ipsis ΓΔΑ, ΔΑΓ exterior angulus ΒΓΔ [per 32.1.] est æqualis: ergo & ΒΔΑ æqualis est ipsi ΒΓΔ. sed ΒΔΑ angulus [per 5. 1.] est æqualis angulo ΓΒΔ, quoniam & latus ΑΔ lateri ΑΒ est æquale: ergo & ΔΒΑ ipsi ΒΓΔ æqualis erit. tres igitur anguli ΒΔΑ, ΔΒΑ, ΒΓΔ inter se sunt æquales. & quoniam angulus ΔΒΓ æqualis est angulo ΒΓΔ, latus ΒΔ lateri ΔΓ [per 6. 1.] est æquale. sed ΒΔ ponitur æqualis ipsi ΓΑ: ergo & ΑΓ est æqualis ΓΔ: quare & angulus ΓΔΑ [per 5.1.] æqualis est angulo ΔΑΓ: anguli igitur ΓΔΑ, ΔΑΓ simul ipsius anguli ΔΑΓ dupli sunt. est autem [per 32.1.] & ΒΓΔ angulus æqualis angulis ΓΔΑ, ΔΑΓ: ergo & ΒΓΔ duplus est ipsius ΔΑΓ. sed ΒΓΔ est æqualis alterutri ipsorum ΒΔΑ, ΔΒΑ: quare & alteruter ipsorum ΒΔΑ, ΔΒΑ ipsius ΔΑΒ est duplus.

Iſoſceles igitur triangulum ΑΔΒ conſtitutum eſt, habens alterutrum eorum angulorum qui ſunt ad baſim ΒΔ duplum reliqui. quod erat faciendum.

Prop. XI. Probl.

In dato circulo pentagonum æquilaterum & æquiangulum inſcribere.

SIT datus circulus ΑΒΓΔΕ: oportet in ΑΒΓΔΕ circulo pentagonum æquilaterum & æquiangulum inſcribere.

Ponatur [per 10. 4.] triangulum iſoſceles ΖΗΘ, habens alterutrum angulorum ad Η, Θ duplum anguli qui eſt ad Ζ: & inſcribatur [per 2. 4.] in circulo ΑΒΓΔΕ triangulo ΖΗΘ æquiangulum triangulum ΑΓΔ; ita ut angulo quidem qui eſt ad Ζ æqualis ſit angulus ΓΑΔ, utrique vero ipſorum qui ad Η, Θ ſit æqualis uterque ΑΓΔ, ΓΔΑ: alteruter igitur ΑΓΔ, ΓΔΑ duplus eſt anguli ΓΑΔ. ſecetur [per 9. 1.] uterque ipſorum ΑΓΔ, ΓΔΑ bifariam à rectis lineis ΓΕ, ΔΒ, & ducantur ΑΒ, ΒΓ, ΔΕ, ΕΑ.



Quoniam igitur uterque ipſorum ΑΓΔ, ΓΔΑ duplus eſt ipſius ΓΑΔ, & ſecti ſunt bifariam à rectis lineis ΓΕ, ΔΒ; quinque anguli ΔΑΓ, ΑΓΕ, ΒΓΔ, ΓΔΒ, ΒΔΑ ſunt inter ſe æquales. æquales autem anguli [per 26. 3.] æqualibus circumferentiis inſiſtunt: quinque igitur circumferentiæ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ æquales ſunt inter ſe. ſed [per 29. 3.] æquales circumferentias æquales rectæ lineæ ſubtendunt: ergo & quinque rectæ lineæ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ inter ſe ſunt æquales: æquilaterum eſt igitur ΑΒΓΔΕ pentagonum. dico & æquiangulum eſſe. quoniam enim circumferentia ΑΒ æqualis eſt circumferentiæ ΔΕ, communis addatur ΒΓΔ: tota igitur ΑΒΓΔ circumferentia toti circumferentiæ ΕΔΓΒ eſt æqualis. & circumferentiæ quidem ΑΒΓΔ inſiſtit angulus ΑΕΔ, circumferentiæ vero ΕΔΓΒ inſiſtit angulus ΒΑΕ: ergo & ΒΑΕ angulus [per 27. 3.] eſt æqualis angulo ΑΕΔ. eadem ratione & unuſquiſque angulorum ΑΒΓ, ΒΓΔ, ΓΔΕ alterutri ipſorum ΒΑΕ, ΑΕΔ eſt æqualis: æquiangulum igitur eſt ΑΒΓΔΕ pentagonum. oſtenſum autem eſt & æquilaterum eſſe.

In dato igitur circulo inſcriptum eſt pentagonum æquilaterum & æquiangulum. quod erat faciendum.

Prop. XII. Probl.

Circa datum circulum pentagonum æquilaterum & æquiangulum circumſcribere.

SIT datus circulus ΑΒΓΔΕ: oportet circa circulum ΑΒΓΔΕ pentagonum æquilaterum & æquiangulum circumſcribere.

Ισοσκελὲς ἄρα τρίγωνον συνέσταται τὸ ΑΔΒ, ἔχον ἑκατέραν τῶν πρὸς τῇ ΒΔ βάσει γωνιῶν διπλασίονα τῆς λοιπῆς. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ ια'.

Εἰς τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

ΕΣτω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Εκκείσθω τρίγωνον ἰσοσκελὲς τὸ ΖΗΘ, διπλασίονα ἔχον ἑκατέραν τῶν πρὸς τοῖς Η, Θ γωνιῶν τῆς πρὸς τῷ Ζ, καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔΕ κύκλον τῷ ΖΗΘ τριγώνῳ ἰσογώνιον τρίγωνον τὸ ΑΓΔ, ὥστε τὴν μὲν πρὸς τῷ Ζ γωνίαν ἴσην εἶναι τῇ ὑπὸ ΓΑΔ, ἑκατέραν δὲ τῶν πρὸς τοῖς Η, Θ ἴσην ἑκατέρᾳ τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ τῆς ὑπὸ ΓΑΔ ἐστὶ διπλῆ. τετμήσθω δὴ ἑκατέρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ δίχα ὑπὸ τῶν ΓΕ, ΔΒ εὐθειῶν, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΑ.

Επεὶ οὖν ἑκατέρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ γωνιῶν διπλασίων ἐστὶ τῆς ὑπὸ ΓΑΔ, καὶ τετμημέναι εἰσὶ δίχα ὑπὸ τῶν ΓΕ, ΔΒ εὐθειῶν· αἱ πέντε ἄρα γωνίαι αἱ ὑπὸ ΔΑΓ, ΑΓΕ, ΕΓΔ, ΓΔΒ, ΒΔΑ ἴσαι ἀλλήλαις εἰσίν. αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν· αἱ πέντε ἄρα περιφέρειαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ ἴσαι ἀλλήλαις εἰσίν. ὑπὸ δὲ τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕ πεντάγωνον. λέγω δὴ ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἡ ΑΒ περιφέρεια τῇ ΔΕ περιφερείᾳ ἴση ἐστί, κοινὴ προσκείσθω ἡ ΒΓΔ· ὅλη ἄρα ἡ ΑΒΓΔ περιφέρεια ὅλῃ τῇ ΕΔΓΒ περιφερείᾳ ἴση ἐστί. καὶ βέβηκεν ἐπὶ μὲν τὴν ΑΒΓΔ περιφερείας γωνία ἡ ὑπὸ ΑΕΔ, ἐπὶ δὲ τὴν ΕΔΓΒ περιφερείας γωνία ἡ ὑπὸ ΒΑΕ· καὶ ἡ ὑπὸ ΒΑΕ γωνία ἄρα τῇ ὑπὸ ΑΕΔ ἴση ἐστί. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάστη τῶν ὑπὸ ΑΒΓ, ΒΓΔ, ΓΔΕ γωνιῶν ἑκατέρᾳ τῶν ὑπὸ ΒΑΕ, ΑΕΔ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕ πεντάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον.

Εἰς ἄρα τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Περὶ τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγράψαι.

ΕΣτω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· δεῖ δὴ περὶ τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγράψαι.

Νενοήθω

Νενοήσθω δὴ ἐγγεγραμμένου πενταγώνου τῶν γωνιῶν σημεῖα, τὰ Α, Β, Γ, Δ, Ε, ὥστε ἴσας εἶναι τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ περιφερείας· καὶ διὰ τῶν Α, Β, Γ, Δ, Ε ἤχθωσαν δὴ κύκλου ἐφαπτόμεναι αἱ ΗΘ, ΘΚ, ΚΛ, ΛΜ, ΜΗ· καὶ εἰλήφθω δὴ ΑΒΓΔΕ κύκλου κέντρον τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ; ΖΚ, ΖΓ, ΖΛ, ΖΔ.

Καὶ ἐπεὶ ἡ μιᾷ ΚΛ εὐθεῖα ἐφάπτεται μὲν τοῦ ΑΒΓΔΕ κύκλου κατὰ τὸ Γ, ἀπὸ δὲ τοῦ Ζ κέντρου ἐπὶ τὴν κατὰ τὸ Γ ἐπαφὴν ἐπέζευκται ἡ ΖΓ· ἡ ΖΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΚΛ· ὀρθὴ ἄρα ἑκατέρα τῶν πρὸς τῷ Γ γωνιῶν. Διὰ τὰ αὐτὰ δὴ καὶ αἱ πρὸς ταῖς Β, Δ σημείοις γωνίαι ὀρθαί εἰσι. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΖΓΚ γωνία, τὸ ἄρα ἀπὸ τῆς ΖΚ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΓ, ΓΚ. Διὰ τὰ αὐτὰ δὴ καὶ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΚ τὸ ἀπὸ τῆς ΖΚ ἴσον· τὰ ἄρα ἀπὸ τῶν ΖΓ, ΓΚ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΚ ἐστὶν ἴσα, ὧν τὸ ἀπὸ τῆς ΖΓ τῷ ἀπὸ τῆς ΖΒ ἐστὶν ἴσον· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΓΚ λοιπῷ τῷ ἀπὸ τῆς ΒΚ ἐστὶν ἴσον, ἴση ἄρα ἡ ΒΚ τῇ ΓΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΖΒ τῇ ΖΓ, καὶ κοινὴ ἡ ΖΚ, δύο δὴ αἱ ΒΖ, ΖΚ δυσὶ ταῖς ΓΖ, ΖΚ ἴσαι εἰσί, καὶ βάσις ἡ ΒΚ βάσει τῇ ΓΚ ἐστὶν ἴση· γωνία ἄρα ἡ μιᾷ ὑπὸ ΒΖΚ γωνίᾳ τῇ ὑπὸ ΚΖΓ ἐστὶν ἴση, ἡ δὲ ὑπὸ ΒΚΖ τῇ ὑπὸ ΖΚΓ ἐστὶν ἴση· διπλῆ ἄρα ἡ μιᾷ ὑπὸ ΒΖΓ τῆς ὑπὸ ΚΖΓ, ἡ δὲ ὑπὸ ΒΚΓ τῆς ὑπὸ ΖΚΓ. Διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μιᾷ ὑπὸ ΓΖΔ τῆς ὑπὸ ΓΖΛ ἐστὶ διπλῆ, ἡ δὲ ὑπὸ ΓΛΔ τῆς ὑπὸ ΓΛΖ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ περιφέρεια τῇ ΓΔ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΒΖΓ τῇ ὑπὸ ΓΖΔ. καὶ ἔστιν ἡ μιᾷ ὑπὸ ΒΖΓ τῆς ὑπὸ ΚΖΓ διπλῆ, ἡ δὲ ὑπὸ ΔΖΓ διπλῆ τῆς ὑπὸ ΛΖΓ· ἴση ἄρα καὶ ἡ ὑπὸ ΚΖΓ τῇ ὑπὸ ΓΖΛ. δύο δὴ τρίγωνά ἐστι τὰ ΖΚΓ, ΖΛΓ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, κοινὴν αὐτῶν τὴν ΖΓ, καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει, καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ἴση ἄρα ἡ μιᾷ ΚΓ εὐθεῖα τῇ ΓΛ, ἡ δὲ ὑπὸ ΖΚΓ γωνία τῇ ὑπὸ ΖΛΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΚΓ τῇ ΓΛ, διπλῆ ἄρα ἡ ΚΛ τῆς ΚΓ. Διὰ τὰ αὐτὰ δὴ δειχθήσεται, καὶ ἡ ΘΚ τῆς ΒΚ διπλῆ. καὶ ἐπεὶ ἐδείχθη ἴση ἡ ΒΚ τῇ ΚΓ, καὶ ἔστι διπλῆ ἡ μιᾷ ΚΛ τῆς ΚΓ, ἡ δὲ ΘΚ τῆς ΒΚ· καὶ ΘΚ ἄρα τῇ ΚΛ ἐστὶν ἴση. ὁμοίως δὴ δειχθήσεται καὶ ἑκάστη τῶν ΗΘ, ΗΜ, ΜΛ ἑκατέρᾳ τῶν ΘΚ, ΚΛ ἴση· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πεντάγωνον. λέγω δὴ ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ ΖΚΓ γωνία τῇ ὑπὸ ΖΛΓ, καὶ ἐδείχθη τῆς μιᾷ ὑπὸ ΖΚΓ διπλῆ ἡ ὑπὸ ΘΚΛ, τῆς δὲ ὑπὸ ΖΛΓ διπλῆ ἡ ὑπὸ ΚΛΜ· καὶ ἡ ὑπὸ ΘΚΛ ἄρα τῇ ὑπὸ ΚΛΜ ἐστὶν ἴση. ὁμοίως δὴ δειχθήσεται καὶ ἑκάστη τῶν ὑπὸ ΚΘΗ, ΘΗΜ, ΗΜΛ ἑκατέρᾳ τῶν ὑπὸ ΘΚΛ,



Intelligantur pentagoni in circulo [per 11.4.] deſcripti angulorum puncta A, B, Γ, Δ, E, ita ut circumferentiæ AB, BΓ, ΓΔ, ΔE, EA ſint æquales; & per puncta A, B, Γ, Δ, E ducantur [per 17. 3.] circulum contingentes HΘ, ΘK, KΛ, ΛM, MH: & ſumpto circuli ABΓΔE centro Z, jungantur ZB, ZK, ZΓ, ZΛ, ZΔ.

Quoniam igitur recta linea KΛ contingit circulum ABΓΔE in puncto Γ, & à centro Z ad contactum qui eſt ad Γ ducta eſt ZΓ; erit [per 18. 3.] ZΓ ad ipſam KΛ perpendicularis: rectus igitur eſt uterque angulorum qui ſunt ad Γ. eadem ratione & anguli qui ad puncta B, Δ ſunt recti. & quoniam rectus eſt angulus ZΓK, quadratum quod fit ex ZK [per 47. 1.] æquale eſt quadratis ex ZΓ, ΓK. & ob eandem cauſam quadratis ex ZB, BK æquale eſt ex ZK quadratum: quadrata igitur ex ZΓ, ΓK quadratis ex ZB, BK ſunt æqualia; è quibus quod fit ex ZΓ ei quod fit ex ZB eſt æquale: ergo reliquum quod fit ex ΓK reliquo ex BK æquale erit; æqualis igitur eſt BK ipſi ΓK. & quoniam ZB eſt æqualis ZΓ, communis autem ZK; duæ BZ, ZK duabus ΓZ, ZK ſunt æquales, & baſis BK eſt æqualis baſi ΓK; erit igitur [per 8. 1.] angulus BZK æqualis angulo KZΓ, & angulus BKZ angulo ZKΓ æqualis: duplus igitur eſt angulus BZΓ anguli KZΓ, & angulus BKΓ duplus ipſius ZKΓ. eadem ratione & angulus ΓZΔ duplus eſt anguli ΓZΛ, angulus vero ΓΛΔ duplus anguli ΓΛZ. & quoniam circumferentia BΓ circumferentiæ ΓΔ eſt æqualis, & angulus BZΓ [per 27. 3.] angulo ΓZΔ æqualis erit. atque eſt angulus quidem BZΓ anguli KZΓ duplus, angulus vero ΔZΓ duplus ipſius ΛZΓ: æqualis igitur eſt angulus KZΓ angulo ΓZΛ. ſunt igitur ZKΓ, ZΛΓ duo triangula habentia duos angulos duobus angulis æquales alterum alteri, & unum latus uni lateri æquale, quod ipſis commune eſt nempe ZΓ; ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habent, & reliquum angulum reliquo angulo æqualem: recta igitur linea KΓ eſt æqualis rectæ ΓΛ, & angulus ZKΓ æqualis angulo ZΛΓ. & quoniam KΓ eſt æqualis ΓΛ, erit KΛ ipſius KΓ dupla. eadem ratione & ΘK ipſius BK dupla oſtendetur. rurſus, quoniam BK oſtenſa eſt æqualis ipſi KΓ, atque eſt KΛ quidem dupla KΓ, ΘK vero ipſius BK dupla; erit ΘK ipſi KΛ æqualis. ſimiliter & unaquæque ipſarum HΘ, HM, MΛ oſtendetur æqualis alterutri ΘK, KΛ: æquilaterum igitur eſt HΘKΛM pentagonum. dico etiam æquiangulum eſſe. quoniam enim angulus ZKΓ eſt æqualis angulo ZΛΓ, & oſtenſus eſt ipſius quidem ZKΓ duplus angulus ΘKΛ; ipſius vero ZΛΓ duplus KΛM: erit & ΘKΛ angulus angulo KΛM æqualis. ſimili ratione oſtendetur & unuſquiſque ipſorum KΘH, ΘHM, HMΛ alterutri ΘKΛ,

ΚΛΜ æqualis: quinque igitur anguli ΗΘΚ, ΘΚΛ, ΚΛΜ, ΛΜΗ, ΜΗΘ inter ſe ſunt æquales. ergo æquiangulum eſt ΗΘΚΛΜ pentagonum. oſtenſum autem eſt etiam æquilaterum: & circumſcriptum eſt circa ΑΒΓΔΕ circulum. quod erat faciendum.

ΚΛΜ ἴση· αἱ πέντε ἄρα γωνίαι αἱ ὑπὸ ΗΘΚ, ΘΚΛ, ΚΛΜ, ΛΜΗ, ΜΗΘ ἴσαι ἀλλήλαις εἰσίν. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πεντάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον, καὶ περιγέγραπται περὶ τὸν ΑΒΓΔΕ κύκλον. ὅπερ ἔδει ποιῆσαι.

Prop. XIII. Probl.

In dato pentagono æquilatero & æquiangulo circulum inſcribere.

SIT datum pentagonum æquilaterum & æquiangulum ΑΒΓΔΕ: oportet in ΑΒΓΔΕ pentagono circulum inſcribere.

Secetur [per 9. 1.] uterque angulorum ΒΓΔ, ΓΔΕ bifariam à rectis lineis ΓΖ, ΔΖ; & à puncto Ζ, in quo conveniunt inter ſe ΓΖ, ΔΖ, ducantur rectæ lineæ ΖΒ, ΖΑ, ΖΕ. quoniam autem ΒΓ eſt æqualis ΓΔ, communis autem ΓΖ, duæ ΒΓ, ΓΖ duabus ΔΓ, ΓΖ ſunt æquales, & angulus ΒΓΖ eſt æqualis angulo ΔΓΖ: baſis igitur ΒΖ baſi ΔΖ [per 4. 1.] eſt æqualis, & ΒΖΓ triangulum æquale triangulo ΔΓΖ, & reliqui anguli reliquis angulis æquales, quibus æqualia latera ſubtenduntur: angulus igitur ΓΒΖ angulo ΓΔΖ æqualis erit. & quoniam angulus ΓΔΕ anguli ΓΔΖ eſt duplus, & angulus quidem ΓΔΕ angulo ΑΒΓ æqualis, angulus vero ΓΔΖ angulo ΓΒΖ æqualis; erit & ΓΒΑ angulus duplus anguli ΓΒΖ; ac propterea angulus ΑΒΖ angulo ΖΒΓ æqualis: angulus igitur ΑΒΓ bifariam ſecatur à recta linea ΒΖ. ſimiliter demonſtrabitur & unumquemque angulorum ΒΑΕ, ΑΕΔ à rectis lineis ΖΑ, ΖΕ bifariam ſecari. itaque à puncto Ζ ad rectas lineas ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ ducantur perpendiculares ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ. & quoniam angulus ΘΓΖ eſt æqualis angulo ΚΓΖ, eſt autem & rectus ΖΘΓ recto ΖΚΓ æqualis: erunt ΖΘΓ, ΖΚΓ duo triangula duos angulos duobus angulis æquales habentia, & unum latus uni lateri æquale, commune ſcilicet utrique ΖΓ, quod uni æqualium angulorum ſubtenditur: ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt, atque erit perpendicularis ΖΘ perpendiculari ΖΚ æqualis. ſimiliter oſtendetur & unaquæque ipſarum ΖΛ, ΖΜ, ΖΗ æqualis alterutri ΖΘ, ΖΚ: quinque igitur rectæ lineæ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ inter ſe ſunt æquales. quare centro Ζ intervallo autem æquali uni ipſarum ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ circulus deſcriptus etiam per reliqua tranſibit puncta, & rectas lineas ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ continget, propterea quod anguli ad Η, Θ, Κ, Λ, Μ ſunt recti. ſi enim ipſas non contingit, ſed ſecat; quæ diametro circuli ad rectos angulos ab extremitate du-



Προτασις ιγ'.

Εἰς τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον ἐγγράψαι.

ΕΣτω τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, τὸ ΑΒΓΔΕ· δεῖ δὴ εἰς τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλον ἐγγράψαι.

Τετμήσθω γὰρ ἑκατέρα τῶν ὑπὸ ΒΓΔ, ΓΔΕ γωνιῶν δίχα ὑφ' ἑκατέρας τῶν ΓΖ, ΔΖ εὐθειῶν· καὶ ἀπὸ δὴ τοῦ Ζ σημείου, καθ' ὃ συμβάλλουσιν ἀλλήλαις αἱ ΓΖ, ΔΖ εὐθεῖαι, ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΑ, ΖΕ εὐθεῖαι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΓΖ, δύο δὴ αἱ ΒΓ, ΓΖ δυσὶ ταῖς ΔΓ, ΓΖ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΒΓΖ γωνίᾳ τῇ ὑπὸ ΔΓΖ ἴση ἐστί· βάσις ἄρα ἡ ΒΖ βάσει τῇ ΔΖ ἐστιν ἴση, καὶ τὸ ΒΖΓ τρίγωνον τῷ ΔΓΖ τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΓΒΖ γωνία τῇ ὑπὸ ΓΔΖ. καὶ ἐπεί ἐστιν ἡ ὑπὸ ΓΔΕ τῆς ὑπὸ ΓΔΖ διπλῆ, ἴση δὲ ἡ μὲν ὑπὸ ΓΔΕ τῇ ὑπὸ ΑΒΓ, ἡ δὲ ΓΔΖ τῇ ὑπὸ ΓΒΖ, καὶ ἡ ὑπὸ ΓΒΑ ἄρα τῆς ὑπὸ ΓΒΖ ἐστὶ διπλῆ· ἴση ἄρα ἡ ὑπὸ ΑΒΖ γωνία τῇ ὑπὸ ΖΒΓ· ἡ ἄρα ὑπὸ ΑΒΓ γωνία δίχα τέτμηται ὑπὸ τῆς ΒΖ εὐθείας. ὁμοίως δὴ δειχθήσεται ὅτι καὶ ἑκατέρα τῶν ὑπὸ ΒΑΕ, ΑΕΔ δίχα τέτμηται ὑπὸ ἑκατέρας τῶν ΖΑ, ΖΕ εὐθειῶν. ἤχθωσαν δὴ ἀπὸ τοῦ Ζ σημείου ἐπὶ τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθείας κάθετοι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΘΓΖ γωνία τῇ ὑπὸ ΚΓΖ, ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΖΘΓ ὀρθῇ τῇ ὑπὸ ΖΚΓ ἴση, δύο δὴ τριγώνα ἐστὶ τὰ ΖΘΓ, ΖΚΓ τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, κοινὴν αὐτῶν τὴν ΖΓ ὑποτείνουσα ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· ἴση ἄρα ἡ ΖΘ κάθετος τῇ ΖΚ καθέτῳ. ὁμοίως δὴ δειχθήσεται ὅτι καὶ ἑκάστη τῶν ΖΛ, ΖΜ, ΖΗ ἑκατέρᾳ τῶν ΖΘ, ΖΚ ἴση ἐστίν· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἐφάψεται τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθειῶν, διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς ταῖς Η, Θ, Κ, Λ, Μ σημείοις γωνίας. εἰ γὰρ οὐκ ἐφάψεται αὐτῶν ἀλλὰ τεμεῖ αὐτὰς, συμβήσεται τὴν τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ'

ἀπ' ἄκρας ὀρθογωνίου ἐντὸς πίπτων ἐφ' κύκλου, ὅπερ ἄτοπον ἐδείχθη. οὐκ ἄρα ὁ κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ εὐθειῶν γραφόμενος κύκλος πρὸς τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθείας ἁφήσεται ἄρα αὐτῶν. γεγράφθω ὡς ὁ ΗΘΚΛΜ.

Εἰς ἄρα τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλος ἐγγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

citur intra circulum cadet, quod abſurdum eſſe [per 16. 3.] oſtenſum eſt. centro igitur Z & intervallo æquali uni rectarum ZH, ZΘ, ZK, ZΛ, ZM circulus deſcriptus rectas lineas AB, BΓ, ΓΔ, ΔE, EA non ſecabit: ipſas igitur continget. deſcribatur ut HΘKΛM.

In dato igitur pentagono æquilatero & æquiangulo circulus eſt inſcriptus. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Περὶ τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον περιγράψαι.

PROP. XIV. PROBL.

Circa datum pentagonum æquilaterum & æquiangulum circulum circumſcribere.

Ἔστω τὸ δοθὲν πεντάγωνον, ὅπερ ἐστὶν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, τὸ ΑΒΓΔΕ· δεῖ δὴ περὶ τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλον περιγράψαι.

Τετμήσθω δὴ ἑκατέρα τῶν ὑπὸ ΒΓΔ, ΓΔΕ γωνιῶν δίχα ὑπὸ ἑκατέρας τῶν ΓΖ, ΖΔ, καὶ ἤχθω τοῦ Ζ σημείου, καθ' ὃ συμβάλλουσιν αἱ ΓΖ, ΖΔ, ἐπὶ τὰ Β, Α, Ε σημεῖα ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΖΒ, ΖΑ, ΖΕ. ὁμοίως δὴ τοῖς πρὸ τούτου δειχθήσεται, ὅτι καὶ ἑκάστη τῶν ὑπὸ ΓΒΑ, ΒΑΕ, ΑΕΔ γωνιῶν δίχα τέτμηται ὑπὸ ἑκάστης τῶν ΒΖ, ΖΑ, ΖΕ εὐθειῶν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΒΓΔ γωνία τῇ ὑπὸ ΓΔΕ, καὶ ἔστι τοῦ μὲν ὑπὸ ΒΓΔ ἡμίσεια ἡ ὑπὸ ΖΓΔ, τοῦ δὲ ὑπὸ ΓΔΕ ἡμίσεια ἡ ὑπὸ ΓΔΖ, καὶ ἡ ὑπὸ ΖΓΔ ἄρα τῇ ὑπὸ ΖΔΓ ἐστὶν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΖΓ πλευρᾷ τῇ ΖΔ ἐστὶν ἴση. ὁμοίως δὴ δειχθήσεται ὅτι καὶ ἑκάστη τῶν ΖΒ, ΖΑ, ΖΕ ἑκατέρᾳ τῶν ΖΓ, ΖΔ ἐστὶν ἴση· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος περὶ τὸ ΑΒΓΔΕ πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρον τε ἰσογώνιον. περιγεγράφθω, καὶ ἔστω ὁ ΑΒΓΔΕ.

Περὶ τὸ δοθὲν ἄρα πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλος περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

Sit datum pentagonum æquilaterum & æquiangulum ABΓΔE: oportet circa pentagonum ABΓΔE circulum circumſcribere.

Secetur [per 9. 1.] uterque ipſorum BΓΔ, ΓΔE angulorum bifariam à rectis lineis ΓZ, ZΔ; & à puncto Z, in quo conveniunt rectæ lineæ, ad puncta B, A, E ducantur ZB, ZA, ZE. ſimiliter ut in antecedenti demonſtrabitur unumquemque angulorum ΓBA, BAE, AEΔ à rectis lineis BZ, ZA, ZE bifariam ſecari. & quoniam angulus BΓΔ angulo ΓΔE eſt æqualis, atque eſt anguli BΓΔ dimidius angulus ZΓΔ, anguli vero ΓΔE dimidius ΓΔZ; erit ZΓΔ angulus æqualis angulo ZΔΓ: quare [per 6. 1.] & latus ZΓ lateri ZΔ eſt æquale. ſimiliter demonſtrabitur unaquæque ipſarum ZB, ZA, ZE æqualis alterutri ZΓ, ZΔ: quinque igitur rectæ lineæ ZA, ZB, ZΓ, ZΔ, ZE ſunt inter ſe æquales. ergo centro Z & intervallo æquali uni ipſarum ZA, ZB, ZΓ, ZΔ, ZE circulus deſcriptus etiam per reliqua tranſibit puncta, eritque circumſcriptus circa pentagonum æquilaterum & æquiangulum ABΓΔE. deſcribatur, & ſit ABΓΔE.



Circa datum igitur pentagonum æquilaterum & æquiangulum circumſcriptus eſt circulus. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιε'.

Εἰς τὸ δοθὲν κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

PROP. XV. PROBL.

In dato circulo hexagonum æquilaterum & æquiangulum inſcribere.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕΖ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔΕΖ κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἤχθω διάμετρος τοῦ ΑΒΓΔΕΖ κύκλου ἡ ΑΔ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Η, καὶ κέντρῳ μὲν τῷ Δ διαστήματι δὲ τῷ ΔΗ κύκλος γεγράφθω ὁ ΕΗΓΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΗ, ΓΗ διήχθωσαν δὲ καὶ ἐπὶ τὰ Β, Ζ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ,

Sit datus circulus ABΓΔEZ: oportet in circulo ABΓΔEZ hexagonum æquilaterum & æquiangulum inſcribere.

Ducatur circuli ABΓΔEZ diameter AΔ, ſumaturque centrum circuli H, & centro Δ intervallo autem ΔH [per 3. poſt.] circulus deſcribatur EHΓΘ, junctæque EH, ΓH ad puncta B, Z producantur, & jungantur AB, BΓ,

ΓΔ, ΔΕ, ΕΖ, ΖΑ: dico hexagonum ΑΒΓΔΕΖ æquilaterum eſſe & æquiangulum.

Quoniam enim Η punctum centrum eſt circuli ΑΒΓΔΕΖ, erit ΗΕ ipſi ΗΔ æqualis. rurſus, quoniam Δ centrum eſt circuli ΕΗΓΘ, erit ΔΕ æqualis ΔΗ. ſed ΗΕ ipſi ΗΔ æqualis oſtenſa eſt, ergo ΗΕ ipſi ΕΔ eſt æqualis: æquilaterum igitur eſt ΕΗΔ triangulum, ideoque tres ipſius anguli ΕΗΔ, ΗΔΕ, ΔΕΗ ſunt inter ſe æquales, quoniam [per 5. 1.] triangulorum iſoſcelium anguli ad baſim ſunt inter ſe æquales. & ſunt [per 32. 1.] trianguli tres anguli æquales duobus rectis: angulus igitur ΕΗΔ eſt tertia pars duorum rectorum. ſimiliter oſtendetur & ΔΗΓ duorum rectorum pars tertia. & quoniam [per 13. 1.] recta linea ΓΗ ſuper rectam ΕΒ inſiſtens angulos qui deinceps ſunt ΒΗΓ, ΓΗΒ duobus rectis æquales efficit, erit & reliquus ΓΗΒ pars tertia duorum rectorum: anguli igitur ΕΗΔ, ΔΗΓ, ΓΗΒ inter ſe ſunt æquales. & qui ipſis ad verticem ſunt anguli ΒΗΑ, ΑΗΖ, ΖΗΕ æquales ſunt [per 15. 1.] angulis ΕΗΔ, ΔΗΓ, ΓΗΒ: quare ſex anguli ΕΗΔ, ΔΗΓ, ΓΗΒ, ΒΗΑ, ΑΗΖ, ΖΗΕ ſunt inter ſe æquales. ſed [per 26. 3.] æquales anguli æqualibus circumferentiis inſiſtunt: ſex igitur circumferentiæ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΖ, ΖΑ inter ſe ſunt æquales. æquales autem circumferentias [per 29. 3.] æquales rectæ lineæ ſubtendunt: ergo & ſex rectæ lineæ inter ſe æquales ſunt, ac propterea æquilaterum eſt ΑΒΓΔΕΖ hexagonum. dico & æquiangulum eſſe. quoniam enim circumferentia ΑΖ circumferentiæ ΕΔ eſt æqualis, communis addatur circumferentia ΑΒΓΔ: tota igitur ΖΑΒΓΔ circumferentia æqualis eſt toti circumferentiæ ΕΔΓΒΑ, & circumferentiæ ΖΑΒΓΔ angulus ΖΕΔ inſiſtit, circumferentiæ vero ΕΔΓΒΑ inſiſtit angulus ΑΖΕ: angulus igitur ΑΖΕ [per 27. 3.] angulo ΔΕΖ eſt æqualis. ſimiliter oſtendentur & reliqui anguli hexagoni ΑΒΓΔΕΖ ſigillatim æquales alterutri ipſorum ΑΖΕ, ΖΕΔ: eſt igitur æquiangulum ΑΒΓΔΕΖ hexagonum. oſtenſum autem eſt & æquilaterum eſſe: & inſcriptum eſt in circulo ΑΒΓΔΕΖ.



In dato igitur circulo inſcriptum eſt hexagonum æquilaterum & æquiangulum. quod erat faciendum.

Corollarium.

Ex hoc manifeſtum eſt hexagoni latus circuli ſemidiametro æquale eſſe.

Et ſi per puncta Α, Β, Γ, Δ, Ε, Ζ ducamus contingentes circulum, circa circulum circumſcribetur hexagonum æquilaterum & æquiangulum, ad modum eorum, quæ de pentagono dicta ſunt. ad quorum modum etiam dato hexagono circulum inſcribemus & circumſcribemus.

ΓΔ, ΔΕ, ΕΖ, ΖΑ· λέγω ὅτι τὸ ΑΒΓΔΕΖ ἑξάγωνον ἰσόπλευρόν τε ἐστὶ καὶ ἰσογώνιον.

Ἐπεὶ γὰρ τὸ Η σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓΔΕΖ κύκλου, ἴση ἐστὶν ἡ ΗΕ τῇ ΗΔ. πάλιν, ἐπεὶ τὸ Δ σημεῖον κέντρον ἐστὶ τοῦ ΕΗΓΘ κύκλου, ἴση ἐστὶν ἡ ΔΕ τῇ ΔΗ. ἀλλ' ἡ ΗΕ τῇ ΗΔ ἐδείχθη ἴση, καὶ ἡ ΗΕ ἄρα τῇ ΕΔ ἐστὶν ἴση· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΕΗΔ τρίγωνον, καὶ αἱ τρεῖς ἄρα αὐτοῦ γωνίαι αἱ ὑπὸ ΕΗΔ, ΗΔΕ, ΔΕΗ ἴσαι ἀλλήλαις εἰσίν, ἐπειδήπερ τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσί. καὶ εἰσιν αἱ τρεῖς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι· ἡ ἄρα ὑπὸ ΕΗΔ γωνία τρίτον ἐστὶ δύο ὀρθῶν. ὁμοίως δὴ δειχθήσεται καὶ ἡ ὑπὸ ΔΗΓ τρίτον δύο ὀρθῶν. ἐπεὶ ἡ ΓΗ εὐθεῖα ἐπὶ τὴν ΕΒ συσταθεῖσα τὰς ἐφεξῆς γωνίας τὰς ὑπὸ ΕΗΓ, ΓΗΒ δυσὶν ὀρθαῖς ἴσας ποιεῖ, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΓΗΒ τρίτον ἐστὶ δύο ὀρθῶν. αἱ ἄρα ὑπὸ ΕΗΔ, ΔΗΓ, ΓΗΒ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· ὥστε καὶ αἱ κατὰ κορυφὴν αἱ ὑπὸ ΒΗΑ, ΑΗΖ, ΖΗΕ ἴσαι εἰσὶ τῇς ὑπὸ ΕΗΔ, ΔΗΓ, ΓΗΒ· αἱ ἓξ ἄρα γωνίαι αἱ ὑπὸ ΕΗΔ, ΔΗΓ, ΓΗΒ, ΒΗΑ, ΑΗΖ, ΖΗΕ ἴσαι ἀλλήλαις εἰσίν. αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν· αἱ ἓξ ἄρα περιφέρειαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΖ, ΖΑ ἴσαι ἀλλήλαις εἰσίν. ὑπὸ δὲ τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ἁρμόττουσιν· αἱ ἓξ ἄρα εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕΖ ἑξάγωνον. λέγω δὴ ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΖ περιφέρεια τῇ ΕΔ περιφερείᾳ, κοινὴ προσκείσθω ἡ ΑΒΓΔ περιφέρεια· ὅλη ἄρα ἡ ΖΑΒΓΔ περιφέρεια ὅλῃ τῇ ΕΔΓΒΑ περιφερείᾳ ἐστὶν ἴση, καὶ βέβηκε ἐπὶ μὲν τῆς ΖΑΒΓΔ περιφερείας ἡ ὑπὸ ΖΕΔ γωνία, ἐπὶ δὲ τῆς ΕΔΓΒΑ ἡ ὑπὸ ΑΖΕ γωνία· ἴση ἄρα ἡ ὑπὸ ΑΖΕ γωνία τῇ ὑπὸ ΔΕΖ. ὁμοίως δὲ δειχθήσεται ὅτι καὶ αἱ λοιπαὶ γωνίαι τοῦ ΑΒΓΔΕΖ ἑξαγώνου κατὰ μίαν ἴσαι εἰσὶν ἑκατέρα τῶν ὑπὸ ΑΖΕ, ΖΕΔ γωνιῶν· ἰσογώνιον ἄρα τὸ ΑΒΓΔΕΖ ἑξάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον, καὶ ἐγγέγραπται εἰς τὸν ΑΒΓΔΕΖ κύκλον.

Εἰς ἄρα τὸν δοθέντα κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν ὅτι ἡ τοῦ ἑξαγώνου πλευρὰ ἴση ἐστὶ τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου.

Καὶ ἐὰν διὰ τῶν Α, Β, Γ, Δ, Ε, Ζ σημείων ἐφαπτόμενοι τοῦ κύκλου ἀχθῶσιν, περιγραφήσεται περὶ τὸν κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον, ἀναλόγως τοῖς ἐπὶ τοῦ πενταγώνου εἰρημένοις. καὶ ἔτι διὰ τῶν ὁμοίων τοῖς ἐπὶ τοῦ πενταγώνου εἰρημένοις, εἰς τὸ δοθὲν ἑξάγωνον κύκλον ἐγγράψομέν τε καὶ περιγράψομεν.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ ις'.

Εἰς τὸν δοθέντα κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔ κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τριγώνου μὲν ἰσόπλευρου τὸ εἰς αὐτὸν ἐγγραφόμενον πλευρὰ ἡ ΑΓ, πενταγώνου δὲ ἰσόπλευρος ἡ ΑΒ· οἵων ἄρα ἐστὶν ὁ ΑΒΓΔ κύκλος ἴσων ἁπάντων δεκαπέντε, τοιούτων ἡ μὲν ΑΒΓ περιφέρεια τρίτον ἔσται τοῦ κύκλου ἔσεται πέντε. ἡ δὲ ΑΒ περιφέρεια, πέμπτον ἔσται τοῦ κύκλου, ἔσεται τριῶν· λοιπὴ ἄρα ἡ ΒΓ τῶν ἴσων δύο. τετμήσθω ἡ ΒΓ δίχα κατὰ τὸ Ε, ἑκατέρα ἄρα τῶν ΒΕ, ΕΓ περιφερῶν πεντεκαιδεκατόν ἐστι τοῦ ΑΒΓΔ κύκλου. ἐὰν ἄρα ἐπιζεύξαντες ταῖς ΒΕ, ΕΓ εὐθείας, ἴσας αὐταῖς κατὰ τὸ συνεχὲς εὐθείας ἐναρμόσωμεν εἰς τὸν ΑΒΓΔ κύκλον, ἔσεται εἰς αὐτὸν ἐγγεγραμμένον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον. ὅπερ ἔδει ποιῆσαι.



ΟΜΟΙΩΣ δὲ τοῖς ἐπὶ τοῦ πενταγώνου, ἐὰν λάβωμεν τὰ κατὰ κύκλου διαιρέσεων ἁφαπτομένας τοῦ κύκλου ἀναγράψωμεν, περιγραφήσεται περὶ τὸν κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον. ἔτι δὲ λαβόντες τὰ ὁμοίων τοῖς ἐπὶ τοῦ πενταγώνου εἰρημένοις, καὶ εἰς τὸ δοθὲν πεντεκαιδεκάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον ἐγγράψομέν τε καὶ περιγράψομεν.

PROP. XVI. PROBL.

In dato circulo quindecagonum æquilaterum & æquiangulum inscribere.

SIT datus circulus ΑΒΓΔ: oportet in circulo ΑΒΓΔ quindecagonum æquilaterum & æquiangulum inscribere.

Inscribatur circulo ΑΒΓΔ trianguli quidem æquilateri ipsi inscripti latus ΑΓ, pentagoni vero æquilateri latus ΑΒ: qualium igitur partium circulus ΑΒΓΔ est quindecim, talium circumferentia ΑΒΓ (tertia existens circuli) erit quinque. circumferentia vero ΑΒ, quæ quinta est circuli, erit trium: ergo reliqua ΒΓ est duarum. secetur [per 30 3.] ΒΓ bifariam in puncto Ε: quare utraque ipsarum ΒΕ, ΕΓ circumferentiarum quintadecima pars est ΑΒΓΔ circuli. si igitur jungentes ΒΕ, ΕΓ æquales ipsis in continuum rectas lineas circulo ΑΒΓΔ [per 1. 4.] aptemus, erit in ipso inscriptum quindecagonum æquilaterum & æquiangulum. quod erat faciendum.

AD MODUM autem eorum quæ dicta sunt de pentagono, si per circuli divisiones ducamus rectas lineas circulum contingentes, circa ipsum circumscribetur quindecagonum æquilaterum & æquiangulum. & insuper, ad modum eorum quæ dicta sunt de pentagono, dato quindecagono æquilatero & æquiangulo, circulum inscribemus & circumscribemus.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

EUCLIDIS
ELEMENTORUM
LIBER QUINTUS.

DEFINITIONES.

1. PARS eſt magnitudo magnitudinis, minor majoris, quando minor majorem metitur.

2. Multiplex eſt major minoris, quando minor majorem metitur.

3. * Ratio eſt duarum magnitudinum ejuſdem generis ſecundum quantuplicitatem mutua quædam habitudo.

4. Rationem inter ſe magnitudines habere dicuntur, quæ multiplicatæ ſe invicem ſuperare poſſunt.

5. In eadem ratione magnitudines eſſe dicuntur, prima ad ſecundam & tertia ad quartam; quando primæ & tertiæ æque multiplices ſecundæ & quartæ æque multiplices, juxta quamvis multiplicationem, utraque utramque vel una ſuperant, vel una æquales ſunt, vel una deficiunt inter ſe comparatæ.

6. Magnitudines quæ eandem rationem habent, proportionales vocentur.

7. Quando autem æque multiplicium, multiplex primæ ſuperaverit multiplicem ſecundæ, multiplex autem tertiæ non ſuperaverit multiplicem quartæ: tunc prima ad ſecundam majorem habere dicitur rationem, quam tertia ad quartam.

ΟΡΟΙ.

α'. ΜΕΡΟΣ ἐστὶ μέγεθος μεγέθους, τὸ ἔλασσον τοῦ μείζονος, ὅταν καταμετρῇ τὸ μεῖζον.

β'. Πολλαπλάσιον δὲ τὸ μεῖζον τοῦ ἐλάσσονος, ὅταν καταμετρῆται ὑπὸ τοῦ ἐλάττονος.

γ'. Λόγος ἐστὶ δύο μεγεθῶν ὁμογενῶν ἡ κατὰ πηλικότητα πρὸς ἄλληλα ποιά σχέσις.

δ'. Λόγον ἔχειν πρὸς ἄλληλα μεγέθη λέγεται, ἃ δυνάται πολλαπλασιαζόμενα ἀλλήλων ὑπερέχειν.

ε'. Ἐν τῷ αὐτῷ λόγῳ μεγέθη λέγεται εἶναι, πρῶτον πρὸς δεύτερον καὶ τρίτον πρὸς τέταρτον· ὅταν τὰ τοῦ πρώτου καὶ τρίτου ἰσάκις πολλαπλάσια τοῦ μὲν δευτέρου καὶ τετάρτου ἰσάκις πολλαπλασίων, καθ' ὁποιονοῦν πολλαπλασιασμόν, ἑκάτερον ἅμα ἐλλείπῃ, ἢ ἅμα ἴσα ᾖ, ἢ ἅμα ὑπερέχῃ λαμβανόμενα κατάλληλα.

ς'. Τὰ δὲ τὸν αὐτὸν ἔχοντα λόγον, ἀνάλογον καλείσθω.

ζ'. Ὅταν δὲ τῶν ἰσάκις πολλαπλασίων, τὸ μὲν τοῦ πρώτου πολλαπλάσιον ὑπερέχῃ τοῦ τοῦ δευτέρου πολλαπλασίου, τὸ δὲ τοῦ τρίτου πολλαπλάσιον μὴ ὑπερέχῃ τοῦ τοῦ τετάρτου πολλαπλασίου· τότε τὸ πρῶτον πρὸς τὸ δεύτερον μείζονα λόγον ἔχειν λέγεται, ἤπερ τὸ τρίτον πρὸς τὸ τέταρτον.

* *i. e.* Ratio eſt ea magnitudinum homogenearum inter ſe relatio (ſeu habitudo) qua innuitur quomodo ſe habet altera ad alteram, ſecundum quantuplicitatem conſiderata. Vide Cl. *Wallisii* opera Mathematica, Vol. 2. p. 665.

η'. Ανα-

η'. Ἀναλογία δέ ἐστιν ἡ τῶν λόγων ὁμοιότης.

θ'. Ἀναλογία δὲ ἐν τρισὶν ὅροις ἐλαχίστοις ἐστίν.

ι'. Ὅταν δὲ τρία μεγέθη ἀνάλογον ᾖ, τὸ πρῶτον πρὸς τὸ τρίτον διπλασίονα λόγον ἔχειν λέγεται, ἤπερ πρὸς τὸ δεύτερον.

ια'. Ὅταν δὲ τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ πρῶτον πρὸς τὸ τέταρτον τριπλασίονα λόγον ἔχειν λέγεται, ἤπερ πρὸς τὸ δεύτερον· καὶ ἀεὶ ἑξῆς ἐπὶ πλέον, ἕως ἂν ἡ ἀναλογία ὑπάρχῃ.

ιβ'. Ὁμόλογα μεγέθη λέγεται εἶναι, τὰ μὲν ἡγούμενα τοῖς ἡγουμένοις, τὰ δὲ ἑπόμενα τοῖς ἑπομένοις.

ιγ'. Ἐναλλὰξ λόγος ἐστὶ λῆψις τοῦ ἡγουμένου πρὸς τὸ ἡγούμενον, καὶ τοῦ ἑπομένου πρὸς τὸ ἑπόμενον.

Et quoniam æque multiplex eſt ΗΘ ipſius ΑΕ atque ΘΚ ipſius ΕΒ; erit [per 1. 5.] ΗΘ ipſius ΑΕ æque multiplex atque ΗΚ ipſius ΑΒ. æque autem multiplex eſt ΗΘ ipſius ΑΕ atque ΛΜ ipſius ΓΖ: ergo ΗΚ æque multiplex eſt ipſius ΑΒ atque ΛΜ ipſius ΓΖ. rurſus, quoniam æque multiplex eſt ΛΜ ipſius ΓΖ atque ΜΝ ipſius ΖΔ; erit ΛΜ æque multiplex ipſius ΓΖ atque ΛΝ ipſius ΓΔ. ſed æque multiplex erat ΛΜ ipſius ΓΖ atque ΗΚ ipſius ΑΒ: æque igitur multiplex eſt ΗΚ ipſius ΑΒ atque ΛΝ ipſius ΓΔ: quare ΗΚ, ΛΝ ipſarum ΑΒ, ΓΔ æque multiplices erunt. rurſus, quoniam æque multiplex eſt ΘΚ ipſius ΕΒ atque ΜΝ ipſius ΖΔ; eſt autem & ΚΞ ipſius ΕΒ æque multiplex atque ΝΠ ipſius ΖΔ: etiam [per 2. 5.] compoſita ΘΞ ipſius ΕΒ æque multiplex eſt atque ΜΠ ipſius ΖΔ. cum autem ſit ut ΑΒ ad ΒΕ ita ΓΔ ad ΔΖ, & ſumptæ ſint ipſarum quidem ΑΒ, ΓΔ æque multiplices ΗΚ, ΛΝ, ipſarum vero ΕΒ, ΖΔ aliæ utcunque æque multiplices ΘΞ ΜΠ: igitur [per 5. def. 5.] ſi ΗΚ ſuperat ΘΞ, & ΛΝ ſuperabit ΜΠ; & ſi æqualis, æqualis; & ſi minor, minor. ſuperet igitur ΗΚ ipſam ΘΞ, communique ablata ΘΚ, & ΗΘ ipſam ΚΞ ſuperabit. ſed ſi ΗΚ ſuperat ΘΞ, & ΛΝ ſuperat ΜΠ: ſuperat itaque ΛΝ ipſam ΜΠ; communique ΜΝ ablata, & ΛΜ ſuperabit ΝΠ: quare ſi ΗΘ ſuperat ΚΞ, & ΛΜ ipſam ΝΠ ſuperabit. ſimiliter demonſtrabimus & ſi ΗΘ ſit æqualis ΚΞ, & ΛΜ ipſi ΝΠ eſſe æqualem; & ſi minor, minorem. ſunt autem ΗΘ, ΛΜ ipſarum ΑΕ, ΓΖ æque multiplices, & ipſarum ΕΒ, ΖΔ aliæ utcunque æque multiplices ΚΞ, ΝΠ: ergo [per 5. def. 5.] ut ΑΕ ad ΕΒ ita erit ΓΖ ad ΖΔ.

Si igitur compoſitæ magnitudines ſint proportionales, & diviſæ proportionales erunt. quod erat demonſtrandum.

Prop. XVIII. Theor.

Si diviſæ magnitudines ſint proportionales, & compoſitæ proportionales erunt.

SInt diviſæ magnitudines ΑΕ, ΕΒ, ΓΖ, ΖΔ proportionales, & ut ΑΕ ad ΕΒ ita ΓΖ ad ΖΔ: dico & compoſitas proportionales eſſe; videlicet ut ΑΒ ad ΒΕ ita ΓΔ ad ΔΖ.

Sumantur enim ipſarum quidem ΑΒ, ΕΒ, ΓΔ, ΖΔ æque multiplices ΗΘ, ΘΚ, ΛΜ, ΜΝ; ipſarum vero ΕΒ, ΖΔ aliæ utcunque æque multiplices ΚΞ, ΝΠ.

Et quoniam æque multiplex eſt ΗΘ ipſius ΑΒ atque ΘΚ ipſius ΕΒ; erit [per 1. 5.] ΗΘ ipſius ΑΒ æque multiplex atque ΗΚ ipſius ΑΒ. æque autem multiplex eſt ΗΘ ipſius ΑΒ atque ΛΜ ipſius ΓΔ: ergo ΗΚ æque multiplex eſt ipſius ΑΒ atque ΛΜ ipſius ΓΔ. rurſus, quoniam æque multiplex eſt ΛΜ ipſius ΓΔ atque ΜΝ ipſius ΖΔ; erit ΛΜ æque multiplex ipſius ΓΔ atque ΛΝ ipſius ΓΔ. ſed æque multiplex erat ΛΜ ipſius ΓΔ atque ΗΚ ipſius ΑΒ: æque igitur multiplex eſt ΗΚ ipſius ΑΒ atque ΛΝ ipſius ΓΔ: quare ΗΚ, ΛΝ ipſarum ΑΒ, ΓΔ æque multiplices erunt. rurſus, quoniam æque multiplex eſt ΘΚ ipſius ΕΒ atque ΜΝ ipſius ΖΔ; eſt autem & ΚΞ ipſius ΕΒ æque multiplex atque ΝΠ ipſius ΖΔ: etiam [per 2. 5.] compoſita ΘΞ ipſius ΕΒ æque multiplex eſt atque ΜΠ ipſius ΖΔ. cum autem ſit ut ΑΒ ad ΒΕ ita ΓΔ ad ΔΖ, & ſumptæ ſint ipſarum quidem ΑΒ, ΓΔ æque multiplices ΗΚ, ΛΝ, ipſarum vero ΕΒ, ΖΔ aliæ utcunque æque multiplices ΘΞ ΜΠ: igitur [per 5. def. 5.] ſi ΗΚ ſuperat ΘΞ, & ΛΝ ſuperabit ΜΠ; & ſi æqualis, æqualis; & ſi minor, minor. ſuperet igitur ΗΚ ipſam ΘΞ, communique ablata ΘΚ, & ΗΘ ipſam ΚΞ ſuperabit. ſed ſi ΗΚ ſuperat ΘΞ, & ΛΝ ſuperat ΜΠ: ſuperat itaque ΛΝ ipſam ΜΠ; communique ΜΝ ablata, & ΛΜ ſuperabit ΝΠ: quare ſi ΗΘ ſuperat ΚΞ, & ΛΜ ipſam ΝΠ ſuperabit. ſimiliter demonſtrabimus & ſi ΗΘ ſit æqualis ΚΞ, & ΛΜ ipſi ΝΠ eſſe æqualem; & ſi minor, minorem. ſunt autem ΗΘ, ΛΜ ipſarum ΑΕ, ΓΖ æque multiplices, & ipſarum ΕΒ, ΖΔ aliæ utcunque æque multiplices ΚΞ, ΝΠ: ergo [per 5. def. 5.] ut ΑΕ ad ΕΒ ita erit ΓΖ ad ΖΔ.

Si igitur compoſitæ magnitudines ſint proportionales, & diviſæ proportionales erunt. quod erat demonſtrandum.

Προτασις ιη'.

Εὰν διηρημένα μεγέθη ἀνάλογον ᾖ, καὶ συντεθέντα ἀνάλογον ἔσαι.

ΕΣτω διηρημένα μεγέθη ἀνάλογον, τὰ ΑΕ, ΕΒ, ΓΖ, ΖΔ, ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ ἕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ: λέγω ὅτι καὶ συντεθέντα ἀνάλογον ἔσαι, ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ ἕτως τὸ ΓΔ πρὸς τὸ ΔΖ.

Εἰλήφθω γὰρ τῶν μὲν ΑΕ, ΕΒ, ΓΖ, ΖΔ ἰσάκις πολλαπλάσια τὰ ΗΘ, ΘΚ, ΛΜ, ΜΝ· τῶν δὲ ΕΒ, ΖΔ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια, τὰ ΚΞ, ΝΠ.



Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΑΕ καὶ τὸ ΘΚ τοῦ ΕΒ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΑΕ ϗ τὸ ΗΚ τοῦ ΑΒ. ἰσάκις δὲ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΑΕ ϗ τὸ ΛΜ, τοῦ ΓΖ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΗΚ τοῦ ΑΒ καὶ τὸ ΛΜ τοῦ ΓΖ. πάλιν, ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΛΜ τοῦ ΓΖ ϗ τὸ ΜΝ τοῦ ΖΔ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΛΜ τοῦ ΓΖ καὶ τὸ ΛΝ τοῦ ΓΔ. ἰσάκις δὲ ἓν πολλαπλάσιον τὸ ΛΜ τοῦ ΓΖ ϗ τὸ ΗΚ τοῦ ΑΒ. ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΗΚ τοῦ ΑΒ καὶ τὸ ΛΝ τοῦ ΓΔ· τὰ ΗΚ, ΛΝ ἄρα τῶν ΑΒ, ΓΔ ἰσάκις ἐστὶ πολλαπλάσια. πάλιν, ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΘΚ τοῦ ΕΒ ϗ τὸ ΜΝ τοῦ ΖΔ, ἔστι δὲ ϗ τὸ ΚΞ τοῦ ΕΒ ἰσάκις πολλαπλάσιον ϗ τὸ ΝΠ τοῦ ΖΔ· ϗ συντεθὲν τὸ ΘΞ τοῦ ΕΒ ἰσάκις ἐστὶ πολλαπλάσιον ϗ τὸ ΜΠ τοῦ ΖΔ. καὶ ἐπεί ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ ἕτως τὸ ΓΔ πρὸς τὸ ΔΖ, ϗ εἴληπται τῶν μὲν ΑΒ, ΓΔ ἰσάκις πολλαπλάσια τὰ ΗΚ, ΛΝ, τῶν δὲ ΕΒ, ΖΔ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ ΘΞ, ΜΠ· εἰ ἄρα ὑπερέχει τὸ ΗΚ τοῦ ΘΞ, ὑπερέχει καὶ τὸ ΛΝ τοῦ ΜΠ· ϗ εἰ ἴσον, ἴσον· ϗ εἰ ἔλαττον, ἔλαττον. ὑπερεχέτω δὴ τὸ ΗΚ τοῦ ΘΞ, ϗ κοινοῦ ἀφαιρεθέντος τοῦ ΘΚ, ὑπερέχει ἄρα ϗ τὸ ΗΘ τοῦ ΚΞ. ἀλλ' εἰ ὑπερέχει τὸ ΗΚ τοῦ ΘΞ, ὑπερέχει καὶ τὸ ΛΝ τοῦ ΜΠ· ὑπερέχει ἄρα καὶ τὸ ΛΝ τοῦ ΜΠ, ϗ κοινοῦ ἀφαιρεθέντος τοῦ ΜΝ ὑπερέχει καὶ τὸ ΛΜ τοῦ ΝΠ· ὥστε εἰ ὑπερέχει τὸ ΗΘ τοῦ ΚΞ, ὑπερέχει καὶ τὸ ΛΜ τοῦ ΝΠ. ὁμοίως δὴ δείξομεν ὅτι κἂν ἴσον ᾖ τὸ ΗΘ τῷ ΚΞ, ἴσον ἔσαι καὶ τὸ ΛΜ τῷ ΝΠ· κἂν ἔλαττον, ἔλαττον. καὶ ἔστι δὲ τὰ μὲν ΗΘ, ΛΜ τῶν ΑΕ, ΓΖ ἰσάκις πολλαπλάσια, τὰ δὲ ΚΞ, ΝΠ τῶν ΕΒ, ΖΔ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ ἕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ.

Ἐαν ἄρα συγκείμενα μεγέθη ἀνάλογον ᾖ, καὶ διαιρεθέντα ἀνάλογον ἔσαι. ὅπερ ἔδει δεῖξαι.

πρὸς τὸ ΖΔ· λέγω ὅτι καὶ συνθέντι ἀνάλογον ἔσται, ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ οὕτως τὸ ΓΔ πρὸς τὸ ΖΔ.

Εἰ γὰρ μή ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ οὕτως τὸ ΓΔ πρὸς τι τοῦ ΖΔ ἔσται ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ οὕτως τὸ ΓΔ, ἤτοι πρὸς ἔλασσόν τι τοῦ ΖΔ, ἢ πρὸς μεῖζον.

Ἔστω πρότερον πρὸς ἔλασσον, τὸ ΔΗ. ἐπεί ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΗ, συγκείμενα μεγέθη ἀνάλογόν εἰσιν· ὥστε καὶ διαιρεθέντα ἀνάλογον ἔσται· ἔστιν ἄρα ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΗ πρὸς τὸ ΗΔ. κατέκειτο δὲ καὶ ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ· καὶ ὡς ἄρα τὸ ΓΗ πρὸς τὸ ΗΔ οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ. μεῖζον δὲ τὸ πρῶτον τὸ ΓΗ τοῦ τρίτου τοῦ ΓΖ· μεῖζον ἄρα καὶ τὸ δεύτερον τὸ ΗΔ τοῦ τετάρτου τοῦ ΖΔ. ἀλλὰ καὶ ἔλαττον, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἐστὶν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ οὕτως τὸ ΓΔ πρὸς ἔλασσόν τι τοῦ ΖΔ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ πρὸς μεῖζον· πρὸς αὐτὸ ἄρα.

Ἐὰν ἄρα διηρημένα μεγέθη ἀνάλογον ᾖ, καὶ συνθέντα ἀνάλογον ἔσται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Ἐὰν ἡ ὡς ὅλοι πρὸς ὅλον οὕτως ἀφαιρεθὲν πρὸς ἀφαιρεθέν, καὶ τὸ λοιπὸν πρὸς τὸ λοιπὸν ἔσται ὡς ὅλος πρὸς ὅλον.

Ἔστω γὰρ ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ οὕτως ἀφαιρεθὲν τὸ ΑΕ πρὸς ἀφαιρεθὲν τὸ ΓΖ· λέγω ὅτι καὶ λοιπὸν τὸ ΕΒ πρὸς λοιπὸν τὸ ΖΔ ἔσται ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ οὕτως τὸ ΑΕ πρὸς τὸ ΓΖ· καὶ ἐναλλὰξ ὡς τὸ ΒΑ πρὸς τὸ ΑΕ οὕτως τὸ ΔΓ πρὸς τὸ ΓΖ. καὶ ἐπεὶ συγκείμενα μεγέθη ἀνάλογόν εἰσι, καὶ διαιρεθέντα ἀνάλογον ἔσται· ὡς ἄρα τὸ ΒΕ πρὸς τὸ ΕΑ οὕτως τὸ ΔΖ πρὸς τὸ ΓΖ· καὶ ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ΒΕ πρὸς τὸ ΔΖ οὕτως τὸ ΕΑ πρὸς τὸ ΖΓ. ὡς δὲ τὸ ΑΕ πρὸς τὸ ΓΖ οὕτως ὑπόκειται ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ· καὶ λοιπὸν ἄρα τὸ ΕΒ πρὸς λοιπὸν τὸ ΖΔ ἔσται ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ.

Ἐὰν ἄρα ἡ ὡς ὅλον πρὸς ὅλον οὕτως ἀφαιρεθὲν πρὸς ἀφαιρεθέν, καὶ τὸ λοιπὸν πρὸς τὸ λοιπὸν ἔσται ὡς ὅλον πρὸς ὅλον. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

* Καὶ ἐπεὶ ἐδείχθη ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ οὕτως τὸ ΕΒ πρὸς τὸ ΖΔ· καὶ ἐναλλὰξ ὡς τὸ ΑΒ πρὸς

ad ΖΔ: dico etiam compositas proportionales esse; videlicet ut ΑΒ ad ΒΕ ita esse ΓΔ ad ΖΔ.

Si enim non est ut ΑΒ ad ΒΕ ita ΓΔ ad ΖΔ; erit ut ΑΒ ad ΒΕ ita ΓΔ vel ad minorem quam ΖΔ, vel ad majorem.

Sit primum ad minorem, nempe ad ΔΗ. & quoniam est ut ΑΒ ad ΒΕ ita ΓΔ ad ΔΗ, compositæ magnitudines sunt proportionales: ergo [per 17. 5.] & divisæ proportionales erunt: est igitur ut ΑΕ ad ΕΒ ita ΓΗ ad ΗΔ. ponitur autem & ut ΑΕ ad ΕΒ ita ΓΖ ad ΖΔ: quare [per 11. 5.] & ut ΓΗ ad ΗΔ ita ΓΖ ad ΖΔ. at prima ΓΗ major est quam tertia ΓΖ: ergo [per 14. 5.] & secunda ΗΔ major erit quam quarta ΖΔ. sed & minor, quod fieri non potest: non est igitur ut ΑΒ ad ΒΕ ita ΓΔ ad minorem quam ΖΔ. Similiter ostendemus neque esse ad majorem: est igitur ad ipsam.

Quare si divisæ magnitudines sint proportionales, & compositæ proportionales erunt, quod erat demonstrandum.

Prop. XIX. Theor.

Si fuerit ut tota ad totam ita ablata ad ablatam; erit reliqua ad reliquam ut tota ad totam.

SIT enim ut tota ΑΒ ad totam ΓΔ ita ablata ΑΕ ad ablatam ΓΖ; dico & reliquam ΕΒ ad reliquam ΖΔ ita esse ut tota ΑΒ ad totam ΓΔ.

Quoniam enim est ut tota ΑΒ ad totam ΓΔ ita ΑΕ ad ΓΖ; & alterne erit [per 16. 5.] ut ΒΑ ad ΑΕ ita ΔΓ ad ΓΖ. & quoniam compositæ magnitudines sunt proportionales, & [per 17. 5.] divisæ proportionales erunt: ut igitur ΒΕ ad ΕΑ ita ΔΖ ad ΓΖ; rursusque alterne, ut ΒΕ ad ΔΖ, ita ΕΑ ad ΖΓ. sed ut ΑΕ ad ΓΖ ita posita est ΑΒ ad ΓΔ: & igitur [per 11. 5.] reliqua ΕΒ erit ad reliquam ΖΔ ut tota ΑΒ ad totam ΓΔ.

Quare si fuerit ut tota ad totam ita ablata ad ablatam; erit reliqua ad reliquam ut tota ad totam. quod erat demonstrandum.

Corollarium.

Et quoniam ostensum est [per 16. 5.] ut ΑΒ ad ΓΔ ita esse ΕΒ ad ΖΔ; si fuerit alterne ut

* *Corruptissimus est hic locus; nec ope veterum exemplarium restitui potest: versionem ideo mutavimus, ne sensus conflaret. Magis legitima tamen demonstratio conversionis rationis est hæc.* Si sit ΑΒ ad ΒΕ ut ΓΔ ad ΔΖ, erit, dividendo, ΑΕ ad ΒΕ ut ΓΖ ad ΔΖ: &, invertendo, ΒΕ ad ΑΕ ut ΔΖ ad ΓΖ: &, componendo, erit ΑΒ ad ΑΕ, ut ΓΔ ad ΓΖ, quod est per conversionem rationis.

AB ad BE ita ΓΔ ad ΔZ; nempe compoſitæ magnitudines proportionales. oſtenſum autem eſt [per 16. & 19. 5.] ut AB ad AE ita eſſe ΓΔ ad ΓZ, quod [per 17. def. 5.] eſt per converſionem rationis. Ex hoc igitur perſpicuum eſt ſi compoſitæ magnitudines ſint proportionales, & per converſionem rationis proportionales eſſe. quod erat demonſtrandum.

Prop. XX. Theor.

Si ſint tres magnitudines, & aliæ ipſis numero æquales, quæ binæ ſumantur in eadem ratione, ex æquo autem prima major ſit quam tertia: & quarta quam ſexta major erit; & ſi æqualis, æqualis; & ſi minor, minor.

SInt tres magnitudines A, B, Γ, & aliæ ipſis numero æquales Δ, E, Z, binæ ſumptæ in eadem ratione, ſitque ut A ad B ita Δ ad E, & ut B ad Γ ita E ad Z, ex æquo autem major ſit A quam Γ: dico & Δ quam Z majorem eſſe; & ſi æqualis, æqualem; & ſi minor, minorem.



Quoniam enim A major eſt quam Γ, alia vero utcunque B, & [per 8. 5.] major ad eandem majorem habet rationem quam minor; habebit A ad B majorem rationem quam Γ ad B. ſed ut A ad B ita Δ ad E; & invertendo ut Γ ad B ita Z ad E: ergo & Δ ad E majorem habet rationem quam Z ad E. ad eandem vero rationem habentium, quæ majorem habet rationem illa [per 10. 5.] major eſt; major igitur eſt Δ quam Z. Similiter oſtendemus, & ſi A ſit æqualis Γ & Δ ipſi Z æqualem eſſe; & ſi minor, minorem.

Si igitur ſint tres magnitudines, & aliæ ipſis numero æquales, quæ binæ ſumantur in eadem ratione, ex æquo autem prima major ſit quam tertia: & quarta quam ſexta major erit; & ſi æqualis, æqualis; & ſi minor, minor. quod erat demonſtrandum.

Prop. XXI. Theor.

Si ſint tres magnitudines, & aliæ ipſis numero æquales, quæ binæ ſumantur & in eadem ratione; ſit autem perturbata earum proportio, & ex æquo prima major ſit quam tertia: & quarta quam ſexta major erit; & ſi æqualis, æqualis; & ſi minor, minor.

SInt tres magnitudines A, B, Γ, & aliæ ipſis numero æquales Δ, E, Z, binæ ſumptæ &

τὸ BE ἕτως τὸ ΓΔ πρὸς τὸ ΔZ· συγκείμθω ἄρα μείζων ἀνάλογον ἔσται. ἐδείχθη δὲ ὡς τὸ AB πρὸς τὸ AE ἕτως τὸ ΓΔ πρὸς τὸ ΓZ, ἡ ἔσται ἀναστρέψαντι. Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν συγκείμθω μείζων ἀνάλογον ᾖ, καὶ ἀναστρέψαντι ἀνάλογον ἔσται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κ'.

Ἐὰν ᾖ τρία μεγέθη, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος συνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, δίσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ· καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται· κἂν ἴσον, ἴσον· κἂν ἔλασσον, ἔλασσον.

Ἔστω τρία μεγέθη τὰ A, B, Γ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, E, Z, συνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ὡς μὲν τὸ A πρὸς τὸ B ἕτως τὸ Δ πρὸς τὸ E, ὡς δὲ τὸ B πρὸς τὸ Γ ἕτως τὸ E πρὸς τὸ Z, δίσου δὲ μεῖζον ἔστω τὸ A τοῦ Γ· λέγω ὅτι καὶ τὸ Δ τοῦ Z μεῖζον ἔσται· κἂν ἴσον, ἴσον· κἂν ἔλασσον, ἔλασσον.



Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ A τοῦ Γ, ἄλλο δέ τι ὑπόκειται τὸ B, τὸ δὲ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλαττον· τὸ A ἄρα πρὸς τὸ B μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ B. ἀλλὰ ὡς μὲν τὸ A πρὸς τὸ B ἕτως τὸ Δ πρὸς τὸ E, ὡς δὲ τὸ Γ πρὸς τὸ B ἀνάπαλιν ἕτως τὸ Z πρὸς τὸ E· καὶ τὸ Δ ἄρα πρὸς τὸ E μείζονα λόγον ἔχει ἤπερ τὸ Z πρὸς τὸ E. τῶν δὲ πρὸς τὸ αὐτὸ λόγον ἐχόντων, τὸ τὴν μείζονα λόγον ἔχον ἐκεῖνο μεῖζόν ἐστι· μεῖζον ἄρα τὸ Δ τοῦ Z. ὁμοίως δὴ δείξομεν, ὅτι κἂν ἴσον ᾖ τὸ A τῷ Γ, ἴσον ἔσται καὶ τὸ Δ τῷ Z· κἂν ἔλαττον, ἔλαττον.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος συνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, δίσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ· καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται· κἂν ἴσον, ἴσον· κἂν ἔλαττον, ἔλαττον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κα'.

Ἐὰν ᾖ τρία μεγέθη, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος συνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ᾗ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, δίσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ· καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται· κἂν ἴσον, ἴσον· κἂν ἔλασσον, ἔλασσον.

Ἔστω τρία μεγέθη τὰ A, B, Γ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, E, Z συνδυο λαμβανόμενα

ἐανόμωμα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἔστω ἡ ταραγμένη αὐτῶν ἡ ἀναλογία, ὡς μὲν τὸ Α πρὸς τὸ Β οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Β πρὸς τὸ Γ οὕτως τὸ Δ πρὸς τὸ Ε, διὰ δὲ τὸ Α τοῦ Γ μεῖζον ἔστω· λέγω ὅτι καὶ τὸ Δ τοῦ Ζ μεῖζον ἔσται· καὶ ἂν ἴσον, ἴσον· καὶ ἐλάττον, ἔλαττον.



Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ Α τοῦ Γ, ἄλλο δέ τι τὸ Β· τὸ Α ἄρα πρὸς τὸ Β μεῖζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. ἀλλὰ ὡς μὲν τὸ Α πρὸς τὸ Β οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Γ πρὸς τὸ Β ἀναπαλιν οὕτως τὸ Ε πρὸς τὸ Δ· καὶ τὸ Ε ἄρα πρὸς τὸ Ζ μεῖζονα λόγον ἔχει, ἤπερ τὸ Ε πρὸς τὸ Δ. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν· ἔλασσον ἄρα ἐστὶ τὸ Ζ τοῦ Δ· μεῖζον ἄρα τὸ Δ τοῦ Ζ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἴσον, ἴσον· δηλονότι καὶ ἐὰν ἡ τὸ Α τῷ Γ, ἴσον ἔσεσθαι καὶ τὸ Δ τῷ Ζ· καὶ ἐὰν ἔλασσον, ἔλασσον.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἡ δὲ ταραγμένη αὐτῶν ἡ ἀναλογία, καὶ δι' ἴσου τὸ πρῶτον τοῦ τρίτου μεῖζον ἢ· καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται· καὶ ἴσον, ἴσον· καὶ ἔλασσον, ἔλασσον. ὅπερ ἔδει δεῖξαι.

is in eadem ratione; sit autem perturbata earum proportio, videlicet ut A ad B ita E ad Z, ut vero B ad Γ ita Δ ad E, & ex æquo A major sit quam Γ: dico & Δ quam Z majorem esse; & si æqualis, æqualem; & si minor, minorem.

Quoniam enim major est A quam Γ, alia vero B; habebit [per 8. 5.] A ad B majorem rationem quam Γ ad B. sed ut A ad B ita E ad Z, & invertendo ut Γ ad B ita E ad Δ: quare & B ad Z majorem habebit rationem quam B ad Δ: ad quam vero eadem majorem habet rationem [per 10. 5.] illa minor est: minor igitur est Z quam Δ: ac propterea Δ quam Z major erit. Similiter ostendemus & si æqualis, æqualem: *viz.* si A sit æqualis Γ, & Δ ipsi Z esse æqualem; & si minor, minorem.

Si igitur sint tres magnitudines, & aliæ ipsis æquales numero, quæ binæ sumantur & in eadem ratione; sit autem perturbata earum proportio, & ex æquo prima major sit quam tertia; & quarta quam sexta major erit; & si æqualis, æqualis; & si minor, minor. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κβ'.

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ· καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.

Prop. XXII. Theor.

Si sint quotcunque magnitudines, & aliæ ipsis numero æquales, quæ binæ sumantur in eadem ratione; & ex æquo in eadem ratione erunt.

Ἔστω ὁποσαοῦν μεγέθη τὰ Α, Β, Γ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, Ε, Ζ συνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ὡς μὲν τὸ Α πρὸς τὸ Β οὕτως τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ τὸ Β πρὸς τὸ Γ οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω ὅτι καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται, ὡς τὸ Α πρὸς τὸ Γ οὕτως τὸ Δ πρὸς τὸ Ζ.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, καὶ ἔτι τῶν Γ, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Μ, Ν.

Sint quotcunque magnitudines A, B, Γ, & aliæ ipsis numero æquales Δ, E, Z binæ sumptæ in eadem ratione, ut A quidem ad B ita Δ ad E, ut autem B ad Γ ita E ad Z: dico & ex æquo in eadem ratione esse ut A ad Γ ita Δ ad Z.



Sumantur enim ipsarum quidem A, Δ æque multiplices H, Θ, ipsarum vero B, E aliæ utcunque æque multiplices K, Λ, & ipsarum Γ, Z aliæ utcunque æque multiplices M, N.

Καὶ ἐπεὶ ἐστιν ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Δ πρὸς τὸ Ε, καὶ εἴληπται τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια

Quoniam igitur est ut A ad B ita Δ ad E, & sumptæ sunt ipsarum A, Δ æque multiplices

H, Θ, & ipſarum B, E aliæ utcunque æque multiplices K, Λ; erit [per 4. 5.] ut H ad K ita Θ ad Λ. eadem quoque ratione erit ut K ad M ita Λ ad N. & cum ſint tres magnitudines H, K, M, & aliæ ipſis numero æquales Θ, Λ, N binæ ſumptæ & in eadem ratione: ex æquo igitur [per 20. 5.] ſi H ſuperat M & Θ ipſam N ſuperabit; & ſi æqualis, æqualis; & ſi minor, minor. ſuntque H, Θ ipſarum A, Δ æque multiplices, & M, N ipſarum Γ, Z aliæ utcunque æque multiplices: ut igitur A ad Γ ita erit [per 5. def. 5.] Δ ad Z.



Quare ſi ſint quotcunque magnitudines, & aliæ ipſis numero æquales, quæ binæ ſumantur in eadem ratione; & ex æquo in eadem ratione erunt. quod erat demonſtrandum.

τὰ H, Θ, τῶν δὲ B, E ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ K, Λ· ἔστιν ἄρα ὡς τὸ H πρὸς τὸ K οὕτως τὸ Θ πρὸς τὸ Λ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ K πρὸς τὸ M οὕτως τὸ Λ πρὸς τὸ N. ἐπεὶ οὖν τρία μεγέθη ἐστὶ τὰ H, K, M, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος Θ, Λ, N σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ· δι᾽ ἴσου ἄρα εἰ ὑπερέχει τὸ H τοῦ M, ὑπερέχει καὶ τὸ Θ τοῦ N· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. καὶ ἔστι τὰ μὲν H, Θ τῶν A, Δ ἰσάκις πολλαπλάσια, τὰ δὲ M, N τῶν Γ, Z ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ A πρὸς τὸ Γ οὕτως τὸ Δ πρὸς τὸ Z.



Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ· καὶ δι᾽ ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται. ὅπερ ἔδει δεῖξαι.

Prop. XXIII. Theor.

Si ſint tres magnitudines, & aliæ ipſis numero æquales, quæ binæ ſumantur in eadem ratione, ſit autem perturbata earum proportio; & ex æquo in eadem ratione erunt.

Sint tres magnitudines A, B, Γ, & aliæ ipſis numero æquales binæ ſumptæ in eadem ratione Δ, E, Z, ſit autem perturbata earum proportio, *viz.* ut A ad B ita E ad Z, & ut B ad Γ ita Δ ad E: dico ut A ad Γ ita eſſe Δ ad Z.

Sumantur ipſarum quidem A, B, Δ æque multiplices H, Θ, K, ipſarum vero Γ, E, Z aliæ utcunque æque multiplices Λ, M, N.

Et quoniam H, Θ æque multiplices ſunt ipſarum A, B; partes autem [per 15. 5.] eandem habent rationem quam earum æque multiplices; erit ut A ad B ita H ad Θ. & ſimili ratione ut E ad Z ita M ad N: atque eſt ut A ad B ita E ad Z. ut igitur H ad Θ ita [per 11. 5.] M ad N. &, quoniam eſt ut B ad Γ ita Δ ad E, & ſumptæ ſunt ipſarum quidem B, Δ æque multiplices Θ, K, ipſarum vero



ΠΡΟΤΑΣΙΣ κγ'.

Ἐὰν ᾖ τρία μεγέθη, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ ταραγμένη αὐτῶν ἡ ἀναλογία· καὶ δι᾽ ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.

Ἔστω τρία μεγέθη τὰ A, B, Γ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ τὰ Δ, E, Z, ἔστω δὲ ταραγμένη αὐτῶν ἡ ἀναλογία, ὡς μὲν τὸ A πρὸς τὸ B οὕτως τὸ E πρὸς τὸ Z, ὡς δὲ τὸ B πρὸς τὸ Γ οὕτως τὸ Δ πρὸς τὸ E· λέγω ὅτι ἐστὶν ὡς τὸ A πρὸς τὸ Γ οὕτως τὸ Δ πρὸς τὸ Z.

Εἰλήφθω τῶν μὲν A, B, Δ ἰσάκις πολλαπλάσια τὰ H, Θ, K, τῶν δὲ Γ, E, Z ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Λ, M, N.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσια τὰ H, Θ τῶν A, B, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον· ἔστιν ἄρα ὡς τὸ A πρὸς τὸ B οὕτως τὸ H πρὸς τὸ Θ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ E πρὸς τὸ Z οὕτως τὸ M πρὸς τὸ N· καὶ ἔστιν ὡς τὸ A πρὸς τὸ B οὕτως τὸ E πρὸς τὸ Z. καὶ ὡς ἄρα τὸ H πρὸς τὸ Θ οὕτως τὸ M πρὸς τὸ N. καὶ ἐπεὶ ἐστιν ὡς τὸ B πρὸς τὸ Γ οὕτως τὸ Δ πρὸς τὸ E, καὶ ἐναλλὰξ τῶν μὲν B, Δ ἰσάκις πολλαπλάσια τὰ Θ, K,



τ̃ ἢ Γ, Ε ἄλλα ἃ ἐτυχεν ἰσάκις πολλαπλάσια τὰ Λ, Μ· ἔστι ἄρα ὡς τὸ Θ πρὸς τὸ Λ ὕτως τὸ Κ πρὸς τὸ Μ. ἐδείχθη δὲ καὶ ὡς τὸ Η πρὸς τὸ Θ ὕτως τὸ Μ πρὸς τὸ Ν· * ἐπεὶ οὖν τρία μεγέθη ἐστὶ, τὰ Η, Θ, Λ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, τὰ Κ, Μ, Ν, συνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ἔστιν αὐτῶν ταραγμένη ἡ ἀναλογία· δι᾽ ἴσου ἄρα εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. καὶ ἔστι τὰ μὲν Η, Κ τ̃ Λ, Δ ἰσάκις πολλαπλάσια, τὰ δὲ Λ, Ν τ̃ Γ, Ζ· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ ὕτως τὸ Δ πρὸς τὸ Ζ.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος συνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ ταραγμένη αὐτῶν ἡ ἀναλογία· καὶ δι᾽ ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται. ὅπερ ἔδει δεῖξαι.

Γ, Β aliæ utcunque æque multiplices Λ, Μ; erit [per 15. 5.] ut Θ ad Λ ita Κ ad Μ. oſtenſum autem eſt & ut Η ad Θ ita eſſe Μ ad Ν: quoniam igitur tres ſunt magnitudines Η, Θ, Λ, & aliæ ipſis numero æquales Κ, Μ, Ν binæ ſumptæ in eadem ratione, eſtque perturbata earum proportio, ex æquo [per 21. 5.] ſi Η ſuperat Λ, & Κ ipſam Ν ſuperabit; & ſi æqualis, æqualis; & ſi minor, minor. ſunt autem Η, Κ ipſarum Α, Δ æque multiplices, & Λ, Ν æque multiplices ipſarum Γ, Ζ: ut igitur Α ad Γ ita erit [per 5. def. 5.] Δ ad Ζ.

Quare ſi fuerint tres magnitudines, & aliæ ipſis numero æquales, quæ binæ ſumantur in eadem ratione, ſit autem perturbata earum proportio; & ex æquo in eadem ratione erunt: quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κδ'.

Ἐὰν πρῶτον πρὸς δεύτερον τ̃ αὐτὸν ἔχῃ λόγον ᾗ τρίτον πρὸς τέταρτον, ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τ̃ αὐτὸν λόγον καὶ ἕκτον πρὸς τέταρτον· καὶ συντεθὲν πρῶτον καὶ πέμπτον πρὸς δεύτερον τ̃ αὐτὸν ἕξει λόγον καὶ τρίτον καὶ ἕκτον πρὸς τέταρτον.

Prop. XXIV. Theor.

Si prima ad ſecundam eandem habeat rationem quam tertia ad quartam; habeat autem & quinta ad ſecundam eandem rationem quam ſexta ad quartam: & compoſita è prima & quinta ad ſecundam eandem rationem habebit quam compoſita è tertia & ſexta ad quartam.

Πρῶτον γὰρ τὸ ΑΒ πρὸς δεύτερον τὸ Γ τ̃ αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ ΔΕ πρὸς τέταρτον τὸ Ζ· ἐχέτω δὲ καὶ πέμπτον τὸ ΒΗ πρὸς δεύτερον τὸ Γ τ̃ αὐτὸν λόγον καὶ ἕκτον τὸ ΕΘ πρὸς τέταρτον τὸ Ζ· λέγω ὅτι καὶ συντεθὲν τὸ πρῶτον καὶ πέμπτον τὸ ΑΗ πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν ἕξει λόγον καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ πρὸς τέταρτον τὸ Ζ.



Ἐπεὶ γάρ ἐστιν ὡς τὸ ΒΗ πρὸς τὸ Γ ὕτως τὸ ΕΘ πρὸς τὸ Ζ· ἀνάπαλιν ἄρα ὡς τὸ Γ πρὸς τὸ ΒΗ ὕτως τὸ Ζ πρὸς τὸ ΕΘ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ Γ ὕτως τὸ ΔΕ πρὸς τὸ Ζ, ὡς δὲ τὸ Γ πρὸς τὸ ΒΗ ὕτως τὸ Ζ πρὸς τὸ ΕΘ· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΗ ὕτως τὸ ΔΕ πρὸς τὸ ΕΘ. καὶ ἐπεὶ διῃρημένα μεγέθη ἀνάλογόν ἐστιν, καὶ συντεθέντα ἀνάλογον ἔσται· ὡς ἄρα τὸ ΑΗ πρὸς τὸ ΗΒ ὕτως τὸ ΔΘ πρὸς τὸ ΘΕ. ἔστι δὲ καὶ ὡς τὸ ΗΒ πρὸς τὸ Γ ὕτως τὸ ΕΘ πρὸς τὸ Ζ· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς τὸ ΑΗ πρὸς τὸ Γ ὕτως τὸ ΔΘ πρὸς τὸ Ζ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τ̃ αὐτὸν ἔχῃ λόγον ᾗ τρίτον πρὸς τέταρτον, ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τ̃ αὐτὸν λόγον καὶ ἕκτον πρὸς τέταρτον· καὶ συντεθὲν πρῶτον καὶ πέμπτον πρὸς δεύτερον τ̃ αὐτὸν ἕξει λόγον καὶ τρίτον καὶ ἕκτον πρὸς τέταρτον. ὅπερ ἔδει δεῖξαι.

PRima enim ΑΒ ad ſecundam Γ eandem habeat rationem quam tertia ΔΕ ad quartam Ζ: habeat autem & quinta ΒΗ ad ſecundam Γ rationem eandem quam ſexta ΕΘ ad quartam Ζ: dico & compoſitam è prima & quinta ΑΗ ad ſecundam Γ eandem habere rationem quam compoſita è tertia & ſexta ΔΘ ad quartam Ζ.



Quoniam enim eſt ut ΒΗ ad Γ ita ΕΘ ad Ζ; erit invertendo [per cor. 4. 5.] ut Γ ad ΒΗ ita Ζ ad ΕΘ. & quoniam ut ΑΒ ad Γ ita eſt ΔΕ ad Ζ, ut autem Γ ad ΒΗ ita Ζ ad ΕΘ; erit ex æquo [per 22. 5.] ut ΑΒ ad ΒΗ ita ΔΕ ad ΕΘ. cum autem diviſæ magnitudines ſint proportionales, & [per 18. 5.] compoſitæ proportionales erunt: ut igitur ΑΗ ad ΗΒ ita eſt ΔΘ ad ΘΕ. ut autem ΗΒ ad Γ ita ΕΘ ad Ζ: ergo ex æquo [per 22. 5.] ut ΑΗ ad Γ ita erit ΔΘ ad Ζ.

Si igitur prima ad ſecundam eandem habeat rationem quam tertia ad quartam; habeat autem & quinta ad ſecundam eandem rationem quam ſexta ad quartam: & compoſita è prima & quinta ad ſecundam eandem rationem habebit quam compoſita è tertia & ſexta ad quartam. quod erat demonſtrandum.

* Antea fuit ἐπεὶ οὖν τρία μεγέθη ἐστὶν ἀνάλογον.

Prop. XXV. Theor.

Si quatuor magnitudines fuerint proportionales, maxima ipſarum & minima duabus reliquis majores erunt.

Ἔστω πέσσαρα μεγέθη ἀνάλογον, τὰ ΑΒ, ΓΔ, Ε, Ζ, ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ ἕτως τὸ Ε πρὸς τὸ Ζ, ἔστω δὲ μέγιστον αὐτῶν τὸ ΑΒ, ἐλάχιστον δὲ τὸ Ζ· λέγω ὅτι τὰ ΑΒ, Ζ τῶν ΓΔ, Ε μείζονά ἐστι.

Κείσθω γὰρ τῷ μὲν Ε ἴσον τὸ ΑΗ, τῷ δὲ Ζ ἴσον τὸ ΓΘ.



Ἐπεὶ οὖν ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ ἕτως τὸ Ε πρὸς τὸ Ζ, ἴσον δὲ τῷ μὲν Ε τὸ ΑΗ, τῷ δὲ Ζ τὸ ΓΘ· ἔστιν ἄρα ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ ἕτως τὸ ΑΗ πρὸς τὸ ΓΘ. καὶ ἐπεί ἐστιν ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ ἕτως ἀφαιρεθὲν τὸ ΑΗ πρὸς ἀφαιρεθὲν τὸ ΓΘ· καὶ λοιπὸν ἄρα τὸ ΗΒ πρὸς λοιπὸν τὸ ΘΔ ἔσται ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ. μεῖζον δὲ τὸ ΑΒ τοῦ ΓΔ· μεῖζον ἄρα καὶ τὸ ΗΒ τοῦ ΘΔ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν ΑΗ τῷ Ε, τὸ δὲ ΓΘ τῷ Ζ· τὰ ἄρα ΑΗ, Ζ ἴσα ἐστὶ τοῖς ΓΘ, Ε. καὶ ἐπεὶ ἐὰν ἀνίσοις ἴσα προστεθῇ, τὰ ὅλα ἐστὶν ἄνισα· ἐὰν ἄρα τῶν ΗΒ, ΘΔ ἀνίσων ὄντων, καὶ μείζονος τοῦ ΗΒ, τῷ ΗΒ προστεθῇ τὰ ΑΗ, Ζ, τῷ δὲ ΘΔ προστεθῇ τὰ ΓΘ, Ε, συνάγεται τὰ ΑΒ, Ζ μείζονα τῶν ΓΔ, Ε.

Ἐὰν ἄρα πέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ μέγιστον αὐτῶν καὶ τὸ ἐλάχιστον δύο τῶν λοιπῶν μείζονά ἐστιν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κε'.

Ἐὰν πέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ μέγιστον καὶ τὸ ἐλάχιστον δύο τῶν λοιπῶν μείζονά ἐστιν.

SInt quatuor magnitudines proportionales AB, ΓΔ, E, Z, & ſit ut AB ad ΓΔ ita E ad Z; ſit autem maxima ipſarum AB, & Z minima: dico AB & Z ipſis ΓΔ & E majores eſſe.

Ponatur enim ipſi quidem E æqualis AH, ipſi vero Z æqualis ΓΘ.



Quoniam igitur eſt ut AB ad ΓΔ ita E ad Z, eſtque AH æqualis E, & ΓΘ æqualis Z; erit ut AB ad ΓΔ ita AH ad ΓΘ. & quoniam eſt ut tota AB ad totam ΓΔ ita ablata AH ad ablatam ΓΘ; erit [per 19. 5.] & reliqua HB ad reliquam ΘΔ ut tota AB ad totam ΓΔ. major autem eſt [ex hyp.] AB quam ΓΔ; ergo & HB major eſt quam ΘΔ. cum autem AH ſit æqualis ipſi E, & ΓΘ ipſi Z; erunt AH & Z æquales ipſis ΓΘ & E. ſi autem inæqualibus æqualia addantur, tota erunt inæqualia: cum igitur HB, ΘΔ ſint inæqualia, ſitque major HB, ſi ipſi quidem HB addantur AH & Z, ipſi vero ΘΔ addantur ΓΘ & E, fient AB & Z ipſis ΓΔ & E majores.

Si igitur quatuor magnitudines fuerint proportionales, maxima ipſarum & minima duabus reliquis majores erunt. quod erat demonſtrandum.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΩΝ ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

EUCLIDIS ELEMENTORUM LIBER SEXTUS.

ΟΡΟΙ.

α'. Ὅμοια σχήματα εὐθύγραμμά ἐστιν, ὅσα τάς τε γωνίας ἴσας ἔχει κατὰ μίαν, καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον.

β'. Ἀντιπεπονθότα δὲ σχήματά ἐστιν, ὅταν ἑκατέρῳ τῶν σχημάτων ἡγούμενοί τε καὶ ἑπόμενοι λόγοι ὦσιν.

γ'. Ἄκρον καὶ μέσον λόγον εὐθεῖα τετμῆσθαι λέγεται, ὅταν ἡ ὡς ἡ ὅλη πρὸς τὸ μεῖζον τμῆμα, οὕτως τὸ μεῖζον πρὸς τὸ ἔλασσον.

δ'. Ὕψος ἐστὶ παντὸς σχήματος ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἀγομένη.

ε'. Λόγος ἐκ λόγων συγκεῖσθαι λέγεται, ὅταν αἱ τῶν λόγων πηλικότητες ἐφ' ἑαυτὰς πολλαπλασιαθεῖσαι ποιῶσί * τινά.

DEFINITIONES.

1. Similes figuræ rectilineæ ſunt, quæ & ſingulos angulos ſingulis æquales habent, & circa æquales angulos latera proportionalia.

2. Reciprocæ figuræ ſunt, quando in utraque figura antecedentes & conſequentes rationum termini fuerint.

3. Secundum extremam ac mediam rationem recta linea ſecta eſſe dicitur, quando ut tota ad majus ſegmentum ita majus ſegmentum ad minus ſe habuerit.

4. Altitudo cujuſque figuræ eſt linea perpendicularis à vertice ad baſim ducta.

5. Ratio ex rationibus componi dicitur, quando rationum † quantitates inter ſe multiplicatæ illius faciunt quantitatem.

ΠΡΟΤΑΣΙΣ α'.

Τὰ τρίγωνα καὶ τὰ παραλληλόγραμμα, τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα, πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις.

PROPOSITIO I. PROBLEMA.

Triangula & parallelogramma, quæ eandem habent altitudinem, ſunt inter ſe ut baſes.

Ἔστω τρίγωνα μὲν τὰ ΑΒΓ, ΑΓΔ, παραλληλόγραμμα δὲ τὰ ΕΓ, ΓΖ, ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα, τὸ δοθὲν δὴ Α ἐπὶ τὴν ΒΔ κάθετον ἀγομένην· λέγω ὅτι ἐστὶν ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, καὶ τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον.

Sint triangula quidem ΑΒΓ, ΑΓΔ, parallelogramma vero ΕΓ, ΓΖ, quæ eandem habent altitudinem, videlicet perpendicularem à puncto Α ad ΒΔ ductam: dico ut baſis ΒΓ ad ΓΔ baſim ita eſſe triangulum ΑΒΓ ad triangulum ΑΓΔ, & parallelogrammum ΕΓ ad ΓΖ parallelogrammum.

* Ita cum *Theone.* in libb. vulgatis *πολύς.* † Rectius *exponentes* vertit *Cl. Wallisius*; cum *rationis exponens* ſit *menſura* quantitatis *ejuſdem.* vide *Opera ejus mathematica*, vol. 2. p. 666.

Producatur enim ΒΔ ex utraque parte ad puncta Θ, Λ, & ipſi quidem baſi ΒΓ æquales quotcunque ponantur ΒΗ, ΗΘ, ipſi vero baſi ΓΔ ponantur quotcunque æquales ΔΚ, ΚΛ, & ΑΗ, ΑΘ, ΑΚ, ΑΛ jungantur.

Quoniam igitur ΓΒ, ΒΗ, ΗΘ inter ſe ſunt æquales, erunt [per 38. 1.] & triangula ΑΗΘ, ΑΗΒ, ΑΒΓ inter ſe æqualia: ergo quam multiplex eſt baſis ΘΓ ipſius ΒΓ baſis, tam multiplex eſt ΑΘΓ triangulum trianguli ΑΒΓ. eadem ratione quam multiplex eſt baſis ΛΓ ipſius baſis ΓΔ, tam multiplex eſt & triangulum ΑΛΓ ipſius ΑΓΔ trianguli; & [per 38. 1.] ſi æqualis eſt baſis ΘΓ baſi ΓΛ, & triangulum ΑΘΓ triangulo ΑΛΓ eſt æquale; & ſi baſis ΘΓ baſim ΓΛ ſuperat, & triangulum ΑΘΓ ſuperabit triangulum ΑΛΓ; & ſi minor, minus erit. quatuor igitur magnitudinibus exiſtentibus, videlicet duabus baſibus ΒΓ, ΓΔ & duobus triangulis ΑΒΓ, ΑΓΔ, ſumpta ſunt æque multiplicia, baſis quidem ΒΓ & ΑΒΓ trianguli, videlicet ΘΓ baſis & ΑΘΓ triangulum; baſis vero ΓΔ & trianguli ΑΓΔ alia utcunque æque multiplicia, nempe ΓΛ baſis & ΑΛΓ triangulum. atque oſtenſum eſt, ſi baſis ΘΓ baſim ΓΛ ſuperat, & triangulum ΑΘΓ ſuperare triangulum ΑΛΓ; & ſi æqualis, æquale; & ſi minor, minus: eſt igitur [per 5. def. 5.] ut ΒΓ baſis ad baſim ΓΔ ita triangulum ΑΒΓ ad ΑΓΔ triangulum.



Et quoniam [per 41. 1.] trianguli ΑΒΓ duplum eſt parallelogrammum ΕΓ, & trianguli ΑΓΔ parallelogrammum ΖΓ duplum, partes autem [per 15. 5.] eandem inter ſe rationem habent quam earum æque multiplices; erit ut ΑΒΓ triangulum ad triangulum ΑΓΔ ita parallelogrammum ΕΓ ad ΖΓ parallelogrammum. quoniam igitur oſtenſum eſt, ut baſis ΒΓ ad ΓΔ baſim ita eſſe ΑΒΓ triangulum ad triangulum ΑΓΔ; ut autem ΑΒΓ triangulum ad triangulum ΑΓΔ ita parallelogrammum ΕΓ ad ΖΓ paralellogrammum: erit [per 11. 5.] ut ΒΓ baſis ad baſim ΓΔ ita parallelogrammum ΕΓ ad ΖΓ parallelogrammum.

Triangula igitur & parallelogramma, quæ eandem habent altitudinem, ſunt inter ſe ut baſes. quod erat demonſtrandum.

Prop. II. Theor.

Si uni laterum trianguli parallela recta linea ducatur, hæc proportionaliter ſecabit ipſius trianguli latera: & ſi trian-

Ἐκβεβλήσθω γὰρ ἡ ΒΔ ἐφ' ἑκάτερα τὰ μέρη, ὅπου τὰ Θ, Λ σημεῖα, καὶ κείσθωσαν τῇ μὲν ΒΓ βάσει ἴσαι ὁσαιδηποτοῦν αἱ ΒΗ, ΗΘ, τῇ δὲ ΓΔ βάσει ἴσαι ὁσαιδηποτοῦν αἱ ΔΚ, ΚΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΑΘ, ΑΚ, ΑΛ.

Καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΓΒ, ΒΗ, ΗΘ ἀλλήλαις, ἴσα ἐστὶ καὶ τὰ ΑΗΘ, ΑΗΒ, ΑΒΓ τρίγωνα ἀλλήλοις· ὁσαπλάσιον ἄρα ἐστὶν ἡ ΘΓ βάσις τῆς ΒΓ βάσεως, τοσαυταπλάσιον ἐστὶ καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΒΓ τριγώνου. διὰ τὰ αὐτὰ δὴ ὁσαπλάσιον ἐστὶν ἡ ΛΓ βάσις τῆς ΓΔ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΑΛΓ τρίγωνον τοῦ ΑΓΔ τριγώνου· καὶ εἰ ἴση ἐστὶν ἡ ΘΓ βάσις τῇ ΓΛ βάσει, ἴσον ἐστὶ καὶ τὸ ΑΘΓ τρίγωνον τῷ ΑΛΓ τριγώνῳ· καὶ εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως, ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΛΓ τριγώνου· καὶ εἰ ἐλάσσων, ἔλασσον. τεσσάρων δὴ ὄντων μεγεθῶν, δύο μὲν βάσεων τῶν ΒΓ, ΓΔ δύο δὲ τριγώνων τῶν ΑΒΓ, ΑΓΔ, εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΒΓ βάσεως καὶ τοῦ ΑΒΓ τριγώνου, ἤτοι ΘΓ βάσις καὶ τὸ ΑΘΓ τρίγωνον· τῆς δὲ ΓΔ βάσεως καὶ τοῦ ΑΓΔ τριγώνου ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια, ἤτοι ΓΛ βάσις καὶ τὸ ΑΛΓ τρίγωνον. καὶ δέδεικται ὅτι εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως, ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΛΓ τριγώνου· καὶ εἰ ἴση, ἴσον· καὶ εἰ ἐλάττων, ἔλαττον· ἔστιν ἄρα ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον.

Καὶ ἐπεὶ τοῦ μὲν ΑΒΓ τριγώνου διπλάσιόν ἐστι τὸ ΕΓ παραλληλόγραμμον, τοῦ δὲ ΑΓΔ τριγώνου διπλάσιόν ἐστι τὸ ΖΓ παραλληλόγραμμον, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον· ἔστιν ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΖΓ παραλληλόγραμμον. ἐπεὶ οὖν ἐδείχθη, ὡς ἡ μὲν ΒΓ βάσις πρὸς τὴν ΓΔ οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ, ὡς δὲ τὸ ΑΒΓ πρὸς τὸ ΑΓΔ οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΖΓ παραλληλόγραμμον· καὶ ὡς ἄρα ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΖΓ παραλληλόγραμμον.

Τὰ ἄρα τρίγωνα καὶ τὰ παραλληλόγραμμα, τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα, πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα παράλληλος, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς· καὶ ἐὰν αἱ τοῦ τριγώ-

τὴν πλευρὰν ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα παράλληλος ἔσται τῇ λοιπῇ τοῦ τριγώνου πλευρᾷ τῇ ΒΓ.

Τριγώνου γὰρ τοῦ ΑΒΓ παράλληλος μιᾷ τῶν πλευρῶν τῇ ΒΓ ἤχθω ἡ ΔΕ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΓΔ.

Ἴσον ἄρα ἐστὶ τὸ ΒΔΕ τρίγωνον τῷ ΓΔΕ τριγώνῳ, ἐπὶ γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς ΔΕ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΔΕ, ΒΓ. ἄλλο δέ τι τὸ ΑΔΕ τρίγωνον· τὰ δὲ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον· ἔστιν ἄρα ὡς τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον. ἀλλ' ὡς μὲν τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΑ· ὑπὸ γὰρ τὸ αὐτὸ ὕψος ὄντα, τὴν ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΒ κάθετον ἀγομένην, πρὸς ἀλλήλα εἰσὶν ὡς αἱ βάσεις. διὰ τὰ αὐτὰ δή, ὡς τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ· καὶ ὡς ἄρα ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ.



Ἀλλὰ δὴ αἱ τοῦ ΑΒΓ τριγώνου πλευραὶ αἱ ΑΒ, ΑΓ ἀνάλογον τετμήσθωσαν κατὰ τὰ Δ, Ε σημεῖα, ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ, καὶ ἐπεζεύχθω ἡ ΔΕ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΔΕ τῇ ΒΓ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεί ἐστιν ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ, ἀλλ' ὡς μὲν ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ, ὡς δὲ ἡ ΓΕ πρὸς τὴν ΕΑ οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ· καὶ ὡς ἄρα τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ. ἑκάτερον ἄρα τῶν ΒΔΕ, ΓΔΕ τριγώνων πρὸς τὸ ΑΔΕ τρίγωνον τὸν αὐτὸν ἔχει λόγον. ἴσον ἄρα ἐστὶ τὸ ΒΔΕ τρίγωνον τῷ ΓΔΕ τριγώνῳ· καὶ εἰσὶν ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΔΕ. τὰ δὲ ἴσα τρίγωνα καὶ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν· παράλληλος ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΒΓ.

Ἐὰν ἄρα τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα παράλληλος, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς· καὶ ἐὰν αἱ τοῦ τριγώνου πλευραὶ ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα παράλληλος ἔσται τῇ λοιπῇ τοῦ τριγώνου πλευρᾷ. ὅπερ ἔδει δεῖξαι.

guli latera proportionaliter ſecta fuerint, quæ ſectiones conjungit recta linea reliquo trianguli lateri parallela erit.

TRianguli enim ΑΒΓ uni laterum ΒΓ parallela ducatur ΔΕ: dico ut ΒΔ ad ΔΑ ita eſſe ΓΕ ad ΕΑ.

Jungantur enim ΒΕ, ΓΔ.

Triangulum igitur ΒΔΕ [per 37. 1.] triangulo ΓΔΕ eſt æquale; in eadem enim ſunt baſi ΔΕ & intra eaſdem parallelas ΔΕ, ΒΓ. aliud autem triangulum eſt ΑΔΕ; & [per 7. 5.] æqualia ad idem eandem habent rationem: ergo ut triangulum ΒΔΕ ad triangulum ΑΔΕ ita eſt ΓΔΕ triangulum ad triangulum ΑΔΕ. ut autem triangulum ΒΔΕ ad triangulum ΑΔΕ ita eſt ΒΔ ad ΔΑ: nam cum eandem altitudinem habeant, videlicet perpendicularem à puncto Ε ad ΑΒ ductam [per 1. 6.] inter ſe ſunt ut baſes. & ob eandem cauſam ut ΓΔΕ triangulum ad triangulum ΑΔΕ ita ΓΕ ad ΕΑ: ut igitur ΒΔ ad ΔΑ ita eſt [per 11. 5.] ΓΕ ad ΕΑ.

SED trianguli ΑΒΓ latera ΑΒ, ΑΓ proportionaliter ſecta ſint in punctis Δ, Ε, ut ΒΔ ad ΔΑ ita ſit ΓΕ ad ΕΑ, & jungatur ΔΕ: dico ΔΕ ipſi ΒΓ parallelam eſſe.

Iiſdem enim conſtructis, quoniam eſt ut ΒΔ ad ΔΑ ita ΓΕ ad ΕΑ; ut autem ΒΔ ad ΔΑ ita [per 1. 6.] ΒΔΕ triangulum ad triangulum ΑΔΕ; & ut ΓΕ ad ΕΑ ita ΓΔΕ triangulum ad triangulum ΑΔΕ: erit [per 11. 5.] ut triangulum ΒΔΕ ad triangulum ΑΔΕ ita ΓΔΕ triangulum ad triangulum ΑΔΕ. utrumque igitur triangulorum ΒΔΕ, ΓΔΕ ad triangulum ΑΔΕ eandem habet rationem. ideo [per 9. 5.] triangulum ΒΔΕ triangulo ΓΔΕ æquale eſt: & ſunt ſuper eadem baſi ΔΕ. æqualia autem triangula & ſuper eadem baſi conſtituta [per 39. 1.] etiam intra eaſdem ſunt parallelas. ergo ΔΕ ipſi ΒΓ parallela eſt.

Si igitur uni laterum trianguli parallela recta linea ducta fuerit, hæc proportionaliter ſecabit ipſius trianguli latera: & ſi trianguli latera proportionaliter ſecta fuerint, quæ ſectiones conjungit recta linea reliquo trianguli lateri parallela erit. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν τριγώνου γωνία δίχα τμηθῇ, ἡ δὲ τέμνουσα τὴν γωνίαν εὐθεῖα τέμνῃ καὶ τὴν βάσιν, τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἕξει λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς· καὶ ἐὰν τὰ τῆς βάσεως

PROP. III. THEOR.

Si trianguli angulus bifariam ſecetur, ſecans autem angulum recta linea ſecet etiam baſim; baſis ſegmenta eandem rationem habebunt quam reliqua trianguli latera: & ſi baſis ſegmenta

menta eandem habeant rationem, quam reliqua trianguli latera; quæ à vertice ad ſectionem ducitur recta linea trianguli angulum bifariam ſecabit.

τμήματα τ αὐτὸν ἔχῃ λόγον ταῖς λοιπαῖς τ τριγώνυ πλευραῖς, ἀπὸ τ κορυφῆς ἐπὶ τ τομὴν ἐπιζευγνυμένη εὐθεῖα δίχα τέμνει τ τ τριγώνυ γωνίαν.

SIT triangulum ABΓ, & ſecetur angulus BAΓ bifariam à recta linea AΔ: dico ut BΔ ad ΔΓ ita eſſe BA ad AΓ.

Ducatur enim [per 31. 1.] per Γ ipſi ΔA parallela ΓE, & producta BA conveniat cum ipſa in puncto E.

Quoniam igitur in parallelas AΔ, EΓ incidit recta linea AΓ; erit [per 29. 1.] AΓE angulus angulo ΓAΔ æqualis. ſed ΓAΔ angulus ponitur æqualis angulo BAΔ: ergo & BAΔ ipſi AΓE angulo æqualis erit. rurſus, quoniam in parallelas AΔ, EΓ recta linea BAE incidit, exterior angulus BAΔ æqualis eſt [per 29. 1.] interiori AEΓ. oſtenſus autem eſt & angulus AΓE angulo BAΔ æqualis; ergo & AΓE ipſi AEΓ æqualis erit: & propterea [per 6. 1.] latus AE æquale lateri AΓ. & quoniam uni laterum trianguli BΓE, videlicet ipſi EΓ, parallela ducta eſt AΔ; erit [per 2. 6.] ut BΔ ad ΔΓ ita BA ad AE. æqualis autem eſt AE ipſi AΓ: eſt igitur [per 7. 5.] ut BΔ ad ΔΓ ita BA ad AΓ.



SIT autem ut BΔ ad ΔΓ ita BA ad AΓ; & AΔ jungatur: dico angulum BAΓ bifariam ſectum eſſe à recta linea AΔ.

Iiſdem enim conſtructis, quoniam eſt ut BΔ ad ΔΓ ita BA ad AΓ; eſt autem [per 2. 6.] ut BΔ ad ΔΓ ita BA ad AE (etenim uni laterum trianguli BΓE, videlicet ipſi EΓ, parallela ducta eſt AΔ) erit ut BA ad AΓ ita BA ad AE: ergo [per 9. 5.] AΓ eſt æqualis AE, ac propterea [per 5. 1.] & angulus AEΓ angulo AΓE æqualis. ſed angulus quidem AEΓ [per 29. 1.] eſt æqualis angulo exteriori BAΔ, angulus vero AΓE æqualis alterno ΓAΔ: quare & BAΔ angulus ipſi ΓAΔ æqualis erit. angulus igitur BAΓ bifariam ſectus eſt à recta linea AΔ.

Ergo ſi trianguli angulus bifariam ſecetur, ſecans autem angulum recta linea ſecet etiam baſim; baſis ſegmenta eandem rationem habebunt quam reliqua trianguli latera: & ſi baſis ſegmenta eandem habeant rationem, quam reliqua trianguli latera; quæ à vertice ad ſectionem ducitur recta linea trianguli angulum bifariam ſecabit. quod erat demonſtrandum.

ΕΣτω τρίγωνον τὸ ABΓ, καὶ τετμήσθω ἡ ὑπὸ BAΓ γωνία δίχα ὑπὸ τ AΔ εὐθείας· λέγω ὅτι ἐστὶν ὡς ἡ BΔ πρὸς τ ΔΓ ἕτως ἡ BA πρὸς τ AΓ.

Ηχθω γὰρ διὰ τ Γ τῇ ΔA παράλληλος ἡ ΓE, καὶ διαχθεῖσα ἡ BA συμπιπτέτω αὐτῇ κατὰ τὸ E.

Καὶ ἐπεὶ εἰς παραλλήλους τὰς AΔ, EΓ εὐθεῖα ἐμπέπτωκεν ἡ AΓ, ἡ ἄρα ὑπὸ AΓE γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΓAΔ. ἀλλ' ἡ ὑπὸ ΓAΔ τῇ ὑπὸ BAΔ ὑπόκειται ἴση· καὶ ἡ ὑπὸ BAΔ ἄρα τῇ ὑπὸ AΓE ἐστὶν ἴση. πάλιν, ἐπεὶ εἰς παραλλήλους τὰς AΔ, EΓ εὐθεῖα ἐνέπεσεν ἡ BAE, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ BAΔ ἴση ἐστὶ τῇ ἐντὸς τῇ ὑπὸ AEΓ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ AΓE τῇ ὑπὸ BAΔ ἴση, καὶ ἡ ὑπὸ AΓE τῇ ὑπὸ AEΓ ἐστὶν ἴση· ὥστε καὶ πλευρὰ ἡ AE πλευρᾷ τῇ AΓ ἐστὶν ἴση. καὶ ἐπεὶ τριγώνυ τὸ BΓE παρὰ μίαν τῶν πλευρῶν τὴν EΓ ἦκται ἡ AΔ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ BΔ πρὸς τὴν ΔΓ ἕτως ἡ BA πρὸς τὴν AE. ἴση δὲ ἡ AE τῇ AΓ· ἔστιν ἄρα ὡς ἡ BΔ πρὸς τὴν ΔΓ ἕτως ἡ BA πρὸς τὴν AΓ.

ΑΛΛΑ δὴ ἔστω ὡς ἡ BΔ πρὸς τὴν ΔΓ ἕτως ἡ BA πρὸς τὴν AΓ, καὶ ἐπεζεύχθω ἡ AΔ· λέγω ὅτι δίχα τέτμηται ἡ ὑπὸ BAΓ γωνία ὑπὸ τ AΔ εὐθείας.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ ἐστὶν ὡς ἡ BΔ πρὸς τὴν ΔΓ ἕτως ἡ BA πρὸς τὴν AΓ, ἀλλὰ καὶ ὡς ἡ BΔ πρὸς τὴν ΔΓ ἕτως ἡ BA πρὸς τὴν AE· τριγώνυ γὰρ τὸ BΓE παρὰ μίαν τ πλευρῶν τὴν EΓ ἦκται παράλληλος ἡ AΔ· καὶ ὡς ἄρα ἡ BA πρὸς τὴν AΓ ἕτως ἡ BA πρὸς τὴν AE· ἴση ἄρα ἡ AΓ τῇ AE, ὥστε καὶ γωνία ἡ ὑπὸ AEΓ γωνίᾳ τῇ ὑπὸ AΓE ἐστὶν ἴση. ἀλλ' ἡ μὲν ὑπὸ AEΓ τῇ ἐκτὸς τῇ ὑπὸ BAΔ ἐστὶν ἴση, ἴση δὲ καὶ ἡ ὑπὸ AΓE τῇ ἐναλλὰξ τῇ ὑπὸ ΓAΔ· καὶ ἡ ὑπὸ BAΔ ἄρα τῇ ὑπὸ ΓAΔ ἐστὶν ἴση. ἡ ἄρα ὑπὸ BAΓ δίχα τέτμηται ὑπὸ τ AΔ εὐθείας.

Ἐὰν ἄρα τριγώνυ γωνία δίχα τμηθῇ, ἡ δὲ τέμνουσα αὐτὴν εὐθεῖα τέμνει καὶ τὴν βάσιν, τὰ τῆς βάσεως τμήματα τ αὐτὸν ἕξει λόγον τοῖς λοιπαῖς τ τριγώνυ πλευραῖς· καὶ ἐὰν τὰ τ βάσεως τμήματα τ αὐτὸν ἔχῃ λόγον τοῖς λοιπαῖς τ τριγώνυ πλευραῖς, ἡ ἀπὸ τ κορυφῆς ἐπὶ τὴν τομὴν ἐπιζευγνυμένη εὐθεῖα δίχα τέμνει τ γωνίαν. ὅπερ ἔδει δεῖξαι.

PROP.

ΠΡΟΤΑΣΙΣ δ'.

Τῶν ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι πλευραί.

Prop. IV. Theor.

Æquiangulorum triangulorum proportionalia ſunt latera quæ circum æquales angulos; & homologa ſunt latera quæ æqualibus angulis ſubtenduntur.

Ἔστωσαν ἰσογώνια τρίγωνα τὰ ΑΒΓ, ΔΓΕ, ἴσην ἔχοντα τὴν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΔΓΕ, τὴν δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, καὶ ἔτι τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΓΔΕ· λέγω ὅτι τῶν ΑΒΓ, ΔΓΕ τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι πλευραί.

SInt æquiangula triangula ΑΒΓ, ΔΓΕ, quæ angulum quidem ΑΒΓ angulo ΔΓΕ, angulum vero ΑΓΒ angulo ΔΕΓ æqualem habeant, & præterea angulum ΒΑΓ angulo ΓΔΕ: dico triangulorum ΑΒΓ, ΔΓΕ proportionalia eſſe latera, quæ ſunt circa æquales angulos; & homologa eſſe latera quæ æqualibus angulis ſubtenduntur.



Κείσθω γὰρ ἐπ' εὐθείας ἡ ΒΓ τῇ ΓΕ. καὶ ἐπεὶ αἱ ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσιν, ἴση δὲ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, αἱ ἄρα ὑπὸ ΑΒΓ, ΔΕΓ δύο ὀρθῶν ἐλάσσονές εἰσιν· αἱ ΒΑ, ΕΔ ἄρα ἐκβαλλόμεναι συμπεσοῦνται. ἐκβεβλήσθωσαν, καὶ συμπιπτέτωσαν κατὰ τὸ Ζ.

Ponatur enim ΒΓ in directum ipſi ΓΕ. & quoniam [per 17. 1.] anguli ΑΒΓ, ΑΓΒ duobus rectis ſunt minores, æqualis autem eſt angulus ΑΓΒ angulo ΔΕΓ; erunt ΑΒΓ, ΔΕΓ anguli duobus rectis minores: quare [per 11. ax.] ΒΑ, ΕΔ productæ inter ſe convenient producantur, & conveniant in puncto Ζ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΓΕ γωνία τῇ πρὸς τῷ Β, τῇ ΑΒΓ, παράλληλος ἄρα ἐστὶν ἡ ΒΖ τῇ ΓΔ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΖΕ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΑΓΔ· ἴση ἄρα ἡ μὲν ΖΑ τῇ ΓΔ, ἡ δὲ ΑΓ τῇ ΖΔ. καὶ ἐπεὶ τριγώνου τοῦ ΖΒΕ παρὰ μίαν τῶν πλευρῶν τὴν ΖΕ ἦκται ἡ ΑΓ, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΖ οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΕ. ἴση δὲ ἡ ΑΖ τῇ ΓΔ· ὡς ἄρα ἡ ΒΑ πρὸς τὴν ΓΔ οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ. πάλιν, ἐπεὶ παραλληλός ἐστιν ἡ ΓΔ τῇ ΒΖ, ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΕ οὕτως ἡ ΖΔ πρὸς τὴν ΔΕ. ἴση δὲ ἡ ΔΖ τῇ ΑΓ· ὡς ἄρα ἡ ΒΓ πρὸς τὴν ΓΕ οὕτως ἡ ΑΓ πρὸς τὴν ΕΔ, ἐναλλὰξ ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΑ οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ. ἐπεὶ οὖν ἐδείχθη ὡς μὲν ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ, ὡς δὲ ἡ ΒΓ πρὸς τὴν ΓΑ οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ· δι' ἴσου ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΕ.

Ponatur enim ΒΓ in directum ipſi ΓΕ. & quoniam [per 17. 1.] anguli ΑΒΓ, ΑΓΒ duobus rectis ſunt minores, æqualis autem eſt angulus ΑΓΒ angulo ΔΕΓ; erunt ΑΒΓ, ΔΕΓ anguli duobus rectis minores: quare [per 11. ax.] ΒΑ, ΕΔ productæ inter ſe convenient producantur, & conveniant in puncto Ζ.

Et quoniam angulus ΔΓΕ æqualis eſt angulo ΑΒΓ; erit [per 28. 1.] ΒΖ ipſi ΓΔ parallela. rurſus, quoniam æqualis eſt angulus ΑΓΒ angulo ΔΕΓ, parallela erit ΑΓ ipſi ΖΕ: parallelogrammum igitur eſt ΖΑΓΔ; ac propterea [per 34. 1.] ΖΑ quidem ipſi ΓΔ; ΑΓ vero ipſi ΖΔ eſt æqualis. & quoniam uni laterum trianguli ΖΒΕ, videlicet ipſi ΖΕ, parallela ducta eſt ΑΓ; erit [per 2. 6.] ut ΒΑ ad ΑΖ ita ΒΓ ad ΓΕ. æqualis autem eſt ΑΖ ipſi ΓΔ: ut igitur ΒΑ ad ΓΔ ita [per 7. 5.] ΒΓ ad ΓΕ, & alterne [per 16. 5.] ut ΑΒ ad ΒΓ ita ΔΓ ad ΓΕ. rurſus, quoniam ΓΔ parallela eſt ΒΖ, erit ut ΒΓ ad ΓΕ ita ΖΔ ad ΔΕ. ſed ΔΖ eſt æqualis ΑΓ: ergo ut ΒΓ ad ΓΕ ita ΑΓ ad ΕΔ, & alterne ut ΒΓ ad ΓΑ ita ΓΕ ad ΕΔ. itaque quoniam oſtenſum eſt, ut ΑΒ ad ΒΓ ita ΔΓ ad ΓΕ, ut autem ΒΓ ad ΓΑ ita ΓΕ ad ΕΔ; erit ex æquo [per 22. 5.] ut ΒΑ ad ΑΓ ita ΓΔ ad ΔΕ.

Τῶν ἄρα ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι πλευραί. ὅπερ ἔδει δεῖξαι.

Æquiangulorum igitur triangulorum proportionalia ſunt latera quæ circum æquales angulos, & homologa ſunt latera quæ æqualibus angulis ſubtenduntur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα· καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν.

Prop. V. Theor.

Si duo triangula latera habeant proportionalia, æquiangula erunt triangula; & æquales habebunt angulos, quibus homologa latera ſubtenduntur.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς πλευρὰς ἀνάλογον ἔχοντα, ὡς μὲν τὴν ΑΒ πρὸς τὴν

SInt duo triangula ΑΒΓ, ΔΕΖ, quæ latera proportionalia habeant; ſitque ut ΑΒ quidem

dem ad BΓ ita ΔE ad EZ; ut autem BΓ ad ΓA ita EZ ad ZΔ; & adhuc ut BA ad AΓ ita EΔ ad ΔZ: dico triangulum ABΓ triangulo ΔEZ æquiangulum esse, & æquales habere angulos quibus homologa latera subtenduntur; angulum quidem ABΓ angulo ΔEZ, angulum vero BΓA angulo EZΔ; & præterea angulum BAΓ angulo EΔZ.

Constituatur enim [per 23. 1.] ad rectam lineam EZ, & ad puncta in ipsa E, Z, angulo quidem ABΓ æqualis angulus ZEH; angulo autem BΓA angulus EZH: quare [per 32. 1.] reliquus BAΓ angulus reliquo EHZ est æqualis.

Ideoque æquiangulum est triangulum ABΓ triangulo EHZ; triangulorum igitur ABΓ, EHZ [per 4. 6.] proportionalia sunt latera, quæ circum æquales angulos, & homologa quæ æqualibus angulis subtenduntur: ergo ut AB ad BΓ ita HE ad EZ. sed ut AB ad BΓ ita ΔE ad EZ: ut igitur ΔE ad EZ ita [per 11. 5.] HE ad EZ: utraque igitur ipsarum ΔE, HE eandem habet rationem ad EZ; & idcirco [per 9. 5.] erit ΔE ipsi HE æqualis. eadem ratione & ΔZ æqualis erit HZ. itaque quoniam ΔE est æqualis EH, communis autem EZ: duæ ΔE, EZ duabus HE, EZ sunt æquales, & basis ΔZ basi HZ æqualis: angulus igitur ΔEZ est [per 8. 1.] æqualis angulo HEZ. & ΔEZ triangulum æquale triangulo HEZ, & reliqui anguli reliquis angulis æquales, quibus æqualia latera subtenduntur: angulus igitur ΔZE quidem est æqualis angulo HZE, angulus vero EΔZ æqualis angulo EHZ. & quoniam angulus ΔEZ est æqualis angulo HEZ, & [per construct.] angulus HEZ æqualis angulo ABΓ; erit & angulus ABΓ angulo ΔEZ æqualis. eadem ratione & angulus AΓB æqualis est angulo ΔZE, & etiam angulus ad A angulo ad Δ: ergo ABΓ triangulum est æquiangulum triangulo ΔEZ.



Si igitur duo triangula latera habeant proportionalia, æquiangula erunt triangula; & æquales habebunt angulos, quibus homologa latera subtenduntur. quod erat demonstrandum.

Prop. VI. Theor.

Si duo triangula unum angulum uni angulo æqualem habeant, circa æquales autem angulos latera proportionalia; æquiangula erunt triangula, & æquales habebunt angulos, quibus homologa latera subtenduntur.

SInt duo triangula ABΓ, ΔEZ, unum angulum BAΓ uni angulo EΔZ æqualem

ΒΓ ὅτως τὴν ΔE πρὸς τὴν EZ, ὡς δὲ τλὺ ΒΓ πρὸς τὴν ΓA ὅτως τὴν EZ πρὸς τὴν ZΔ, καὶ ἔπι ὡς τὸ BA πρὸς τὴν AΓ ὅτως τὴν EΔ πρὸς τλὺ ΔZ· λέγω ὅτι ἰσογώνιόν ἐστι τὸ ABΓ τρίγωνον τῷ ΔEZ τριγώνῳ, καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσι, τὴν μὲν ὑπὸ ABΓ τῇ ὑπὸ ΔEZ, τὴν δὲ ὑπὸ BΓA τῇ ὑπὸ EZΔ, καὶ ἔτι τὴν ὑπὸ BAΓ τῇ ὑπὸ EΔZ.

Συνεστάτω γὰρ πρὸς τῇ EZ εὐθείᾳ, καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς E, Z, τῇ μὲν ὑπὸ ABΓ γωνίᾳ ἴση ἡ ὑπὸ ZEH, τῇ δὲ ὑπὸ BΓA ἴση ἡ ὑπὸ EZH· λοιπὴ ἄρα ἡ ὑπὸ BAΓ λοιπῇ τῇ ὑπὸ EHZ ἐστὶν ἴση.

Ἰσογώνιον ἄρα ἐστὶ τὸ ABΓ τρίγωνον τῷ EHZ τριγώνῳ· τὰ ἄρα ABΓ, EHZ τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας πλευραὶ ὑποτείνουσι· ἔστιν ἄρα ὡς ἡ AB πρὸς τὴν BΓ ὅτως ἡ HE πρὸς τὴν EZ. ἀλλ' ὡς ἡ AB πρὸς τὴν BΓ ὅτως [ἐστὶν] ἡ ΔE πρὸς τὴν EZ· ὡς ἄρα ἡ ΔE πρὸς τὴν EZ ὅτως ἡ HE πρὸς τλὺ EZ· ἑκατέρα ἄρα τῶν ΔE, HE πρὸς τὴν EZ τὸν αὐτὸν ἔχει λόγον· ἴση ἄρα ἐστὶν ἡ ΔE τῇ HE. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΔZ τῇ HZ ἐστὶν ἴση. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔE τῇ EH, κοινὴ δὲ ἡ EZ, δύο δὴ αἱ ΔE, EZ δυσὶ ταῖς HE, EZ ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΔZ βάσει τῇ HZ ἐστὶν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔEZ γωνίᾳ τῇ ὑπὸ HEZ ἐστὶν ἴση. καὶ τὸ ΔEZ τρίγωνον τῷ HEZ τριγώνῳ ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶ καὶ ἡ μὲν ὑπὸ ΔZE γωνία τῇ ὑπὸ HZE, ἡ δὲ ὑπὸ EΔZ τῇ ὑπὸ EHZ. καὶ ἐπεὶ ἡ μὲν ὑπὸ ΔEZ τῇ ὑπὸ HEZ ἐστὶν ἴση, ἀλλ' ἡ ὑπὸ HEZ τῇ ὑπὸ ABΓ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ABΓ ἄρα γωνία τῇ ὑπὸ ΔEZ ἐστὶν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ AΓB τῇ ὑπὸ ΔZE ἐστὶν ἴση, καὶ ἔτι ἡ πρὸς τῷ A τῇ πρὸς τῷ Δ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ABΓ τρίγωνον τῷ ΔEZ τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα· καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον· ἰσογώνια ἔσται τὰ τρίγωνα, καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν.

ΕΣτω δύο τρίγωνα τὰ ABΓ, ΔEZ, μίαν γωνίαν τλὺ ὑπὸ BAΓ μιᾷ γωνίᾳ τῇ ὑπὸ EΔZ ἴσην

ἴσλω ἔχωσι, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ὡς τὴν ΒΑ πρὸς τὴν ΑΓ ὕτως τὴν ΕΔ πρὸς τὴν ΔΖ· λέγω ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, καὶ ἴσλω ἕξει τὴν μὲν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ.

Συνεστάτω γὰρ πρὸς μέν τῇ ΔΖ εὐθείᾳ, καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Δ, Ζ, ὁποτέρᾳ μὲν τῶν ὑπὸ ΒΑΓ, ΕΔΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΔΗ, τῇ δὲ ὑπὸ ΑΓΒ ἴση ἡ ὑπὸ ΔΖΗ.





Λοιπὴ ἄρα ἡ πρὸς τῷ Β λοιπῇ τῇ πρὸς τῷ Η ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΗΖ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ ὕτως ἡ ΗΔ πρὸς τὴν ΔΖ. ἔστω δὲ καὶ ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ ὕτως ἡ ΕΔ πρὸς τὴν ΔΖ· καὶ ὡς ἄρα ἡ ΕΔ πρὸς τὴν ΔΖ ὕτως ἡ ΗΔ πρὸς τὴν ΔΖ· ἴση ἄρα ἡ ΕΔ τῇ ΔΗ, καὶ κοινὴ ἡ ΔΖ· δύο δὴ αἱ ΕΔ, ΔΖ δυσὶ ταῖς ΗΔ, ΔΖ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΕΔΖ γωνίᾳ τῇ ὑπὸ ΗΔΖ ἐστὶν ἴση· βάσις ἄρα ἡ ΕΖ βάσει τῇ ΖΗ ἐστὶν ἴση, καὶ τὸ ΔΕΖ τρίγωνον τῷ ΔΗΖ τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἴσαι) ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ μὲν ὑπὸ ΔΖΗ τῇ ὑπὸ ΔΖΕ, ἡ δὲ πρὸς τῷ Η τῇ πρὸς τῷ Ε. ἀλλ' ἡ ὑπὸ ΔΖΗ τῇ ὑπὸ ΑΓΒ ἐστὶν ἴση, καὶ ἡ ὑπὸ ΑΓΒ ἄρα τῇ ὑπὸ ΔΖΕ ἐστὶν ἴση. ἔστω δὲ καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ ἴση, καὶ λοιπὴ ἄρα ἡ πρὸς τῷ Β λοιπῇ τῇ πρὸς τῷ Ε ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσλω ἔχῃ, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον· ἰσογώνια ἔσται τὰ τρίγωνα, καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν. ὅπερ ἔδει δεῖξαι.

habentia, circa æquales autem angulos latera proportionalia, ut BA ad AΓ ita EΔ ad ΔZ: dico triangulum ABΓ triangulo ΔEZ æquiangulum esse, & angulum quidem ABΓ habere æqualem angulo ΔEZ, angulum vero AΓB angulo ΔZE.

Constituatur enim [per 23. 1.] ad rectam lineam ΔZ, & ad puncta in ipsa Δ, Z, alterutri angulorum BAΓ, EΔZ æqualis angulus ZΔH, angulo autem AΓB æqualis ΔZH.

Reliquus igitur qui ad B [per 32. 1.] reliquo qui ad H est æqualis: ergo triangulum ABΓ triangulo ΔHZ æquiangulum est; ac propterea [per 4. 6.] ut BA ad AΓ ita est HΔ ad ΔZ. ponitur autem ut BA ad AΓ ita EΔ ad ΔZ: ut igitur EΔ ad ΔZ ita [per 11. 5.] HΔ ad ΔZ: igitur [per 9. 5.] EΔ æqualis est ipsi ΔH, & communis ΔZ: ergo duæ EΔ, ΔZ duabus HΔ, ΔZ sunt æquales, & angulus EΔZ angulo HΔZ est æqualis: basis igitur EZ [per 4. 1.] est æqualis basi ZH, triangulumque ΔEZ æquale triangulo HΔZ, & reliqui anguli reliquis angulis æquales, alter alteri, quibus æqualia latera subtenduntur: angulus igitur ΔZH est æqualis angulo ΔZE; angulus vero ad H angulo ad E. sed angulus ΔZH æqualis est [per constr.] angulo AΓB: angulus igitur AΓB angulo ΔZE est æqualis. ponitur autem & BAΓ angulus æqualis angulo EΔZ: ergo [per 32. 1.] & reliquus qui ad B æqualis reliquo qui ad E: æquiangulum igitur est triangulum ABΓ triangulo ΔEZ.

Quare si duo triangula unum angulum uni angulo æqualem habeant, circa æquales autem angulos latera proportionalia; æquiangula erunt triangula, & æquales habebunt angulos, quibus homologa latera subtenduntur. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσλω ἔχῃ, περὶ δὲ τὰς ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, τὰς δὲ λοιπὰς ἑκατέραν ἅμα ἤτοι ἐλάσσονα ἢ μὴ ἐλάσσονα ὀρθῆς· ἰσογώνια ἔσται τὰ τρίγωνα, καὶ ἴσας ἕξει τὰς γωνίας, περὶ ἃς ἀνάλογόν εἰσιν αἱ πλευραί.

Prop. VII. Theor.

Si duo triangula unum angulum uni angulo æqualem habeant, circa alios autem angulos latera proportionalia, reliquorum vero utrumque simul, vel minorem, vel non minorem recto; æquiangula erunt triangula, & æquales habebunt angulos, circa quos latera sunt proportionalia.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσλω ἔχοντα, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ, περὶ δὲ ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, τὰς ὑπὸ ΑΒΓ, ΔΕΖ, ὡς τὴν ΑΒ πρὸς τὴν ΒΓ ὕτως τὴν ΔΕ πρὸς τὴν ΕΖ, τὰς δὲ λοιπὰς τὰς πρὸς τοῖς Γ, Ζ πρότερον ἑκατέραν ἅμα ἐλάσσονα

SInt duo triangula ABΓ, ΔEZ, unum angulum uni angulo æqualem habentia, videlicet angulum BAΓ angulo EΔZ æqualem, circa alios autem angulos ABΓ, ΔEZ latera proportionalia, ut sit ΔE ad EZ sicut AB ad BΓ, & reliquorum qui ad Γ, Z primo utrumque simul mi-

norem recto: dico triangulum ABΓ triangulo ΔEZ æquiangulum esse, angulumque ABΓ æqualem angulo ΔEZ, & reliquum videlicet qui ad Γ reliquo qui ad Z æqualem.

Si enim inæqualis est angulus ABΓ angulo ΔEZ, unus ipsorum major erit. sit major ABΓ, & constituatur [per 23. 1.] ad rectam lineam AB & ad punctum in ipsa B angulo ΔEZ æqualis angulus ABH.

Et quoniam angulus quidem A est æqualis angulo Δ, angulus vero ABH angulo ΔEZ; erit [per 32. 1.] reliquus AHB reliquo ΔZE æqualis: æquiangulum igitur est ABH triangulum triangulo ΔEZ; quare [per 4. 6.] ut AB ad BH sic ΔE ad EZ. ut vero ΔE ad EZ sic ponitur AB ad BΓ: ut igitur AB ad BΓ, [per 11. 5.] sic AB ad BH, ideo AB ad utramque BΓ, BH eandem habet rationem; erit igitur BΓ ipsi BH æqualis; ac propterea [per 5. 1.] angulus BHΓ est æqualis angulo BΓH. minor autem recto ponitur angulus qui ad Γ: ergo & BHΓ minor est recto, & ob id [per 13. 1.] qui ei deinceps est AHB major recto. atque ostensus est angulus AHB æqualis angulo qui ad Z: angulus igitur qui ad Z recto major est. atqui ponitur minor recto; quod est absurdum: non est igitur angulus ABΓ inæqualis angulo ΔEZ; ergo ipsi est æqualis. est autem & angulus ad A æqualis ei qui ad Δ: quare & reliquus qui ad Γ æqualis reliquo qui ad Z: æquiangulum igitur est ABΓ triangulum triangulo ΔEZ.



Sed rursus ponatur uterque angulorum qui ad Γ, Z non minor recto: dico rursus & sic triangulum ABΓ triangulo ΔEZ æquiangulum esse.

Iisdem enim constructis, similiter demonstrabimus BΓ æqualem ipsi BH, angulumque ad Γ angulo BHΓ æqualem. sed angulus qui ad Γ non est minor recto: non est igitur minor recto BHΓ. quare trianguli BHΓ duo anguli non sunt duobus rectis minores; quod [per 17. 1.] fieri non potest: non igitur rursus est ABΓ angulus inæqualis angulo ΔEZ; ergo æqualis. est autem & qui ad A æqualis ei qui ad Δ: reliquus igitur qui ad Γ [per 32. 1.] reliquo ad Z est æqualis; ac propterea triangulum ABΓ triangulo ΔEZ æquiangulum est.

Si igitur duo triangula unum angulum uni angulo æqualem habeant, circa alios autem angulos latera proportionalia, reliquorum vero utrumque simul, vel minorem, vel non minorem recto; æquiangula erunt triangula, & æquales habebunt angulos, circa quos latera sunt proportionalia. quod erat demonstrandum.

ὀρθῆς· λέγω ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, καὶ ἴση ἔσται ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, καὶ λοιπὴ δηλονότι ἡ πρὸς τῷ Γ λοιπῇ τῇ πρὸς τῷ Ζ ἴση.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΑΒΓ· καὶ συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β, τῇ ὑπὸ ΔΕΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΒΗ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν Α γωνία τῇ Δ, ἡ δὲ ὑπὸ ΑΒΗ γωνία τῇ ὑπὸ ΔΕΖ, λοιπὴ ἄρα ἡ ὑπὸ ΑΗΒ λοιπῇ τῇ ὑπὸ ΔΖΕ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΗ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΗ οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΖ. ὡς δὲ ἡ ΔΕ πρὸς τὴν ΕΖ οὕτως ὑπόκειται ἡ ΑΒ πρὸς τὴν ΒΓ· καὶ ὡς ἄρα ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΗ, ἡ ΑΒ ἄρα πρὸς ἑκατέραν τὴν ΒΓ, ΒΗ τὴν αὐτὴν ἔχει λόγον· ἴση ἄρα ἡ ΒΓ τῇ ΒΗ· ὥστε καὶ γωνία ἡ πρὸς τῷ ΒΗΓ γωνίᾳ τῇ πρὸς τῷ ΒΓΗ ἐστὶν ἴση. ἐλάττων δὲ ὀρθῆς ὑπόκειται ἡ πρὸς τῷ Γ· ἐλάττων ἄρα ἐστὶν ὀρθῆς καὶ ἡ πρὸς τῷ ΒΗΓ, ὥστε ἡ ἐφεξῆς αὐτῇ γωνία ἡ πρὸς τῷ ΑΗΒ μείζων ἐστὶν ὀρθῆς. καὶ ἐδείχθη ἴση οὖσα τῇ πρὸς τῷ Ζ, καὶ ἡ πρὸς τῷ Ζ ἄρα μείζων ἐστὶν ὀρθῆς. ὑπόκειται δὲ ἐλάσσων ὀρθῆς, ὅπερ ἄτοπον· οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, ἴση ἄρα. ἔστι δὲ καὶ ἡ πρὸς τῷ Α ἴση τῇ πρὸς τῷ Δ, καὶ λοιπὴ ἄρα ἡ πρὸς τῷ Γ λοιπῇ τῇ πρὸς τῷ Ζ ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἀλλὰ δὴ πάλιν ὑποκείσθω ἑκατέρα τῶν πρὸς τοῖς Γ, Ζ μὴ ἐλάσσων ὀρθῆς· λέγω πάλιν ὅτι καὶ οὕτως ἐστὶν ἰσογώνιον τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ὁμοίως δείξομεν ὅτι ἴση ἐστὶν ἡ ΒΓ τῇ ΒΗ· ὥστε καὶ γωνία ἡ πρὸς τῷ Γ τῇ ὑπὸ ΒΗΓ ἴση ἐστίν. οὐκ ἐλάττων δὲ ὀρθῆς ἡ πρὸς τῷ Γ, οὐκ ἐλάττων ἄρα ὀρθῆς οὐδὲ ἡ ὑπὸ ΒΗΓ. τριγώνου δὲ τοῦ ΒΗΓ αἱ δύο γωνίαι δύο ὀρθῶν οὐκ εἰσὶν ἐλάττονες, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα πάλιν ἄνισός ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, ἴση ἄρα. ἔστι δὲ καὶ ἡ πρὸς τῷ Α τῇ πρὸς τῷ Δ ἴση, λοιπὴ ἄρα ἡ πρὸς τῷ Γ λοιπῇ τῇ πρὸς τῷ Ζ ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ τὰς ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, τὰ δὲ λοιπῶν ἑκατέραν ἅμα ἤτοι ἐλάσσονα ἢ μὴ ἐλάσσονα ὀρθῆς· ἰσογώνια ἔσται τὰ τρίγωνα, καὶ ἴσας ἕξει τὰς γωνίας, περὶ ἃς ἀνάλογόν εἰσιν αἱ πλευραί. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ η'.

Εὰν ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ· τὰ τρὸς τῇ καθέτῳ τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις.

PROP. VIII. THEOR.

Si in triangulo rectangulo ab angulo recto ad baſim perpendicularis ducatur; quæ ad perpendicularem ſunt triangula & toti & inter ſe ſunt ſimilia.

ΕΣτω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ, ὀρθὴν ἔχον τὴν ὑπὸ ΒΑΓ γωνίαν, καὶ ἤχθω ἀπὸ τοῦ Α ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ· λέγω ὅτι ὅμοιόν ἐστιν ἑκάτερον τῶν ΑΒΔ, ΑΔΓ τριγώνων ὅλῳ τῷ ΑΒΓ καὶ ἔτι ἀλλήλοις.

Επεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΑΔΒ, ὀρθὴ γάρ ἑκατέρα, καὶ κοινὴ τῶν δύο τριγώνων τοῦ τε ΑΒΓ καὶ τοῦ ΑΒΔ ἡ πρὸς τῷ Β· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ λοιπῇ τῇ ὑπὸ ΒΑΔ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΒΔ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ ΒΓ ὑποτείνουσα τὴν ὀρθὴν τοῦ ΑΒΓ τριγώνου πρὸς τὴν ΒΑ ὑποτείνουσαν τὴν ὀρθὴν τοῦ ΑΒΔ τριγώνου, οὕτως αὐτὴ ἡ ΑΒ ὑποτείνουσα τὴν πρὸς τῷ Γ γωνίαν τοῦ ΑΒΓ τριγώνου πρὸς τὴν ΒΔ ὑποτείνουσαν τὴν ἴσην τῇ πρὸς τῷ Γ, τὴν ὑπὸ ΒΑΔ τοῦ ΑΒΔ τριγώνου. καὶ ἔτι ἡ ΑΓ τρὸς τῷ ΑΔ ὑποτείνουσα τὴν πρὸς τῷ Β γωνίαν, κοινὴν τῶν δύο τριγώνων· τὸ ΑΒΓ ἄρα τρίγωνον τῷ ΑΒΔ τριγώνῳ ἰσογώνιόν τέ ἐστι, καὶ τὰς τρὶ τὰς ἴσας γωνίας τολδρὸς ἀνάλογον ἔχει· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΒΔ τριγώνῳ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τὸ ΑΔΓ τρίγωνον ὁμοιόν ἐστι τῷ ΑΒΓ τριγώνῳ· ἑκάτερον ἄρα τῶν ΑΒΔ, ΑΔΓ τριγώνων ὅλῳ τῷ ΑΒΓ τριγώνῳ ὅμοιόν ἐστιν.



SIT triangulum rectangulum ABΓ, rectum habens angulum BAΓ; & à puncto A ad BΓ perpendicularis ducatur AΔ: dico triangula ABΔ, AΔΓ toti triangulo ABΓ & inter ſe ſimilia eſſe.

Quoniam enim angulus BAΓ eſt æqualis angulo AΔB, rectus enim eſt uterque, & angulus qui ad B communis duobus triangulis ABΓ, ABΔ; erit [per 32. 1.] reliquus AΓB reliquo BAΔ æqualis: æquiangulum igitur eſt triangulum ABΓ triangulo ABΔ. quare [per 4. 6.] ut BΓ quæ ſubtendit angulum rectum trianguli ABΓ ad BA ſubtendentem angulum rectum trianguli ABΔ, ſic ipſa AB ſubtendens angulum qui ad Γ trianguli ABΓ ad BΔ ſubtendentem angulum æqualem angulo qui ad Γ, videlicet BAΔ ipſius ABΔ trianguli. & ſic etiam AΓ ad AΔ ſubtendentem angulum qui ad B communem duobus triangulis: ergo triangulum ABΓ triangulo ABΔ æquiangulum eſt, & circa æquales angulos latera habet proportionalia: ſimile igitur eſt [per 1. def. 6.] triangulum ABΓ triangulo ABΔ. eadem ratione demonſtrabimus etiam AΔΓ triangulum triangulo ABΓ ſimile eſſe: quare utrumque ipſorum ABΔ, AΔΓ, toti triangulo ABΓ eſt ſimile.

ΛΕΓΩ δὴ, ὅτι καὶ τὰ ἀλλήλοις ἐστὶν ὅμοια τὰ ΑΒΔ, ΑΔΓ τρίγωνα.

Επεὶ γὰρ ὀρθὴ ἡ ὑπὸ ΒΔΑ ὀρθῇ τῇ ὑπὸ ΑΔΓ ἐστιν ἴση, ἀλλὰ μὴν καὶ ἡ ὑπὸ ΒΑΔ τῇ πρὸς τῷ Γ ἐδείχθη ἴση, καὶ λοιπὴ ἄρα ἡ τρὸς τῷ Β λοιπῇ τῇ ὑπὸ ΔΑΓ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΔ τρίγωνον τῷ ΑΔΓ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ ΒΔ τὴν ΑΒΔ τριγώνου, ὑποτείνουσα τὴν ὑπὸ ΒΑΔ, πρὸς τὴν ΔΑ τοῦ ΑΔΓ τριγώνου ὑποτείνουσαν τὴν τρὸς τῷ Γ γωνίαν, οὕτω τὴν ΑΔ τοῦ ΑΒΔ τριγώνου, ὑποτείνουσαν τὴν πρὸς τῷ Β γωνίαν, τρὸς τὴν ΔΓ ὑποτείνουσαν τὴν ὑπὸ ΔΑΓ τοῦ ΑΔΓ τριγώνου, οὕτω καὶ ἔτι ἡ ΒΑ ὑποτείνουσα τὴν ὀρθὴν τὴν ὑπὸ ΑΔΒ, πρὸς τὴν ΑΓ ὑποτείνουσαν τὴν ὀρθὴν τὴν ὑπὸ ΑΔΓ· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΔ τρίγωνον τῷ ΑΔΓ τριγώνῳ.

DICO insuper triangula ABΔ, AΔΓ etiam inter ſe ſimilia eſſe.

Quoniam enim angulus BΔA rectus eſt æqualis recto AΔΓ; ſed & BAΔ oſtenſus æqualis ei qui ad Γ; erit [per 32. 1.] reliquus qui ad B reliquo ΔAΓ æqualis: æquiangulum igitur eſt triangulum ABΔ triangulo AΔΓ. ergo [per 4. 6.] ut BΔ trianguli ABΔ, ſubtendens BAΔ angulum, ad ΔA trianguli AΔΓ ſubtendentem angulum qui ad Γ, æqualem angulo BAΔ; ſic ipſa AΔ trianguli ABΔ, ſubtendens angulum qui ad B, ad ΔΓ trianguli AΔΓ ſubtendentem angulum ΔAΓ, ei qui ad B æqualem. & ſic etiam BA ſubtendens rectum angulum AΔB, ad AΓ ſubtendentem angulum rectum AΔΓ: eſt igitur [per 1. def. 6.] ABΔ triangulum ſimile triangulo AΔΓ.

Εὰν ἄρα ἐν ὀρθογωνίῳ τριγώνῳ, ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ, τὰ πρὸς τῇ καθέτῳ τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις. ὅπερ ἔδει δεῖξαι.

Quare ſi in triangulo rectangulo ab angulo recto ad baſim perpendicularis ducatur; quæ ad perpendicularem ſunt triangula & toti & inter ſe ſunt ſimilia. quod erat demonſtrandum.

Corollarium.

Ex hoc manifeſtum eſt, in triangulo rectangulo perpendicularem ab angulo recto ad baſim ductam mediam proportionalem eſſe inter ſegmenta baſis: & præterea inter baſim & baſis ſegmentum utrumlibet, latus ſegmento conterminum medium eſſe proportionale.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ, ἡ ἀχθεῖσα τῶν τῆς βάσεως τμημάτων μέση ἀνάλογόν ἐστι· καὶ ἔτι τῆς βάσεως καὶ ἑνὸς ὁποτερουοῦν τῶν τμημάτων ἡ πρὸς τῷ τμήματι πλευρὰ μέση ἀνάλογόν ἐστιν.

PROP. IX. PROBL.

A data recta linea imperatam partem abſcindere.

SIT data recta linea AB: oportet ab ipſa AB imperatam partem abſcindere.

Imperetur pars tertia; & ducatur à puncto A quælibet recta linea AΓ, quæ cum ipſa AB angulum quemlibet contineat; ſumaturque in AΓ quodvis punctum Δ, & ipſi AΔ [per 3. 1.] æquales ponantur ΔE, EΓ; deinde jungatur BΓ, & per Δ ipſi BΓ [per 31. 1.] parallela ducatur ΔZ.



Itaque quoniam uni laterum trianguli ABΓ, videlicet ipſi BΓ, parallela ducta eſt ZΔ; erit [per 2. 6.] ut ΓΔ ad ΔA ita BZ ad ZA. dupla autem eſt ΓΔ ipſius ΔA; ergo & BZ ipſius ZA dupla: tripla igitur eſt BA ipſius AZ.

Quare à data recta linea AB imperata pars tertia AZ abſciſſa eſt. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ θ'.

Τῆς δοθείσης εὐθείας τὸ προσταχθὲν μέρος ἀφελεῖν.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ AB· δεῖ δὴ τῆς AB τὸ προσταχθὲν μέρος ἀφελεῖν.

Ἐπιτετάχθω δὴ τὸ τρίτον· καὶ διήχθω τις εὐθεῖα ἀπὸ τοῦ A ἡ AΓ, γωνίαν περιέχουσα μετὰ τῆς AB τυχοῦσαν· καὶ εἰλήφθω τυχὸν σημεῖον ἐπὶ τῆς AΓ τὸ Δ, καὶ κείσθωσαν τῇ AΔ ἴσαι αἱ ΔE, EΓ· καὶ ἐπεζεύχθω ἡ BΓ, καὶ διὰ τοῦ Δ παράλληλος ἤχθω τῇ BΓ ἡ ΔZ.

Ἐπεὶ οὖν τριγώνου τοῦ ABΓ παρὰ μίαν τῶν πλευρῶν τὴν BΓ ἦκται ἡ ZΔ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΓΔ πρὸς τὴν ΔA οὕτως ἡ BZ πρὸς τὴν ZA. διπλῆ δὲ ἡ ΓΔ τῆς ΔA· διπλῆ ἄρα καὶ ἡ BZ τῆς ZA· τριπλῆ ἄρα ἡ BA τῆς AZ.

Τῆς ἄρα δοθείσης εὐθείας τῆς AB τὸ προσταχθὲν τρίτον μέρος ἀφῄρηται τὸ AZ. ὅπερ ἔδει ποιῆσαι.

PROP. X. PROBL.

Datam rectam lineam inſectam ſimiliter ſecare, ut data recta ſecta eſt.

SIT data recta linea inſecta AB, ſecta vero AΓ: oportet rectam lineam AB inſectam ſimiliter ſecare ut AΓ ſecta eſt.

Sit AΓ ſecta in punctis Δ, E, & ponantur ita ut angulum quemvis comprehendant, jungaturque BΓ, & per puncta Δ, E ipſi BΓ [per 31. 1.] parallelæ ducantur ΔZ, EH, per Δ vero ipſi AB ducatur parallela ΔΘK.



Parallelogrammum igitur eſt utrumque ipſorum ZΘ, ΘB: ac propterea [per 34. 1.] ΔΘ eſt æqualis ZH; ΘK vero ipſi HB. & quoniam uni laterum trianguli ΔKΓ, ipſi ſcilicet KΓ, parallela ducta eſt ΘE; erit [per 2. 6.] ut ΓE ad EΔ ita KΘ ad ΘΔ. æqualis autem eſt KΘ quidem ipſi BH; ΘΔ

ΠΡΟΤΑΣΙΣ ι'.

Τὴν δοθεῖσαν εὐθεῖαν ἄτμητον τῇ δοθείσῃ εὐθείᾳ τετμημένῃ ὁμοίως τμηθῆναι.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἄτμητος ἡ AB, ἡ δὲ τετμημένη ἡ AΓ· δεῖ δὴ τὴν AB ἄτμητον τῇ AΓ τετμημένῃ ὁμοίως τμηθῆναι.

Εἰλήφθω τετμημένη ἡ AΓ κατὰ τὰ Δ, E σημεῖα, καὶ κείσθωσαν ὥστε γωνίαν τυχοῦσαν περιέχειν, καὶ ἐπεζεύχθω ἡ BΓ, καὶ διὰ τῶν Δ, E τῇ BΓ παράλληλοι ἤχθωσαν αἱ ΔZ, EH, διὰ δὲ τοῦ Δ τῇ AB παράλληλος ἤχθω ἡ ΔΘK.

Παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν ZΘ, ΘB· ἴση ἄρα ἡ μὲν ΔΘ τῇ ZH, ἡ δὲ ΘK τῇ HB. καὶ ἐπεὶ τριγώνου τοῦ ΔKΓ παρὰ μίαν τῶν πλευρῶν τὴν KΓ εὐθεῖα ἦκται ἡ ΘE· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΓE πρὸς τὴν EΔ οὕτως ἡ KΘ πρὸς τὴν ΘΔ. ἴση δὲ ἡ μὲν KΘ τῇ BH, ἡ δὲ ΘΔ

τῇ

τῇ ΗΖ· ἔστιν ἄρα ὡς ἡ ΓΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΒΗ πρὸς τὴν ΗΖ. πάλιν, ἐπεὶ τριγώνου τοῦ ΑΗΕ παρὰ μίαν τῶν πλευρῶν τὴν ΕΗ ἦκται ἡ ΖΔ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΕΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ. ἐδείχθη δὲ καὶ ὡς ἡ ΓΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΒΗ πρὸς τὴν ΗΖ· ἔστιν ἄρα ὡς μὲν ἡ ΓΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΒΗ πρὸς τὴν ΗΖ, ὡς δὲ ἡ ΕΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ.

Η ἄρα δοθεῖσα εὐθεῖα ἄτμητος ἡ ΑΒ τῇ δοθείσῃ εὐθείᾳ τετμημένῃ τῇ ΑΓ ὁμοίως τέτμηται. ὅπερ ἔδει ποιῆσαι.

vero ipſi HZ: eſt igitur ut ΓΕ ad ΕΔ ita ΒΗ ad HZ. rurſus, quoniam uni laterum trianguli ΑΗΕ, nimirum ipſi ΕΗ, parallela ducta eſt ΖΔ; ut ΕΔ ad ΔΑ ita erit HZ ad ZA. ſed oſtenſum eſt ut ΓΕ ad ΕΔ ita eſſe ΒΗ ad HZ: ut igitur ΓΕ ad ΕΔ ita eſt ΒΗ ad HZ, & ut ΒΔ ad ΔΑ ita HZ ad ZA.

Ergo data recta linea inſecta ΑΒ ſimiliter ſecta eſt ut data recta ΑΓ. quod erat faciendum

ΠΡΟΤΑΣΙΣ ια'.

Δύο δοθεισῶν εὐθειῶν, τρίτην ἀνάλογον προσευρεῖν.

PROP. XI. PROBL.

Duabus datis rectis lineis, tertiam proportionalem invenire.

Ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ ΑΒ, ΑΓ, καὶ κείσθωσαν γωνίαν περιέχουσαι τυχοῦσαν· δεῖ δὴ τῶν ΑΒ, ΑΓ τρίτην ἀνάλογον προσευρεῖν.

Ἐκβεβλήθωσαν γὰρ αἱ ΑΒ, ΑΓ ἐπὶ τὰ Δ, Ε σημεῖα, καὶ κείσθω τῇ ΑΓ ἴση ἡ ΒΔ, καὶ ἐπεζεύχθω ἡ ΒΓ, καὶ διὰ τοῦ Δ παράλληλος αὐτῇ ἤχθω ἡ ΔΕ.



Ἐπεὶ οὖν τριγώνου τοῦ ΑΔΕ, παρὰ μίαν τῶν πλευρῶν τὴν ΔΕ ἦκται ἡ ΒΓ, ἀνάλογόν ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΔ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΕ. ἴση δὲ ἡ ΒΔ τῇ ΑΓ, ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΑΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΕ.

Δύο ἄρα δοθεισῶν εὐθειῶν τῶν ΑΒ, ΑΓ, τρίτη ἀνάλογον αὐταῖς προσεύρηται ἡ ΓΕ. ὅπερ ἔδει ποιῆσαι.

Producantur enim ΑΒ, ΑΓ ad puncta Δ, Ε, ponaturque ipſi ΑΓ æqualis ΒΔ, & jungatur ΒΓ, ducaturque [per 31. 1.] per Δ ipſi ΒΓ parallela ΔΕ.

Quoniam igitur uni laterum trianguli ΑΔΕ, videlicet ipſi ΔΕ, parallela ducta eſt ΒΓ; erit [per 2. 6.] ut ΑΒ ad ΒΔ ita ΑΓ ad ΓΕ. æqualis autem eſt ΒΔ ipſi ΑΓ: ut igitur ΑΒ ad ΑΓ ita eſt ΑΓ ad ΓΕ.

Quare duabus datis rectis lineis ΑΒ, ΑΓ, tertia proportionalis inventa eſt ΓΕ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Τριῶν δοθεισῶν εὐθειῶν, τετάρτην ἀνάλογον προσευρεῖν.

PROP. XII. PROBL.

Tribus datis rectis lineis, quartam proportionalem invenire.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς εὐθεῖαι αἱ Α, Β, Γ· δεῖ δὴ τῶν Α, Β, Γ εὐθειῶν τετάρτην ἀνάλογον προσευρεῖν.

Ἐκκείσθωσαν δύο εὐθεῖαι, αἱ ΔΕ, ΔΖ, γωνίαν περιέχουσαι τυχοῦσαν τὴν ὑπὸ ΕΔΖ· καὶ κείσθω τῇ μὲν Α ἴση ἡ ΔΗ, τῇ δὲ Β ἴση ἡ ΗΕ, καὶ ἔτι τῇ Γ ἴση ἡ ΔΘ· καὶ διὰ μὲν τοῦ Η τῇ ΗΘ, παράλληλος αὐτῇ ἤχθω ἡ ΖΕΗ.



Ἐπεὶ οὖν τριγώνου τοῦ ΔΕΖ παρὰ μίαν τῶν πλευρῶν τὴν ΕΖ ἦκται ἡ ΗΘ, ἔστιν ἄρα ὡς ΔΗ πρὸς τὴν ΗΕ, οὕτως ἡ ΔΘ πρὸς τὴν ΘΖ. ἴση δὲ ἡ μὲν ΔΗ τῇ Α, ἡ δὲ ΗΕ τῇ Β, ἡ δὲ ΔΘ τῇ Γ· ἔστιν ἄρα ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Γ πρὸς τὴν ΘΖ.

Exponantur duæ rectæ lineæ ΔΕ, ΔΖ, angulum quemvis ΕΔΖ comprehendentes; & ponatur ipſi quidem Α æqualis ΔΗ, ipſi vero Β æqualis ΗΕ, & ipſi Γ æqualis ΔΘ; junctaque ΗΘ, per Ε ipſi parallela ducatur ΕΖ.

Itaque quoniam uni laterum trianguli ΔΕΖ, nimirum ipſi ΕΖ, parallela ducta eſt ΗΘ; erit [per 2. 6.] ut ΔΗ ad ΗΕ ita ΔΘ ad ΘΖ. eſt autem ΔΗ ipſi Α æqualis, ΗΕ vero æqualis Β, & ΔΘ æqualis Γ: ut igitur Α ad Β ita Γ ad ΘΖ.

Quare

Quare datis tribus rectis lineis A, B, Γ, quarta proportionalis inventa est Θ Z. quod erat faciendum.

Τριῶν ἄρα δοθεισῶν εὐθειῶν τῶν Α, Β, Γ, τετάρτη ἀνάλογον συνεστήσηται ἡ Θ Ζ. ὅπερ ἔδει ποιῆσαι.

Prop. XIII. Probl.

Duabus datis rectis lineis, mediam proportionalem invenire.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Δύο δοθεισῶν εὐθειῶν, μέσην ἀνάλογον συνεστήσασθαι.

Sint datæ duæ rectæ lineæ A B, B Γ: oportet inter ipsas mediam proportionalem invenire.

Ponantur in directum, & super ipsa A Γ describatur semicirculus A Δ Γ, ducaturque [per 11. 1.] à puncto B ipsi A Γ ad rectos angulos B Δ, & A Δ, Δ Γ jungantur.



Quoniam igitur angulus A Δ Γ est in semicirculo, is [per 31. 3.] rectus est. & quoniam in triangulo rectangulo A Δ Γ ab angulo recto ad basim perpendicularis ducta est Δ B; erit [per cor. 8. 6.] Δ B media proportionalis inter segmenta basis A B, B Γ.

Duabus igitur datis rectis lineis A B, B Γ, media proportionalis inventa est Δ B. quod erat faciendum.

Ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι, αἱ Α Β, Β Γ· δεῖ δὴ τῶν Α Β, Β Γ μέσην ἀνάλογον συνστήσασθαι.

Κείσθωσαν ἐπ' εὐθείας, καὶ γεγράφθω ἐπὶ τῆς Α Γ ἡμικύκλιον τὸ Α Δ Γ, καὶ ἤχθω ἀπὸ τοῦ Β σημείου τῇ Α Γ εὐθείᾳ πρὸς ὀρθὰς ἡ Β Δ, καὶ ἐπεζεύχθωσαν αἱ Α Δ, Δ Γ.

Καὶ ἐπεὶ ἐν ἡμικυκλίῳ γωνία ἐστὶν ἡ ὑπὸ Α Δ Γ, ὀρθή ἐστιν. καὶ ἐπεὶ ἐν ὀρθογωνίῳ τριγώνῳ τῷ Α Δ Γ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἦκται ἡ Δ Β· ἡ Δ Β ἄρα τῶν τῆς βάσεως τμημάτων τῶν Α Β, Β Γ μέση ἀνάλογόν ἐστιν.

Δύο ἄρα δοθεισῶν εὐθειῶν τῶν Α Β, Β Γ, μέση ἀνάλογον συνεστάθη ἡ Δ Β. ὅπερ ἔδει ποιῆσαι.

Prop. XIV. Probl.

Parallelogrammorum æqualium & unum angulum uni æqualem habentium reciproce proportionalia sunt latera, quæ circum æquales angulos: & quorum parallelogrammorum unum angulum uni æqualem habentium reciproce proportionalia sunt latera, quæ circum æquales angulos, illa inter se sunt æqualia.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Τῶν ἴσων τε καὶ μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἷς περὶ τὰς ἴσας γωνίας· καὶ ὧν παραλληλογράμμων, μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν, ἀντιπεπόνθασιν αἱ πλευραὶ αἷς περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα.

Sint æqualia parallelogramma A B, B Γ, æquales habentia angulos ad B, & ponantur in directum Δ B, B E; ergo [per 14. 1.] & in directum erunt Z B, B H: dico parallelogrammorum A B, B Γ latera, quæ sunt circa æquales angulos, esse reciproce proportionalia; hoc est ut Δ B ad B E ita esse H B ad B Z.



Compleatur enim parallelogrammum Z B.

Et quoniam parallelogrammum A B æquale est parallelogrammo B Γ, est autem Z B parallelogrammum aliud: erit [per 7. 5.] ut A B ad Z B ita B Γ ad Z B. sed [per 1. 6.] ut A B quidem ad Z B ita est Δ B ad B E, ut autem B Γ ad Z B ita H B ad B Z: erit igitur [per 11. 5.] ut Δ B ad B E ita

Ἔστω ἴσα παραλληλόγραμμα τὰ Α Β, Β Γ, ἴσας ἔχοντα τὰς πρὸς τῷ Β γωνίας, καὶ κείσθωσαν ἐπ' εὐθείας αἱ Δ Β, Β Ε, ἐπ' εὐθείας ἄρα εἰσὶ καὶ αἱ Ζ Β, Β Η· λέγω ὅτι τῶν Α Β, Β Γ ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, τοῦτ' ἔστιν ὅτι ἐστὶν ὡς ἡ Δ Β πρὸς τὴν Β Ε οὕτως ἡ Η Β πρὸς τὴν Β Ζ.

Συμπεπληρώσθω γὰρ τὸ Ζ Ε παραλληλόγραμμον.

Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ Α Β παραλληλόγραμμον τῷ Β Γ παραλληλογράμμῳ, ἄλλο δέ τί ἐστι τὸ Ζ Ε· ἔστιν ἄρα ὡς τὸ Α Β πρὸς τὸ Ζ Ε οὕτως τὸ Β Γ πρὸς τὸ Ζ Ε. ἀλλ' ὡς μὲν τὸ Α Β πρὸς τὸ Ζ Ε οὕτως ἡ Δ Β πρὸς τὴν Β Ε, ὡς δὲ τὸ Β Γ πρὸς τὸ Ζ Ε οὕτως ἡ Η Β πρὸς τὴν Β Ζ· καὶ ὡς ἄρα ἡ Δ Β πρὸς τὴν Β Ε οὕτως ἡ

ΗΒ πρὸς τὴν ΒΖ. τῶν ἄρα ΑΒ, ΒΓ παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας.

ΑΛΛΑ δὴ ἀντιπεπονθέτωσαν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ᾗ ἔστω ὡς ἡ ΔΒ πρὸς τὴν ΒΕ οὕτως ἡ ΗΒ πρὸς τὴν ΒΖ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒ παραλληλόγραμμον τῷ ΒΓ παραλληλογράμμῳ.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΕ οὕτως ἡ ΗΒ πρὸς τὴν ΒΖ, ἀλλ' ὡς μὲν ἡ ΔΒ πρὸς τὴν ΒΕ οὕτως τὸ ΑΒ παραλληλόγραμμον πρὸς τὸ ΖΕ παραλληλόγραμμον, ὡς δὲ ἡ ΗΒ πρὸς τὴν ΒΖ οὕτως τὸ ΒΓ παραλληλόγραμμον πρὸς τὸ ΖΕ· καὶ ὡς ἄρα τὸ ΑΒ πρὸς τὸ ΖΕ οὕτως τὸ ΒΓ πρὸς τὸ ΖΕ· ἴσον ἄρα ἐστὶ τὸ ΑΒ παραλληλόγραμμον τῷ ΒΓ παραλληλογράμμῳ.

Τῶν ἄρα ἴσων τε καὶ μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν παραλληλογράμμων, μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν, ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἀλλήλοις. ὅπερ ἔδει δεῖξαι.

HB ad BZ. ergo parallelogrammorum AB, BΓ latera, quæ circum æquales angulos, ſunt reciproce proportionalia.

SINT autem latera, quæ circum æquales angulos, reciproce proportionalia; ſitque ut ΔB ad BE ita HB ad BZ: dico parallelogrammum AB eſſe æquale parallelogrammo BΓ.

Quoniam enim eſt ut ΔB ad BE ita HB ad BZ, ut autem ΔB ad BE ita [per 1. 6.] AB parallelogrammum ad parallelogrammum ZE, & ut HB ad BZ ita BΓ parallelogrammum ad parallelogrammum ZE; erit [per 11. 5.] ut AB ad ZE ita BΓ ad ZE: æquale igitur eſt [per 9. 5.] AB parallelogrammum parallelogrammo BΓ.

Ergo parallelogrammorum æqualium & unum angulum uni æqualem habentium reciproce proportionalia ſunt latera, quæ circum æquales angulos: & quorum parallelogrammorum unum angulum uni æqualem habentium reciproce proportionalia ſunt latera, quæ circum æquales angulos, illa inter ſe ſunt æqualia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιε'.

Τῶν ἴσων καὶ μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν, μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν, ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἀλλήλοις.

PROP. XV. THEOR.

Triangulorum æqualium & unum angulum uni æqualem habentium reciproce proportionalia ſunt latera, quæ circum æquales angulos: & quorum triangulorum unum angulum uni æqualem habentium reciproce proportionalia ſunt latera, quæ circum æquales angulos, illa inter ſe ſunt æqualia.

Ἔστω ἴσα τρίγωνα τὰ ΑΒΓ, ΑΔΕ, μίαν μιᾷ ἴσην ἔχοντα γωνίαν, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΔΑΕ· λέγω ὅτι τῶν ΑΒΓ, ΑΔΕ τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας, τοῦτέστιν ὅτι ἐστὶν ὡς ἡ ΓΑ πρὸς τὴν ΑΔ οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΒ.

Κείσθω γὰρ ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΓΑ τῇ ΑΔ· ἐπ' εὐθείας ἄρα ἐστὶ καὶ ἡ ΕΑ τῇ ΑΒ. καὶ ἐπεζεύχθω ἡ ΒΔ.



Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΔΕ τριγώνῳ, ἄλλο δέ τί ἐστι τὸ ΑΒΔ· ἔστιν ἄρα ὡς τὸ ΓΑΒ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον οὕτως τὸ ΑΔΕ τρίγωνον πρὸς τὸ ΒΑΔ. ἀλλ' ὡς μὲν τὸ ΓΑΒ πρὸς τὸ ΒΑΔ οὕτως ἡ ΓΑ πρὸς τὴν ΑΔ, ὡς δὲ τὸ ΕΑΔ τρίγωνον πρὸς τὸ ΒΑΔ οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΒ· καὶ ὡς ἄρα ἡ ΓΑ πρὸς τὴν ΑΔ οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΒ· τῶν ΑΒΓ, ΑΔΕ τριγώνων ἄρα ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας.

ΑΛΛΑ δὴ ἀντιπεπονθέτωσαν αἱ πλευραὶ τῶν ΑΒΓ, ΑΔΕ τριγώνων, ᾗ ἔστω ὡς ἡ ΓΑ πρὸς τὴν ΑΔ οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΒ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΔΕ τριγώνῳ.

SINT æqualia triangula ABΓ, AΔE, unum angulum uni æqualem habentia, angulum ſcilicet BAΓ angulo ΔAE: dico triangulorum ABΓ, AΔE latera, quæ circum æquales angulos, eſſe reciproce proportionalia, hoc eſt ut ΓA ad AΔ ita eſſe EA ad AB.

Ponantur enim ita ut in directum ſit ΓA ipſi AΔ: ergo [per 14. 1.] & EA ipſi AB in directum erit. & jungatur BΔ.

Quoniam igitur triangulum ABΓ æquale eſt triangulo AΔE, eſt autem aliud triangulum ABΔ; erit [per 7. 5.] ut ΓAB triangulum ad triangulum BAΔ ita triangulum AΔE ad triangulum BAΔ. ſed [per 1. 6.] ut triangulum quidem ΓAB ad BAΔ triangulum ita ΓA ad AΔ, ut autem triangulum EAΔ ad ipſum BAΔ ita EA ad AB: erit igitur [per 11. 5.] ΓA ad AΔ ut EA ad AB: quare triangulorum ABΓ, AΔE latera, quæ circum æquales angulos, ſunt reciproce proportionalia.

SINT autem latera triangulorum ABΓ, AΔE reciproce proportionalia; & ſit ut ΓA ad AΔ ita EA ad AB: dico triangulum ABΓ triangulo AΔE eſſe æquale.

Juncta enim rurſus BΔ, quoniam ut ΓA ad AΔ ita eſt EA ad AB; ut autem ΓA ad AΔ ita [per 1. 6.] ABΓ triangulum ad triangulum BAΔ, & ut EA ad AB ita triangulum EAΔ ad BAΔ triangulum: erit [per 11. 5.] ut ABΓ triangulum ad triangulum BAΔ ita triangulum EAΔ ad BAΔ triangulum: utrumque igitur triangulorum ABΓ, AΔE ad triangulum BAΔ eandem habet rationem; ac propterea [per 9. 5.] æquale eſt ABΓ triangulum triangulo EAΔ.



Æqualium igitur & unum angulum uni æqualem habentium triangulorum reciproce proportionalia ſunt latera, quæ circum æquales angulos: & quorum triangulorum unum angulum uni æqualem habentium reciproce proportionalia ſunt latera, quæ circum æquales angulos, illa inter ſe ſunt æqualia. quod erat demonſtrandum.

Επιζευχθείσης γὰρ πάλιν τὴν ΒΔ, ἐπεὶ ἐστιν ὡς ἡ ΓΑ πρὸς τὴν ΑΔ οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΒ, ἀλλ' ὡς μὲν ἡ ΓΑ πρὸς τὴν ΑΔ οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον, ὡς δὲ ἡ ΕΑ πρὸς τὴν ΑΒ οὕτως τὸ ΕΑΔ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον· ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΒΑΔ οὕτως τὸ ΕΑΔ τρίγωνον πρὸς τὸ ΒΑΔ· ἑκάτερον ἄρα τῶν ΑΒΓ, ΑΔΕ πρὸς τὸ ΒΑΔ τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΕΑΔ τριγώνῳ.

Τῶν ἄρα ἴσων καὶ μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν, μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν, τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας, ἐκεῖνα ἴσα εἰσίν. ὅπερ ἔδει δεῖξαι.

Prop. XVI. Theor.

Si quatuor rectæ lineæ proportionales fuerint, rectangulum ſub extremis comprehenſum æquale eſt rectangulo quod ſub mediis comprehenditur: & ſi rectangulum ſub extremis comprehenſum æquale fuerit ei quod ſub mediis comprehenditur, quatuor rectæ lineæ proportionales erunt.

ΠΡΟΤΑΣΙΣ ις'.

Εὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ· καὶ ἐὰν τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται.

SInt quatuor rectæ lineæ proportionales AB, ΓΔ, E, Z; ut quidem AB ad ΓΔ ita E ad Z: dico rectangulum comprehenſum ſub rectis lineis AB, Z æquale eſſe ei quod ſub ipſis ΓΔ, E comprehenditur.

Ducantur enim [per 11. 1.] à punctis A, Γ ipſis AB, ΓΔ ad rectos angulos AH, ΓΘ; ponaturque ipſi Z æqualis AH; ipſi vero E æqualis ΓΘ; & compleantur BH, ΔΘ parallelogramma.



Quoniam igitur eſt ut AB ad ΓΔ ita E ad Z; eſt autem E quidem æqualis ΓΘ, & Z ipſi AH; erit [per 7. 5.] ut AB ad ΓΔ ita ΓΘ ad AH: parallelogrammorum igitur BH, ΔΘ reciproce proportionalia ſunt latera, quæ circum æquales angulos. quorum autem æquiangulorum parallelogrammorum reciproce proportionalia ſunt latera, quæ circum æquales angulos,

Ἔστωσαν τέσσαρες εὐθεῖαι αἱ ΑΒ, ΓΔ, Ε, Ζ ἀνάλογον, ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ Ε πρὸς τὴν Ζ· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΒ, Ζ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΓΔ, Ε περιεχομένῳ ὀρθογωνίῳ.

Ἤχθωσαν γὰρ ἀπὸ τῶν Α, Γ σημείων ταῖς ΑΒ, ΓΔ εὐθείαις πρὸς ὀρθὰς αἱ ΑΗ, ΓΘ, καὶ κείσθω τῇ μὲν Ζ ἴση ἡ ΑΗ, τῇ δὲ Ε ἴση ἡ ΓΘ, καὶ συμπεπληρώσθωσαν τὰ ΒΗ, ΔΘ παραλληλόγραμμα.

Καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ Ε πρὸς τὴν Ζ, ἴση δὲ ἡ μὲν Ε τῇ ΓΘ, ἡ δὲ Ζ τῇ ΑΗ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΓΘ πρὸς τὴν ΑΗ· τῶν ΒΗ, ΔΘ παραλληλογράμμων ἄρα ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας. ὧν δὲ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας

γωνίας, ὅτα ἐστὶν ἐκεῖνα· ἴσον ἄρα ἐστὶ τὸ ΒΗ παραλληλόγραμμον τῷ ΔΘ παραλληλογράμμῳ. Καὶ ἔστι τὸ μὲν ΒΗ τὸ ὑπὸ τ ΑΒ, Ζ, ἴση γὰρ ἡ ΑΗ τῇ Ζ· τὸ δὲ ΔΘ τὸ ὑπὸ τ ΓΔ, Ε παραλληλόγραμμον ὀρθογώνιον, ἴση γὰρ ἡ ΓΘ τῇ Ε· τὸ ἄρα ὑπὸ τ ΑΒ, Ζ παραλληλόγραμμον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΓΔ, Ε παραλληλογράμμῳ ὀρθογωνίῳ.

Ἀλλὰ δὴ τὸ ὑπὸ τ ΑΒ, Ζ παραλληλόγραμμον ὀρθογώνιον ἴσον ἔστω τῷ ὑπὸ ΓΔ, Ε παραλληλογράμμῳ ὀρθογωνίῳ· λέγω ὅτι αἱ τέσσαρες εὐθεῖαι ἀνάλογόν εἰσιν, ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ Ε πρὸς τὴν Ζ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ τὸ ὑπὸ τ ΑΒ, Ζ ἴσον ἐστὶ τῷ ὑπὸ τ ΓΔ, Ε, καὶ ἔστι τὸ μὲν ὑπὸ τ ΑΒ, Ζ τὸ ΒΗ, ἴση γὰρ τῇ Ζ ἡ ΑΗ· τὸ δὲ ὑπὸ τ ΓΔ, Ε τὸ ΔΘ, ἴση γὰρ ἡ ΓΘ τῇ Ε· τὸ ἄρα ΒΗ ἴσον ἐστὶ τῷ ΔΘ. καί εἰσιν ἰσογώνια. τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΓΘ πρὸς τὴν ΑΗ. ἴση δὲ ἡ μὲν ΓΘ τῇ Ε, ἡ δὲ ΑΗ τῇ Ζ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ Ε πρὸς τὴν Ζ.

Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ὑπὸ τ ἄκρων παραλληλόγραμμον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τ μέσων παραλληλογράμμῳ ὀρθογωνίῳ· καὶ εἰ τὸ ὑπὸ τῶν ἄκρων παραλληλόγραμμον ὀρθογώνιον ἴσον ᾖ τῷ ὑπὸ τ μέσων παραλληλογράμμῳ ὀρθογωνίῳ, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται. ὅπερ ἔδει δεῖξαι.

ea [per 14. 6.] inter ſe ſunt æqualia; parallelogrammum igitur BH æquale eſt parallelogrammo ΔΘ. eſt autem parallelogrammum BH ſub rectis lineis AB, Z comprehenſum, eſt enim AH æqualis Z; parallelogrammum vero ΔΘ comprehenditur ſub ipſis ΓΔ, E, cum ΓΘ ipſi E ſit æqualis: rectangulum igitur comprehenſum ſub rectis AB, Z eſt æquale ei quod ſub ipſis ΓΔ, E comprehenditur.

Sed rectangulum comprehenſum ſub AB, Z ſit æquale ei quod comprehenditur ſub ipſis ΓΔ, E: dico quatuor rectas lineas proportionales eſſe, videlicet ut AB ad ΓΔ ita E ad Z.

Iiſdem enim conſtructis, quoniam rectangulum comprehenſum ſub rectis AB, Z eſt æquale ei quod ſub rectis ΓΔ, E comprehenditur, eſt autem rectangulum BH comprehenſum ſub rectis AB, Z, etenim AH eſt æqualis Z; comprehenſum vero ſub rectis ΓΔ, E eſt rectangulum ΔΘ, quod ΓΘ ipſi E ſit æqualis: erit parallelogrammum BH æquale parallelogrammo ΔΘ; & ſunt æquiangula. æqualium autem & æquiangulorum parallelogrammorum latera, quæ circum æquales angulos [per 14. 6.] ſunt reciproce proportionalia: quare ut AB ad ΓΔ ita ΓΘ ad AH. æqualis autem eſt ΓΘ ipſi E, & AH ipſi Z: ut igitur AB ad ΓΔ ita E ad Z.

Ergo ſi quatuor rectæ lineæ proportionales fuerint, rectangulum ſub extremis comprehenſum æquale eſt ei quod ſub mediis comprehenditur: & ſi rectangulum ſub extremis comprehenſum æquale fuerit ei quod ſub mediis comprehenditur, quatuor rectæ lineæ proportionales erunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ὑπὸ τῶν ἄκρων παραλληλόγραμμον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ· καὶ εἰ τὸ ὑπὸ τ ἄκρων παραλληλόγραμμον ὀρθογώνιον ἴσον ᾖ τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ, αἱ τρεῖς εὐθεῖαι ἀνάλογον ἔσονται.

Prop. XVII. Theor.

Si tres rectæ lineæ proportionales fuerint, rectangulum ſub extremis comprehenſum æquale eſt ei quod à media fit quadrato: & ſi rectangulum ſub extremis comprehenſum æquale fuerit ei quod à media fit quadrato, tres rectæ lineæ proportionales erunt.

Ἐστωσαν τρεῖς εὐθεῖαι ἀνάλογον αἱ Α, Β, Γ, ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Β πρὸς τὴν Γ· λέγω ὅτι τὸ ὑπὸ τ Α, Γ παραλληλόγραμμον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσης τ Β τετραγώνῳ.

Κείσθω τῇ Β ἴση ἡ Δ.

Καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Β πρὸς τὴν Γ, ἴση δὲ ἡ Β τῇ Δ· ἔστιν ἄρα ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Δ πρὸς τὴν Γ. ἐὰν ᾖ τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ὑπὸ τ ἄκρων παραλληλόγραμμον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τ μέσων παραλ-



Sint tres rectæ lineæ proportionales A, B, Γ, ut quidem A ad B ita B ad Γ: dico rectangulum comprehenſum ſub rectis A, Γ æquale eſſe ei quod à media B fit quadrato.

Ponatur ipſi B æqualis Δ.

Et quoniam ut A ad B ita B ad Γ, æqualis autem eſt B ipſi Δ; erit ut A ad B ita Δ ad Γ. ſi autem quatuor rectæ lineæ proportionales fuerint, rectangulum ſub extremis comprehenſum [per 16. 6.] eſt æquale ei quod ſub mediis comprehenditur

henditur: ergo rectangulum comprehenſum ſub rectis A, Γ æquale eſt ei quod comprehenditur ſub rectis B, Δ. ſed rectangulum comprehenſum ſub rectis B, Δ eſt æquale quadrato quod fit ex ipſa B; etenim B eſt æqualis Δ: rectangulum igitur comprehenſum ſub rectis A, Γ eſt æquale ei quod ex B fit quadrato.



SED rectangulum comprehenſum ſub rectis A, Γ æquale ſit quadrato quod fit ex B: dico ut A ad B ita eſſe B ad Γ.

Iiſdem enim conſtructis, quoniam rectangulum comprehenſum ſub rectis A, Γ æquale eſt quadrato quod fit ex B; at quadratum quod fit ex B eſt rectangulum quod ſub ipſis B, Δ comprehenditur, eſt enim B æqualis ipſi Δ: erit rectangulum comprehenſum ſub rectis A, Γ æquale ei quod ſub rectis B, Δ comprehenditur. ſi autem rectangulum ſub extremis comprehenſum æquale fuerit ei quod ſub mediis comprehenditur, quatuor rectæ lineæ [per 16. 6.] proportionales erunt: eſt igitur ut A ad B ita Δ ad Γ. ſed B æqualis eſt Δ: ut igitur A ad B ita B ad Γ.

Si igitur tres rectæ lineæ proportionales fuerint, rectangulum ſub extremis comprehenſum eſt æquale ei quod à media fit quadrato: & ſi rectangulum ſub extremis comprehenſum æquale fuerit ei quod à media fit qnadrato, tres rectæ lineæ proportionales erunt. quod erat demonſtrandum.

PROP. XVIII. PROBL.

A data recta linea rectilineo ſimile & ſimiliter poſitum rectilineum deſcribere.

SIT data recta linea AB, datum autem rectilineum ΓE: oportet à recta linea AB rectilineo ΓE ſimile & ſimiliter poſitum rectilineum deſcribere.

Jungatur ΔZ; & [per 23. 1.] ad rectam lineam AB & ad puncta in ipſâ A, B angulo quidem Γ æqualis angulus conſtituatur HAB, angulo autem ΓΔZ angulus ABH: reliquus igitur ΓZΔ angulus [per 32. 1.] reliquo AHB eſt æqualis: ergo æquiangulum eſt ZΓΔ triangulum triangulo HAB; ac propterea [per 4. 6.] ut ZΔ ad HB ita ZΓ ad HA & ΓΔ ad



χομένῳ ὀρθογωνίῳ· τὸ ἄρα ὑπὸ τῶν A, Γ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν B, Δ. ἀλλὰ τὸ ὑπὸ τῶν B, Δ τῷ ἀπὸ τῆς B ἐστὶν ἴσον, ἴση γὰρ ἡ B τῇ Δ· τὸ ἄρα ὑπὸ τῶν A, Γ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς B τετραγώνῳ.

ΑΛΛΑ δὴ τὸ ὑπὸ τῶν A, Γ ἴσον ἔστω τῷ ἀπὸ τῆς B· λέγω ὅτι ἐστὶν ὡς ἡ A πρὸς τὴν B οὕτως ἡ B πρὸς τὴν Γ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ τὸ ὑπὸ τῶν A, Γ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς B, ἀλλὰ τὸ ἀπὸ τῆς B τῷ ὑπὸ τῶν B, Δ, ἴση γὰρ ἡ B τῇ Δ· τὸ ἄρα ὑπὸ τῶν A, Γ ἴσον ἐστὶ τῷ ὑπὸ B, Δ. ἐὰν δὲ τὸ ὑπὸ τῶν ἄκρων ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογόν εἰσιν· ἔστιν ἄρα ὡς ἡ A πρὸς τὴν B οὕτως ἡ Δ πρὸς τὴν Γ. ἴση δὲ ἡ B τῇ Δ· ὡς ἄρα ἡ A πρὸς τὴν B οὕτως ἡ B πρὸς τὴν Γ.

Ἐὰν ἄρα τρεῖς εὐθεῖαι ἀνάλογόν ὦσι, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ· κἂν τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ, αἱ τρεῖς εὐθεῖαι ἀνάλογον ἔσονται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιη'.

Ἀπὸ τῆ δοθείσης εὐθείας τῷ δοθέντι εὐθυγράμμῳ ὁμοίον τε καὶ ὁμοίως κείμενον εὐθύγραμμον ἀναγράψαι.

ΕΣτω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ AB, τὸ δὲ δοθὲν εὐθύγραμμον τὸ ΓE· δεῖ δὴ ἀπὸ τῆς AB εὐθείας τῷ ΓE εὐθυγράμμῳ ὁμοίον τε καὶ ὁμοίως κειμένον εὐθύγραμμον ἀναγράψαι.

Ἐπεζεύχθω ἡ ΔZ, καὶ συνεστάτω πρὸς τῇ AB εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς A, B τῇ μὲν πρὸς τῷ Γ γωνίᾳ ἡ ὑπὸ HAB ἴση, τῇ δὲ ὑπὸ ΓΔZ ἡ ὑπὸ ABH· λοιπὴ ἄρα ἡ ὑπὸ ΓZΔ λοιπῇ τῇ ὑπὸ AHB ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ZΓΔ τρίγωνον τῷ HAB τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ZΔ πρὸς τὴν HB οὕτως ἡ ZΓ πρὸς τὴν HA καὶ ἡ ΓΔ πρὸς τὴν AB.

ΑΒ. πάλιν, συνεστάτω πρὸς τῇ ΒΗ εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Β, Η τῇ μὲν ὑπὸ ΔΖΕ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΗΘ, τῇ δὲ ὑπὸ ΖΔΕ ἴση ἡ ὑπὸ ΗΒΘ· λοιπὴ ἄρα ἡ πρὸς τῷ Ε λοιπῇ τῇ πρὸς τῷ Θ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΖΔΕ τρίγωνον τῷ ΗΒΘ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΖΔ πρὸς τὴν ΗΒ οὕτως ἡ ΖΕ πρὸς τὴν ΗΘ καὶ ἡ ΕΔ πρὸς τὴν ΘΒ. ἐδείχθη δὲ καὶ ὡς ἡ ΖΔ πρὸς τὴν ΗΒ οὕτως ἡ ΖΓ πρὸς τὴν ΗΑ καὶ ἡ ΓΔ πρὸς τὴν ΑΒ· καὶ ὡς ἄρα ἡ ΖΓ πρὸς τὴν ΗΑ οὕτως ἦν Γ Δ πρὸς τὴν ΑΒ καὶ ἡ ΖΕ πρὸς τὴν ΗΘ, καὶ ἔτι ἡ ΕΔ πρὸς τὴν ΘΒ. Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΓΖΔ γωνία τῇ ὑπὸ ΑΗΒ, ἡ δὲ ὑπὸ ΔΖΕ τῇ ὑπὸ ΒΗΘ· ὅλη ἄρα ἡ ὑπὸ ΓΖΕ ὅλῃ τῇ ὑπὸ ΑΗΘ ἐστὶν ἴση. Διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΓΔΕ τῇ ὑπὸ ΑΒΘ ἐστὶν ἴση, ἔστι δὲ καὶ ἡ μὲν πρὸς τῷ Γ τῇ πρὸς τῷ Α ἴση, ἡ δὲ πρὸς τῷ Ε τῇ πρὸς τῷ Θ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΘ τῷ ΓΕ, καὶ τὰς περὶ τὰς ἴσας γωνίας αὐτῶν πλευρὰς ἀνάλογον ἔχει· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΘ εὐθυγράμμον τῷ ΓΕ εὐθυγράμμῳ.

Ἀπὸ τῆς δοθείσης ἄρα εὐθείας τῆς ΑΒ τῷ δοθέντι εὐθυγράμμῳ τῷ ΓΕ ὁμοίων τε καὶ ὁμοίως κειμένων εὐθυγράμμων ἀναγέγραπται τὸ ΑΘ. ὅπερ ἔδει ποιῆσαι.

AB. rursus, constituatur ad rectam lineam BH & ad puncta in ipsa B, H angulo quidem ΔZE æqualis angulus BHΘ, angulo autem ZΔE æqualis HBΘ: ergo reliquus qui ad E reliquo qui ad Θ est æqualis: æquiangulum igitur est triangulum ZΔE triangulo HBΘ: quare [per 4. 6.] ut ZΔ ad HB ita ZE ad HΘ & EΔ ad ΘB. ostensum autem est & ut ZΔ ad HB ita esse ZΓ ad HA & ΓΔ ad AB: & igitur [per 11. 5.] ut ZΓ ad HA ita ΓΔ ad AB & ZE ad HΘ, & adhuc EΔ ad ΘB. itaque quoniam angulus ΓZΔ est [per constr.] æqualis angulo AHB, angulus autem ΔZE angulo BHΘ: erit totus ΓZE angulus toti AHΘ æqualis. eadem ratione & ΓΔE est æqualis ipsi ABΘ, & præterea angulus ad Γ angulo ad A æqualis, angulus vero ad E angulo ad Θ; æquiangulum igitur est AΘ ipsi ΓE, & latera circum æquales angulos habet proportionalia: ergo [per 1. def. 6.] rectilineum AΘ rectilineo ΓB simile erit.

A data igitur recta linea AB dato rectilineo ΓE simile & similiter positum rectilineum AΘ descriptum est. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Τὰ ὅμοια τρίγωνα πρὸς ἄλληλα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν.

Prop. XIX. Theor.

Similia triangula inter se sunt in duplicata ratione laterum homologorum.

Ἔστω ὅμοια τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, ἴσην ἔχοντα τὴν πρὸς τῷ Β γωνίαν τῇ πρὸς τῷ Ε, ὡς μὲν τὴν ΑΒ πρὸς τὴν ΒΓ οὕτως τὴν ΔΕ πρὸς τὴν ΕΖ, ὥστε ὁμόλογον εἶναι τὴν ΒΓ τῇ ΕΖ· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ.

Εἰλήφθω γὰρ τῶν ΒΓ, ΕΖ τρίτη ἀνάλογον ἡ ΒΗ, ὥστε εἶναι ὡς τὴν ΒΓ πρὸς τὴν ΕΖ οὕτως τὴν ΕΖ πρὸς τὴν ΒΗ· καὶ ἐπεζεύχθω ἡ ΗΑ.



Ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΖ· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΒ πρὸς τὴν ΔΕ οὕτως ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἀλλ' ὡς ἡ ΒΓ πρὸς τὴν ΕΖ οὕτως ἐστὶν ἡ ΕΖ πρὸς τὴν ΒΗ· καὶ ὡς ἄρα ἡ ΑΒ πρὸς τὴν ΔΕ οὕτως ἡ ΕΖ πρὸς τὴν ΒΗ· τῶν ΑΒΗ, ΔΕΖ τριγώνων ἄρα ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας. ὧν δὲ, μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν, ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶ κἀκεῖνα· ἴσον ἄρα ἐστὶ τὸ ΑΒΗ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ. Καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΕΖ οὕτως ἡ ΕΖ πρὸς τὴν ΒΗ· ἐὰν δὲ τρεῖς εὐθεῖαι ἀνάλογόν ὦσιν, ἡ πρώτη πρὸς τὴν τρίτην διπλασίονα λόγον

Sunt similia triangula ABΓ, ΔEZ, habentia angulum ad B æqualem angulo ad E; & sit ut AB ad BΓ ita ΔE ad EZ, ita ut latus BΓ homologum sit [per 12. def. 5.] lateri EZ: dico ABΓ triangulum ad triangulum ΔEZ duplicatam rationem habere ejus quam habet BΓ ad EZ.

Sumatur enim [per 11. 6.] ipsis BΓ, EZ tertia proportionalis BH, ut sit sicut BΓ ad EZ ita EZ ad BH: & jungatur HA.



Quoniam igitur ut AB ad BΓ ita est ΔE ad EZ; erit permutando [per 16. 5.] ut AB ad ΔE ita BΓ ad EZ. sed ut BΓ ad EZ ita EZ ad BH, & igitur [per 11. 5.] ut AB ad ΔE ita EZ ad BH: quare triangulorum ABH, ΔEZ latera, quæ circum æquales angulos, reciproce sunt proportionalia. quorum autem triangulorum, unum angulum uni æqualem habentium, latera, quæ circum æquales angulos, reciproce sunt proportionalia, ea [per 15. 6.] inter se sunt æqualia: æquale igitur est ABH triangulum triangulo ΔEZ. & quoniam est ut BΓ ad EZ ita EZ ad BH; si autem tres rectæ lineæ proportionales sint [per 10. def. 5.] prima ad tertiam duplicatam rationem

habet ejus quam habet ad ſecundam; habebit ΒΓ ad ΒΗ duplicatam rationem ejus quam habet ΒΓ ad ΕΖ. ut autem ΒΓ ad ΒΗ ita [per 1. 6.] ΑΒΓ triangulum ad triangulum ΑΒΗ: ergo & ΑΒΓ triangulum ad triangulum ΑΒΗ duplicatam rationem habet ejus quam habet ΒΓ ad ΕΖ. eſt autem ΑΒΗ triangulum triangulo ΔΕΖ æquale: & igitur [per 7. 5.] triangulum ΑΒΓ ad triangulum ΔΕΖ duplicatam rationem habebit ejus quam habet ΒΓ ad ΕΖ.



Similia igitur triangula inter ſe ſunt in duplicata ratione laterum homologorum. quod erat demonſtrandum.

Corollarium.

Ex hoc manifeſtum eſt, ſi tres rectæ lineæ proportionales fuerint, ut prima ad tertiam ita eſſe triangulum quod fit à prima ad triangulum à ſecunda ſimile & ſimiliter deſcriptum: quoniam oſtenſum eſt ut ΓΒ ad ΒΗ ita ΑΒΓ triangulum ad triangulum ΑΒΗ, hoc eſt ad triangulum ΔΕΖ.

Prop. XX. Theor.

Similia polygona in ſimilia triangula dividuntur & numero æqualia & homologa totis: & polygonum ad polygonum duplicatam rationem habet ejus quam latus homologum habet ad latus homologum.

Sint ſimilia polygona ΑΒΓΔΕ, ΖΗΘΚΛ, & ſit latus ΑΒ homologum ipſi ΖΗ: dico polygona ΑΒΓΔΕ, ΖΗΘΚΛ in ſimilia triangula dividi & numero æqualia & homologa totis; & polygonum ΑΒΓΔΕ ad polygonum ΖΗΘΚΛ duplicatam rationem habere ejus quam habet ΑΒ ad ΖΗ.

Jungantur ΒΕ, ΕΓ, ΗΛ, ΛΘ.

Et quoniam ſimile eſt ΑΒΓΔΕ polygonum polygono ΖΗΘΚΛ; angulus ΒΑΕ angulo ΗΖΛ eſt æqualis: atque eſt ut ΒΑ ad ΑΕ ita ΗΖ ad ΖΛ. quoniam igitur ΑΒΕ, ΖΗΛ ſunt duo triangula unum angulum uni angulo æqualem habentia, circum æquales autem angulos latera proportionalia; erit [per 6. 6.] triangulum ΑΒΕ triangulo ΖΗΛ æquiangulum; ergo [per 4. 6.] & ſimile; angulus igitur ΑΒΕ æqualis eſt angulo ΖΗΛ. eſt autem & totus ΑΒΓ angulus æqualis toti ΖΗΘ, propter ſimilitudinem polygonorum: ergo reliquus ΕΒΓ reliquo ΛΗΘ eſt æqualis. & quoniam ob ſimilitudinem triangulorum ΑΒΕ, ΖΗΛ eſt ut ΕΒ ad ΒΑ ita ΛΗ ad ΗΖ; ſed & propter ſimilitudinem polygonorum ut ΑΒ ad ΒΓ ita ΖΗ ad

ἔχειν λέγεται ἥπερ πρὸς τὴν δευτέραν· ἡ ΒΓ ἄρα πρὸς τὴν ΒΗ διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ὡς δὲ ἡ ΒΓ πρὸς τὴν ΒΗ οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΒΗ τρίγωνον· καὶ τὸ ΑΒΓ ἄρα τρίγωνον πρὸς τὸ ΑΒΗ διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἴσον δὲ τὸ ΑΒΗ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ· καὶ τὸ ΑΒΓ ἄρα τρίγωνον πρὸς τὸ ΔΕΖ διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ.

Τὰ ἄρα ὅμοια τρίγωνα τὰς ἀλλήλα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην οὕτως τὸ ἀπὸ τῆς πρώτης τρίγωνον πρὸς τὸ ἀπὸ τῆς δευτέρας ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον· ἐπείπερ ἐδείχθη, ὡς ἡ ΓΒ πρὸς τὴν ΒΗ οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΒΗ τρίγωνον, τουτέστι τὸ ΔΕΖ.

ΠΡΟΤΑΣΙΣ κ'.

Τὰ ὅμοια πολύγωνα εἰς τε ὅμοια τρίγωνα διαιρεῖται καὶ εἰς ἴσα τὸ πλῆθος καὶ ὁμόλογα τοῖς ὅλοις· καὶ τὸ πολύγωνον πρὸς πολύγωνον διπλασίονα λόγον ἔχει ἥπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν.

Ἔστω ὅμοια πολύγωνα τὰ ΑΒΓΔΕ, ΖΗΘΚΛ, ὁμόλογος δὲ ἔστω ἡ ΑΒ τῇ ΖΗ· λέγω ὅτι τὰ ΑΒΓΔΕ, ΖΗΘΚΛ πολύγωνα εἰς τε ὅμοια τρίγωνα διαιρεῖται καὶ εἰς ἴσα τὸ πλῆθος καὶ ὁμόλογα τοῖς ὅλοις, καὶ τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΑΒ πρὸς τὴν ΖΗ.

Ἐπεζεύχθωσαν αἱ ΒΕ, ΕΓ, ΗΛ, ΛΘ.

Καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ ΑΒΓΔΕ πολύγωνον τῷ ΖΗΘΚΛ πολυγώνῳ, ἴση ἐστὶν ἡ ὑπὸ ΒΑΕ γωνία τῇ ὑπὸ ΗΖΛ· καὶ ἔστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΕ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΛ. ἐπεὶ οὖν δύο τρίγωνά ἐστι τὰ ΑΒΕ, ΖΗΛ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΖΗΛ τριγώνῳ, ὥστε καὶ ὅμοιον· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΕ γωνία τῇ ὑπὸ ΖΗΛ. ἔστι δὲ καὶ ὅλη ἡ ὑπὸ ΑΒΓ ὅλῃ τῇ ὑπὸ ΖΗΘ ἴση, διὰ τὴν ὁμοιότητα τῶν πολυγώνων· λοιπὴ ἄρα ἡ ὑπὸ ΕΒΓ γωνία λοιπῇ τῇ ὑπὸ ΛΗΘ ἐστὶν ἴση. καὶ ἐπεὶ διὰ τὴν ὁμοιότητα τῶν ΑΒΕ, ΖΗΛ τριγώνων ἐστὶν ὡς ἡ ΕΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΛΗ πρὸς τὴν ΗΖ, ἀλλὰ μὴν καὶ διὰ τὴν ὁμοιότητα τῶν πολυγώνων ἐστὶν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΖΗ πρὸς τὴν

ΗΘ·

ΗΘ· διὸσ ἄρα ἐστὶν ὡς ἡ ΕΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΛΗ πρὸς τὴν ΗΘ, καὶ περὶ τὰς ἴσας γωνίας τὰς ὑπὸ ΕΒΓ, ΛΗΘ αἱ πλευραὶ ἀνάλογον· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΕΒΓ τρίγωνον τῷ ΛΗΘ τριγώνῳ, ὥστε καὶ ὅμοιον. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΕΓΔ τρίγωνον ὁμοιόν ἐστι τῷ ΛΘΚ τριγώνῳ· τὰ ἄρα ὅμοια πολύγωνα τὰ ΑΒΓΔΕ, ΖΗΘΚΛ εἰς τε ὅμοια τρίγωνα διήρηται καὶ εἰς ἴσα τὸ πλῆθος.

ΑΕΓΩ ὅτι καὶ ὁμόλογα τοῖς ὅλοις· τουτέστιν, ὥστε ἀνάλογον εἶναι τὰ τρίγωνα, καὶ ἡγούμενα μὲν εἶναι τὰ ΑΒΕ, ΕΒΓ, ΕΓΔ, ἑπόμενα δὲ αὐτῶν τὰ ΖΗΛ, ΛΗΘ, ΛΘΚ, καὶ ὅτι τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον διπλασίονα λόγον ἔχει ἤπερ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν, τουτέστιν ἡ ΑΒ πρὸς τὴν ΖΗ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΓ, ΖΘ.

Καὶ ἐπεὶ διὰ τὴν ὁμοιότητα τῶν πολυγώνων ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΖΗΘ, καί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΖΗ πρὸς τὴν ΗΘ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΖΗΘ τριγώνῳ· ἴση ἄρα ἐστὶν ἡ μὲν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΗΖΘ, ἡ δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΗΘΖ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΒΑΜ γωνία τῇ ὑπὸ ΗΖΝ, ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΒΜ τῇ ὑπὸ ΖΗΝ ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΜΒ λοιπῇ τῇ ὑπὸ ΖΝΗ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΜ τρίγωνον τῷ ΖΗΝ τριγώνῳ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ τὸ ΒΜΓ τρίγωνον ἰσογώνιόν ἐστι τῷ ΗΝΘ τριγώνῳ· ἀνάλογον ἄρα ἐστίν, ὡς μὲν ἡ ΑΜ πρὸς τὴν ΜΒ οὕτως ἡ ΖΝ πρὸς τὴν ΝΗ, ὡς δὲ ἡ ΒΜ πρὸς τὴν ΜΓ οὕτως ἡ ΗΝ πρὸς τὴν ΝΘ· ὥστε καὶ διὸσ, ὡς ἡ ΑΜ πρὸς τὴν ΜΓ οὕτως ἡ ΖΝ πρὸς τὴν ΝΘ. ἀλλ' ὡς ἡ ΑΜ πρὸς τὴν ΜΓ οὕτως τὸ ΑΒΜ τρίγωνον πρὸς τὸ ΜΒΓ, καὶ τὸ ΑΜΕ πρὸς ΕΜΓ, πρὸς ἀλληλα γάρ εἰσιν ὡς αἱ βάσεις· καὶ ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ὡς ἄρα τὸ ΑΜΒ τρίγωνον πρὸς τὸ ΒΜΓ οὕτως τὸ ΑΒΕ πρὸς τὸ ΓΒΕ. ἀλλ' ὡς τὸ ΑΜΒ πρὸς τὸ ΒΜΓ οὕτως ἡ ΑΜ πρὸς τὴν ΜΓ· καὶ ὡς ἄρα ἡ ΑΜ πρὸς τὴν ΜΓ οὕτως τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΕΒΓ τρίγωνον. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ ΖΝ πρὸς τὴν ΝΘ οὕτως τὸ ΖΗΛ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον. καί ἐστιν ὡς ἡ ΑΜ πρὸς τὴν ΜΓ οὕτως ἡ ΖΝ πρὸς τὴν ΝΘ· καὶ ὡς ἄρα τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΕΒΓ τρίγωνον οὕτως τὸ ΖΗΛ τρίγωνον πρὸς τὸ ΗΘΛ τρίγωνον, καὶ συναλλὰξ ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ τρίγωνον οὕτως τὸ ΕΒΓ τρίγωνον πρὸς τὸ ΗΛΘ. ὁμοίως δὴ δείξομεν, ἐπιζευχθεισῶν τῶν ΒΔ, ΗΚ, ὅτι καὶ ὡς





ΗΘ: erit [per 22. 5.] ex æquo ut ΕΒ ad ΒΓ ita ΛΗ ad ΗΘ; nempe circum æquales angulos ΕΒΓ, ΛΗΘ latera ſunt proportionalia: æquiangulum igitur eſt [per 6. 6.] ΕΒΓ triangulum triangulo ΛΗΘ, quare [per 4. 6.] & ſimile. eadem ratione & ΕΓΔ triangulum ſimile eſt triangulo ΛΘΚ: ſimilia igitur polygona ΑΒΓΔΕ, ΖΗΘΚΛ in ſimilia triangula dividuntur & numero æqualia.

Dico & homologa totis: hoc eſt, ut proportionalia ſint triangula, & antecedentia quidem eſſe ΑΒΕ, ΕΒΓ, ΕΓΔ, conſequentia autem ipſorum ΖΗΛ, ΛΗΘ, ΛΘΚ; & ΑΒΓΔΕ polygonum ad polygonum ΖΗΘΚΛ duplicatam rationem habere ejus quam latus homologum habet ad homologum latus, hoc eſt ΑΒ ad ΖΗ.

Jungantur enim ΑΓ, ΖΘ.

Et quoniam, propter ſimilitudinem polygonorum, angulus ΑΒΓ eſt æqualis angulo ΖΗΘ, atque eſt ut ΑΒ ad ΒΓ ita ΖΗ ad ΗΘ; erit [per 6. 6.] triangulum ΑΒΓ triangulo ΖΗΘ æquiangulum: æqualis igitur eſt angulus quidem ΒΑΓ angulo ΗΖΘ, angulus vero ΒΓΑ angulo ΗΘΖ. præterea quoniam æqualis eſt ΒΑΜ angulus angulo ΗΖΝ, oſtenſus autem eſt & ΑΒΜ angulus æqualis angulo ΖΗΝ; erit [per 32. 1.] & reliquus ΑΜΒ reliquo ΖΝΗ æqualis: ergo æquiangulum eſt ΑΒΜ triangulum triangulo ΖΗΝ. ſimiliter oſtendemus & triangulum ΒΜΓ triangulo ΗΝΘ æquiangulum eſſe; igitur [per 4. 6.] ut ΑΜ ad ΜΒ ita eſt ΖΝ ad ΝΗ, & ut ΒΜ ad ΜΓ ita ΗΝ ad ΝΘ: quare & ex æquo [per 22. 5.] ut ΑΜ ad ΜΓ ita ΖΝ ad ΝΘ. ſed ut ΑΜ ad ΜΓ ita ΑΒΜ triangulum ad triangulum ΜΒΓ, & triangulum ΑΜΕ ad ipſum ΕΜΓ, inter ſe enim ſunt [per 1. 6.] ut baſes: & [per 12. 5.] ut unum antecedentium ad unum conſequentium ita omnia antecedentia ad omnia conſequentia: ut igitur ΑΜΒ triangulum ad triangulum ΒΜΓ ita triangulum ΑΒΕ ad ipſum ΓΒΕ. ſed ut ΑΜΒ ad ΒΜΓ ita ΑΜ ad ΜΓ; & igitur [per 11. 5.] ut ΑΜ ad ΜΓ ita ΑΒΕ triangulum ad triangulum ΕΒΓ. eadem ratione & ut ΖΝ ad ΝΘ ita ΖΗΛ triangulum ad triangulum ΗΛΘ. atque eſt ut ΑΜ ad ΜΓ ita ΖΝ ad ΝΘ: ergo [per 11. 5.] ut triangulum ΑΒΕ ad triangulum ΒΕΓ ita triangulum ΖΗΛ ad ΗΛΘ triangulum; & permutando [per 16. 5.] ut ΑΒΕ triangulum ad triangulum ΖΗΛ ita triangulum ΒΕΓ ad triangulum ΗΛΘ. ſimiliter oſtendemus, junctis ΒΔ, ΗΚ, ut

ΒΕΓ

BEΓ triangulum ad triangulum HΛΘ ita esse triangulum EΓΔ ad triangulum ΛΘK. & quoniam est ut ABE triangulum ad triangulum ZHΛ ita triangulum EBΓ ad triangulum ΛHΘ, & adhuc ita triangulum EΓΔ ad ipsum ΛΘK; erit [per 12. 5.] & ut unum antecedentium ad unum consequentium sic omnia antecedentia ad omnia consequentia: ergo ut triangulum ABE ad triangulum ZHΛ ita ABΓΔE polygonum ad polygonum ZHΘKΛ. sed ABE triangulum ad triangulum ZHΛ duplicatam rationem habet ejus quam latus homologum AB habet ad homologum latus ZH; similia enim triangula sunt [per 19. 6.] in duplicata ratione laterum homologorum: ergo & ABΓΔE polygonum ad polygonum ZHΘKΛ duplicatam rationem habet ejus quam AB latus homologum habet ad ZH homologum latus.



Similia igitur polygona in similia triangula dividuntur, & numero æqualia & homologa totis: & polygonum ad polygonum duplicatam habet rationem ejus quam habet latus homologum ad latus homologum. quod erat demonstrandum.

Corollarium 1.

Eodem modo & in similibus quadrilateris ostendetur, ea esse in duplicata ratione laterum homologorum. ostensum autem est [ad corol. 19. 6.] & in triangulis: quare universe similes rectilineæ figuræ inter se sunt in duplicata ratione homologorum laterum.

Corollarium 2.

Et si ipsis AB, ZH tertiam proportionalem sumamus, quæ sit Ξ; habebit [per 10.def.5.] AB ad Ξ duplicatam rationem ejus quam habet AB ad ZH. habet autem & polygonum ad polygonum, & quadrilaterum ad quadrilaterum duplicatam rationem ejus quam latus homologum habet ad homologum latus, hoc est quam AB ad ZH: atque ostensum est hoc in triangulis. universe igitur manifestum est, si tres rectæ lineæ proportionales fuerint, ut prima ad tertiam ita esse figuram rectilineam, quæ fit à prima, ad similem & similiter descriptam à secunda.

ALITER.

Ostendemus etiam & aliter expeditius homologa esse triangula.

Exponantur enim rursus polygona ABΓΔE, ZHΘKΛ, & jungantur BE, EΓ, HΛ, ΛΘ: dico ut ABE triangulum ad triangulum ZHΛ ita esse triangulum EBΓ ad triangulum ΛHΘ, & triangulum ΓΔE ad ipsum ΘKΛ.

τὸ BEΓ τρίγωνον πρὸς τὸ HΛΘ τρίγωνον ὅτως τὸ EΓΔ πρὸς τὸ ΛΘK τρίγωνον. καὶ ἐπεί ἐστιν ὡς τὸ ABE τρίγωνον πρὸς τὸ ZHΛ ὅτως τὸ EBΓ πρὸς τὸ ΛHΘ, καὶ ἔτι EΓΔ πρὸς τὸ ΛΘK· καὶ ὡς ἄρα ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων ὅτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ἔστιν ἄρα ὡς τὸ ABE τρίγωνον πρὸς τὸ ZHΛ τρίγωνον ὅτως τὸ ABΓΔE πολύγωνον πρὸς τὸ ZHΘKΛ πολύγωνον. ἀλλὰ τὸ ABE τρίγωνον πρὸς τὸ ZHΛ διπλασίονα λόγον ἔχει ἤπερ ἡ AB ὁμόλογος πλευρὰ πρὸς τὴν ZH ὁμόλογον πλευράν· τὰ γὰρ ὅμοια τρίγωνα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν· καὶ τὸ ABΓΔE ἄρα πολύγωνον πρὸς τὸ ZHΘKΛ πολύγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ AB ὁμόλογος πλευρὰ πρὸς τὴν ZH ὁμόλογον πλευράν.



Τὰ ἄρα ὅμοια πολύγωνα εἰς τὰ ὅμοια τρίγωνα διαιρεῖται, καὶ εἰς ἴσα τὸ πλῆθος, καὶ ὁμόλογα τοῖς ὅλοις· καὶ τὸ πολύγωνον πρὸς πολύγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα α'.

Ὡσαύτως δὴ καὶ ὅτι τῶν ὁμοίων τετραπλεύρων δειχθήσεται, ὅτι ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν. ἐδείχθη δὲ καὶ ὅτι τῶν τριγώνων· ὥστε καθόλου τὰ ὅμοια εὐθύγραμμα σχήματα πρὸς ἄλληλα ἐν διπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν.

Πόρισμα β'.

Καὶ ἐὰν τῶν AB, ZH τρίτην ἀνάλογον λάβωμεν τὴν Ξ, ἡ AB πρὸς τὴν Ξ διπλασίονα λόγον ἔχει ἤπερ ἡ AB πρὸς τὴν ZH. ἔχει δὲ καὶ τὸ πολύγωνον πρὸς τὸ πολύγωνον, καὶ τὸ τετράπλευρον πρὸς τὸ τετράπλευρον διπλασίονα λόγον ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον, τουτέστιν ἡ AB πρὸς τὴν ZH· ἐδείχθη δὲ τοῦτο καὶ ὅτι τῶν τριγώνων. ὥστε καὶ καθόλου φανερὸν, ὅτι ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἔσται ὡς ἡ πρώτη πρὸς τὴν τρίτην ὅτως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας, τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον.

ΑΛΛΩΣ.

Δείξομεν δὴ καὶ ἑτέρως εὐχερέστερον ὁμόλογα τὰ τρίγωνα.

Ἐκκείσθωσαν γὰρ πάλιν τὰ ABΓΔE, ZHΘKΛ πολύγωνα, καὶ ἐπεζεύχθωσαν αἱ BE, EΓ, HΛ, ΛΘ· λέγω ὅτι ἐστὶν ὡς τὸ ABE τρίγωνον πρὸς τὸ ZHΛ ὅτως τὸ EBΓ πρὸς τὸ ΛHΘ καὶ τὸ ΓΔE πρὸς τὸ ΘKΛ.

Επεὶ

Ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ ΑΒΕ τρίγωνον τῷ ΖΗΛ τριγώνῳ, τὸ ΑΒΕ ἄρα τρίγωνον πρὸς τὸ ΖΗΛ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΕ πρὸς τὴν ΗΛ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΒΕΓ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΕ πρὸς τὴν ΗΛ· ἔστιν ἄρα ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ ὕτως τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ. πάλιν, ἐπεὶ ὅμοιόν ἐστι τὸ ΕΒΓ τρίγωνον τῷ ΛΗΘ τριγώνῳ· τὸ ΕΒΓ ἄρα πρὸς τὸ ΛΗΘ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΓΕ εὐθεῖα πρὸς τὴν ΘΛ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΕΓΔ τρίγωνον πρὸς τὸ ΛΘΚ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΓΕ πρὸς τὴν ΘΛ· ἔστιν ἄρα ὡς τὸ ΕΒΓ τρίγωνον πρὸς τὸ ΛΗΘ ὕτως τὸ ΕΓΔ πρὸς τὸ ΛΘΚ. ἐδείχθη δὲ καὶ ὡς τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ ὕτως τὸ ΑΒΕ πρὸς τὸ ΖΗΛ· καὶ ὡς ἄρα τὸ ΑΒΕ πρὸς τὸ ΖΗΛ ὕτως τὸ ΒΕΓ πρὸς τὸ ΗΛΘ καὶ τὸ ΕΓΔ πρὸς τὸ ΛΘΚ· καὶ ὡς ἄρα ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων ὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα, καὶ τὰ λοιπὰ ὡς ἐν τῇ πρώτῃ δείξει. ὅπερ ἔδει δεῖξαι.



Quoniam enim ſimile eſt ABE triangulum triangulo ZHΛ, habet ABE triangulum ad ZHΛ [per 19. 6.] duplicatam rationem ejus quam habet BE ad HΛ. eadem ratione & triangulum BEΓ ad HΛΘ triangulum duplicatam rationem habet ejus quam BE ad HΛ: eſt igitur [per 11. 5.] ut ABE triangulum ad triangulum ZHΛ ita triangulum EBΓ ad ΛHΘ triangulum. rurſus, quoniam ſimile eſt triangulum EBΓ triangulo ΛHΘ, habet [per 19. 6.] EBΓ triangulum ad triangulum ΛHΘ duplicatam rationem ejus quam recta linea ΓE habet ad rectam ΘΛ. eadem ratione & EΓΔ triangulum ad triangulum ΛΘK duplicatam rationem habet ejus quam ΓB ad ΘΛ: eſt igitur [per 11. 5.] ut triangulum EBΓ ad triangulum ΛHΘ ita EΓΔ triangulum ad triangulum ΛΘK. oſtenſum autem eſt & ut EBΓ triangulum ad triangulum ΛHΘ ita triangulum ABE ad triangulum ZHΛ: ergo & ut triangulum ABE ad triangulum ZHΛ ita triangulum BEΓ ad HΛΘ triangulum, & triangulum EΓΔ ad ipſum ΛΘK: & igitur [per 12. 5.] ut unum antecedentium ad unum conſequentium ita omnia antecedentia ad omnia conſequentia, & reliqua ut in priori demonſtratione. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κα'.

Τὰ τῷ αὐτῷ εὐθυγράμμῳ ὅμοια, καὶ ἀλλήλοις ἐστὶν ὅμοια.

Prop. XXI. Theor.

Quæ eidem rectilineo ſunt ſimilia, & inter ſe ſunt ſimilia.

Ἔστω γὰρ ἑκάτερον τῶν Α, Β εὐθυγράμμων τῷ Γ ὅμοιον· λέγω ὅτι καὶ τὸ Α τῷ Β ἐστὶν ὅμοιον.

Ἐπεὶ γὰρ ἐστὶν ὅμοιον τὸ Α τῷ Γ, ἰσογώνιόν τε ἐστὶν αὐτῷ, καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει. πάλιν, ἐπεὶ ὅμοιόν ἐστι τὸ Β τῷ Γ, ἰσογώνιόν τε ἐστὶν αὐτῷ καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει· ἑκάτερον ἄρα τῶν Α, Β τῷ Γ ἰσογώνιόν τε ἐστὶ καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει· ὥστε καὶ τὸ Α τῷ Β ἰσογώνιόν τε ἐστὶ καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει· ὅμοιον ἄρα ἐστὶ τὸ Α τῷ Β. ὅπερ ἔδει δεῖξαι.



Sit enim utrumque rectilineorum A, B ſimile rectilineo Γ: dico & rectilineum A rectilineo B ſimile eſſe.

Quoniam enim ſimile eſt A rectilineum rectilineo Γ, & ipſi [per 1. def. 6.] æquiangulum erit, & circum æquales angulos latera habebit proportionalia. rurſus, quoniam ſimile eſt rectilineum B rectilineo Γ, æquiangulum ipſi erit & circum æquales angulos latera proportionalia habebit; utrumque igitur rectilineorum A, B ipſi Γ æquiangulum eſt, & circum æquales angulos latera habet proportionalia: quare & rectilineum A ipſi B eſt [per 1. ax.] æquiangulum, lateraque circum æquales angulos [per 11. 5.] proportionalia habet; ac propterea [per 1. def. 6.] A ipſi B eſt ſimile. quod erat demonſtrandum.

PROP. XXII. THEOR.

Si quatuor rectæ lineæ proportionales fuerint; & rectilinea, quæ ab ipsis fiunt, similia & similiter descripta, proportionalia erunt: & si rectilinea, quæ ab ipsis fiunt, similia & similiter descripta proportionalia fuerint; & ipsæ rectæ lineæ proportionales erunt.

SInt quatuor rectæ lineæ proportionales AB, ΓΔ, EZ, HΘ, ut AB ad ΓΔ ita EZ ad HΘ; describanturque ab ipsis quidem AB, ΓΔ similia & similiter posita rectilinea KAB, ΛΓΔ, ab ipsis vero EZ, HΘ describantur rectilinea similia & similiter posita MZ, NΘ: dico ut KAB rectilineum ad rectilineum ΛΓΔ ita esse rectilineum MZ ad ipsum NΘ rectilineum.

Sumatur enim [per 11. 6.] ipsis quidem AB, ΓΔ tertia proportionalis Ξ; ipsis vero EZ, HΘ tertia proportionalis O. & quoniam est ut AB ad ΓΔ ita EZ ad HΘ, ut autem ΓΔ ad Ξ ita HΘ ad O: erit ex æquo [per 22. 5.] ut AB ad Ξ ita EZ ad O. sed [per 2. cor. 20. 6.] ut AB ad Ξ ita est rectilineum KAB ad ΛΓΔ rectilineum, ut autem EZ ad O ita rectilineum MZ ad rectilineum NΘ: igitur [per 11. 5.] ut KAB ad ΛΓΔ ita MZ ad NΘ.



SED sit ut KAB rectilineum ad rectilineum ΛΓΔ ita rectilineum MZ ad rectilineum NΘ: dico ut AB ad ΓΔ ita esse EZ ad HΘ.

Fiat enim [per 12. 6.] ut AB ad ΓΔ ita EZ ad ΠP, & describatur [per 18. 6.] ab ipsa ΠP alterutri rectilineorum MZ, NΘ simile & similiter positum rectilineum ΣP.

Quoniam igitur est ut AB ad ΓΔ ita EZ ad ΠP, & descripta sunt ab ipsis quidem AB, ΓΔ similia & similiter posita KAB, ΛΓΔ rectilinea, ab ipsis vero EZ, ΠP similia & similiter posita rectilinea MZ, ΣP; est [per part. prior. huj.] ut KAB ad rectilineum ΛΓΔ ita rectilineum MZ ad ΣP rectilineum. ponitur autem & ut rectilineum KAB ad rectilineum ΛΓΔ ita MZ rectilineum ad rectilineum NΘ; rectilineum igitur MZ [per 11. 5.] ad utrumque ipsorum NΘ, ΣP eandem habet rationem: ergo [per 9. 5.] rectilineum NΘ est ipsi ΣP æquale. est autem ipsi simile & similiter positum: ergo [per lemma sequens] HΘ est æqualis ΠP. & quoniam ut AB ad ΓΔ ita est EZ ad ΠP, æqualis autem ΠP ipsi HΘ; erit [per 7. 5.] ut AB ad ΓΔ ita EZ ad HΘ.

ΠΡΟΤΑΣΙΣ κβ'.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα, ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα, ἀνάλογον ἔσται· καὶ ἐὰν τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ, καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται.

Ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ AB, ΓΔ, EZ, HΘ, ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν HΘ, καὶ ἀναγεγράφθωσαν ἀπὸ μὲν τῆς AB, ΓΔ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ KAB, ΛΓΔ, ἀπὸ δὲ τῶν EZ, HΘ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ MZ, NΘ· λέγω ὅτι ἐστὶν ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ NΘ.

Εἰλήφθω γὰρ τῶν μὲν AB, ΓΔ τρίτη ἀνάλογον ἡ Ξ, τῶν δὲ EZ, HΘ τρίτη ἀνάλογον ἡ O. καὶ ἐπεί ἐστιν ὡς ἡ μὲν AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν HΘ, ὡς δὲ ἡ ΓΔ πρὸς τὴν Ξ οὕτως ἡ HΘ πρὸς τὴν O· δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ AB πρὸς τὴν Ξ οὕτως ἡ EZ πρὸς τὴν O. ἀλλ' ὡς μὲν ἡ AB πρὸς τὴν Ξ οὕτως καὶ τὸ KAB πρὸς τὸ ΛΓΔ, ὡς δὲ ἡ EZ πρὸς τὴν O οὕτως τὸ MZ πρὸς τὸ NΘ· ὡς ἄρα τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ NΘ.

ΑΛΛΑ δὴ ἔστω ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ NΘ· λέγω ὅτι ἐστὶν ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν HΘ.

Γεγονέτω γὰρ ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν ΠP, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΠP ὁποτέρῳ τῶν MZ, NΘ ὅμοιόν τε καὶ ὁμοίως κείμενον εὐθύγραμμον τὸ ΣP.

Ἐπεὶ οὖν ἐστιν ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν ΠP, καὶ ἀναγεγραπται ἀπὸ μὲν τῶν AB, ΓΔ ὅμοιά τε καὶ ὁμοίως κείμενα τὰ KAB, ΛΓΔ, ἀπὸ δὲ τῶν EZ, ΠP ὅμοιά τε καὶ ὁμοίως κείμενα τὰ MZ, ΣP· ἔστιν ἄρα ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ ΣP. ἀλλὰ κεῖται δὲ καὶ ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ NΘ· τὸ MZ ἄρα πρὸς ἑκάτερον τῶν NΘ, ΣP τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα ἐστὶ τὸ NΘ τῷ ΣP. ἔστι δὲ αὐτῷ ὅμοιον καὶ ὁμοίως κείμενον· ἴση ἄρα ἐστὶν ἡ HΘ τῇ ΠP. καί ἐπεί ἐστιν ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν ΠP, ἴση δὲ ἡ ΠP τῇ HΘ· ἔστιν ἄρα ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν HΘ.

Ἐὰν

Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται· καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται, καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται. ὅπερ ἔδει δεῖξαι.

Si igitur quatuor rectæ lineæ proportionales fuerint; & rectilinea quæ ab ipsis fiunt, similia & similiter descripta, proportionalia erunt: & si rectilinea quæ ab ipsis fiunt, similia & similiter descripta, proportionalia fuerint; & ipsæ rectæ lineæ proportionales erunt. quod erat demonstrandum.

ΛΗΜΜΑ.

Ὅτι δὲ, ἐὰν εὐθύγραμμα ἴσα τε καὶ ὅμοια ᾖ, αἱ ὁμόλογοι αὐτῶν πλευραὶ ἴσαι ἀλλήλαις εἰσὶ, δείξομεν ὕστερον.

LEMMA.

At vero, si rectilinea æqualia & similia sint, homologa ipsorum latera inter se æqualia esse hoc modo demonstrabimus.

Ἔστω ἴσα τε καὶ ὅμοια εὐθύγραμμα τὰ ΝΘ, ΣΡ, καὶ ἔστω ὡς ἡ ΘΗ πρὸς τὴν ΗΝ οὕτως ἡ ΡΠ πρὸς τὴν ΠΣ· λέγω ὅτι ἴση ἐστὶν ἡ ΡΠ τῇ ΘΗ.

Sint æqualia & similia rectilinea ΝΘ, ΣΡ; & sit ut ΘΗ ad ΗΝ ita ΡΠ ad ΠΣ: dico ΡΠ ipsi ΘΗ esse æqualem.

Εἰ γὰρ ἄνισοί εἰσι, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ΡΠ τῆς ΘΗ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΡΠ πρὸς τὴν ΠΣ οὕτως ἡ ΘΗ πρὸς τὴν ΗΝ, καὶ ἐναλλὰξ ὡς ἡ ΡΠ πρὸς τὴν ΘΗ οὕτως ἡ ΠΣ πρὸς τὴν ΗΝ. μείζων δὲ ἡ ΠΡ τῆς ΘΗ· μείζων ἄρα καὶ ἡ ΠΣ τῆς ΗΝ· ὥστε καὶ τὸ ΡΣ μεῖζόν ἐστι τοῦ ΘΝ· ἀλλὰ καὶ ἴσον, ὅπερ ἀδύνατον· οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΡΠ τῆς ΗΘ, ἴση ἄρα. ὅπερ ἔδει δεῖξαι.

Si enim inæquales sint, una ipsarum major erit. sit ΡΠ major quam ΘΗ. & quoniam est ut ΡΠ ad ΠΣ ita ΘΗ ad ΗΝ: & permutando erit [per 16. 5.] ut ΡΠ ad ΘΗ ita ΠΣ ad ΗΝ. major autem est ΠΡ quam ΗΘ; ergo & ΠΣ quam ΗΝ major erit: quare [per 20. 6.] & rectilineum ΡΣ rectilineo ΘΝ est majus: sed & æquale, quod fieri non potest: non est igitur ΠΡ inæqualis ipsi ΗΘ; ergo æqualis. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κγ'.

Τὰ ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

PROP. XXIII. THEOR.

Æquiangula parallelogramma inter se rationem habent *ex lateribus compositam.

Ἔστω ἰσογώνια παραλληλόγραμμα τὰ ΑΓ, ΓΖ, ἴσην ἔχοντα τὴν ὑπὸ ΒΓΔ γωνίαν τῇ ὑπὸ ΕΓΗ· λέγω ὅτι τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν, τὸν τε ὃν ἔχει ἡ ΒΓ πρὸς τὴν ΓΗ καὶ τὸν ὃν ἔχει ἡ ΔΓ πρὸς τὴν ΓΕ.

Sint æquiangula parallelogramma ΑΓ; ΓΖ, æqualem habentia ΒΓΔ angulum angulo ΕΓΗ: dico parallelogrammum ΑΓ ad parallelogrammum ΓΖ rationem habere compositam ex lateribus; hoc est, compositam ex ratione quam habet ΒΓ ad ΓΗ, & ex ratione quam ΔΓ habet ad ΓΕ.

Κείσθω γὰρ ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΒΓ τῇ ΓΗ, ἐπ' εὐθείας ἄρα ἐστὶ καὶ ἡ ΔΓ τῇ ΓΕ· καὶ συμπεπληρώσθω τὸ ΔΗ παραλληλόγραμμον, καὶ ἐκκείσθω τις εὐθεῖα ἡ Κ, καὶ γεγονέτω ὡς μὲν ἡ ΒΓ πρὸς τὴν ΓΗ οὕτως ἡ Κ πρὸς τὴν Λ, ὡς δὲ ἡ ΔΓ πρὸς τὴν ΓΕ οὕτως ἡ Λ πρὸς τὴν Μ.



Ponatur enim ΒΓ in directum ipsi ΓΗ, ergo [per 14. 1.] & ΔΓ ipsi ΓΕ in directum erit: & compleatur ΔΗ parallelogrammum, exponaturque recta linea quædam Κ, & fiat [per 12. 6.] ut ΒΓ ad ΓΗ ita Κ ad Λ, ut autem ΔΓ ad ΓΕ ita Λ ad Μ.

Οἱ ἄρα λόγοι τοῦ τε Κ πρὸς τὴν Λ καὶ τοῦ Λ πρὸς τὴν Μ οἱ αὐτοί εἰσι τοῖς λόγοις τῶν πλευρῶν, τοῦ τε ΒΓ πρὸς τὴν ΓΗ καὶ τοῦ ΔΓ πρὸς τὴν ΓΕ. ἀλλ' ὁ τοῦ Κ πρὸς τὸν Μ λόγος σύγκειται ἔκ τε τοῦ τοῦ Κ πρὸς τὸν Λ λόγου καὶ τοῦ τοῦ Λ πρὸς τὴν Μ· ὥστε καὶ ἡ Κ πρὸς τὴν Μ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΓΗ οὕτως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΘ· ἀλλ' ὡς ἡ ΒΓ πρὸς τὴν ΓΗ

Rationes igitur ipsius Κ ad Λ & Λ ad Μ eædem sunt quæ rationes laterum, videlicet ΒΓ ad ΓΗ & ΔΓ ad ΓΕ. sed [per 5. def. 6.] ratio Κ ad Μ composita est ex ratione Κ ad Λ & ratione Λ ad Μ: quare & Κ ad Μ rationem habet ex lateribus compositam. & quoniam est [per 1. 6.] ut ΒΓ ad ΓΗ ita ΑΓ parallelogrammum ad parallelogrammum ΓΘ; sed ut ΒΓ ad ΓΗ

* *Rectius ex laterum rationibus.*

ita K ad Λ: erit igitur [per 11. 5.] & ut K ad Λ ita parallelogrammum ΑΓ ad Γ Θ parallelogrammum. rursus, quoniam [per 1. 6.] est ut ΔΓ ad ΓΒ ita Γ Θ parallelogrammum ad parallelogrammum ΓΖ; ut autem ΔΓ ad ΓΒ ita Λ ad Μ: ut igitur Λ ad Μ ita erit [per 11. 5.] parallelogrammum ΓΘ ad ΓΖ parallelogrammum. itaque cum ostensum sit, ut K quidem ad Λ ita esse ΑΓ parallelogrammum ad parallelogrammum ΓΘ; ut autem Λ ad Μ ita parallelogrammum ΓΘ ad ΓΖ parallelogrammum: erit ex æquo [per 22. 5.] ut K ad Μ ita ΑΓ parallelogrammum ad ipsum ΓΖ. habet autem K ad Μ rationem ex lateribus compositam: ergo & ΑΓ parallelogrammum ad parallelogrammum ΓΖ rationem habet compositam ex lateribus.



Æquiangula igitur parallelogramma inter se rationem habent ex lateribus compositam. quod erat demonstrandum.

ἴσως ἡ Κ πρὸς τὴν Λ· ἔστιν ἄρα ὡς ἡ Κ πρὸς τὴν Λ ἴσως τὸ ΑΓ πρὸς τὸ ΓΘ. πάλιν, ἐπεὶ ἔστιν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΕ ἴσως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ. ἀλλ' ὡς ἡ ΔΓ πρὸς τὴν ΓΕ ἴσως ἡ Λ πρὸς τὴν Μ· καὶ ὡς ἄρα ἡ Λ πρὸς τὴν Μ ἴσως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον. ἐπεὶ οὖν ἐδείχθη, ὡς μὲν ἡ Κ πρὸς τὴν Λ ἴσως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΘ παραλληλόγραμμον, ὡς δὲ ἡ Λ πρὸς τὴν Μ ἴσως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ· διʼ ἴσου ἄρα ἐστὶν ὡς ἡ Κ πρὸς τὴν Μ ἴσως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ. ἡ δὲ Κ πρὸς τὴν Μ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· καὶ τὸ ΑΓ ἄρα πρὸς τὸ ΓΖ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Τὰ ἄρα ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXIV. Theor.

Omnis parallelogrammi quæ circa diametrum sunt parallelogramma sunt similia toti & inter se.

ΠΡΟΤΑΣΙΣ κδ'.

Παντὸς παραλληλογράμμου τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις.

SIT parallelogrammum ΑΒΓΔ, cujus diameter ΑΓ; circa diametrum vero ΑΓ parallelogramma sint ΕΗ, ΘΚ: dico parallelogramma ΕΗ, ΘΚ & toti ΑΒΓΔ & inter se similia esse.

Quoniam enim uni laterum trianguli ΑΒΓ, videlicet ipsi ΒΓ, parallela ducta est ΕΖ, erit [per 2. 6.] ut ΒΕ ad ΕΑ ita ΓΖ ad ΖΑ. rursus, quoniam uni laterum trianguli ΑΓΔ, nempe ipsi ΓΔ, ducta est parallela ΖΗ, ut ΓΖ ad ΖΑ ita erit ΔΗ ad ΗΑ. sed ut ΓΖ ad ΖΑ, ita ostensa est & ΒΕ ad ΕΑ: ergo [per 11. 5.] ut ΒΕ ad ΕΑ ita ΔΗ ad ΗΑ; componendoque [per 18. 5.] ut ΒΑ ad ΑΕ ita ΔΑ ad ΑΗ; & permutando [per 16. 5.] ut ΒΑ ad ΑΔ ita ΑΒ ad ΑΗ: parallelogrammorum igitur ΑΒΓΔ, ΕΗ latera quæ circa communem angulum ΒΑΔ proportionalia sunt. & quoniam paral-



Ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, περὶ δὲ τὴν ΑΓ παραλληλόγραμμα ἔστω τὰ ΕΗ, ΘΚ· λέγω ὅτι ἑκάτερον τῶν ΕΗ, ΘΚ παραλληλογράμμων ὅμοιόν ἐστιν ὅλῳ τῷ ΑΒΓΔ καὶ ἀλλήλοις.

Ἐπεὶ γὰρ τριγώνου τοῦ ΑΒΓ παρὰ μίαν τῶν πλευρῶν τὴν ΒΓ ἦκται ἡ ΕΖ, ἀνάλογόν ἐστιν ὡς ἡ ΒΕ πρὸς τὴν ΕΑ ἴσως ἡ ΓΖ πρὸς τὴν ΖΑ. πάλιν, ἐπεὶ τριγώνου τοῦ ΑΓΔ παρὰ μίαν τῶν πλευρῶν τὴν ΓΔ ἦκται ἡ ΖΗ, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΓΖ πρὸς τὴν ΖΑ ἴσως ἡ ΔΗ πρὸς τὴν ΗΑ. ἀλλ' ὡς ἡ ΓΖ πρὸς τὴν ΖΑ ἴσως ἐδείχθη καὶ ἡ ΒΕ πρὸς τὴν ΕΑ· καὶ ὡς ἄρα ΒΕ πρὸς τὴν ΕΑ ἴσως ἡ ΔΗ πρὸς τὴν ΗΑ, καὶ συνθέντι ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΕ ἴσως ἡ ΔΑ πρὸς τὴν ΑΗ, καὶ ἐναλλὰξ ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ ἴσως ἡ ΑΕ πρὸς τὴν ΑΗ· τῶν ΑΒΓΔ, ΕΗ ἄρα παραλληλογράμμων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὴν κοινὴν γωνίαν τὴν ὑπὸ ΒΑΔ. καὶ ἐπεὶ

παρ-

ωδιάλληλός ἐστιν ἡ ΗΖ τῇ ΔΓ, ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΗΖ γωνία τῇ ὑπὸ ΑΔΓ, ἡ δὲ ὑπὸ ΗΖΑ τῇ ὑπὸ ΔΓΑ, καὶ κοινὴ τῶν δύο τριγώνων τοῦ ΑΔΓ, ΑΗΖ ἡ ὑπὸ ΔΑΓ γωνία· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΔΓ τρίγωνον τῷ ΑΗΖ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΒΓ τρίγωνον ἰσογώνιόν ἐστι τῷ ΑΖΕ τριγώνῳ· καὶ ὅλον ἄρα τὸ ΑΒΓΔ παραλληλόγραμμον ἰσογώνιόν ἐστι τῷ ΕΗ παραλληλογράμμῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ οὕτως ἡ ΑΗ πρὸς τὴν ΗΖ. ὡς δὲ ἡ ΔΓ πρὸς τὴν ΓΑ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ, ὡς δὲ καὶ ἡ ΑΓ πρὸς τὴν ΓΒ οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΕ, καὶ ἔτι ὡς ΓΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΖΕ πρὸς τὴν ΕΑ· καὶ ἐπεὶ ἐδείχθη ὡς μὲν ἡ ΔΓ πρὸς τὴν ΓΑ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ, ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΕ, δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΒ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΕ· τῶν ἄρα ΑΒΓΔ, ΕΗ παραλληλογράμμων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΗ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΚΘ παραλληλογράμμῳ ὅμοιόν ἐστιν· ἑκάτερον ἄρα τῶν ΕΗ, ΘΚ ωδιαλληλογράμμων τῷ ΑΒΓΔ ωδιαλληλογράμμῳ ὅμοιόν ἐστι. τὰ δὲ τῷ αὐτῷ εὐθυγράμμῳ ὅμοια καὶ ἀλλήλοις ἐστὶν ὅμοια· καὶ τὸ ΕΗ ἄρα παραλληλόγραμμον τῷ ΘΚ παραλληλογράμμῳ ὅμοιόν ἐστιν.

Παντὸς ἄρα παραλληλογράμμου τοῦ περὶ τὴν διάμετρον ωδιαλληλογράμμου ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις. ὅπερ ἔδει δεῖξαι.

lela eſt HZ ipſi ΔΓ, angulus quidem AHZ [per 29. 1.] eſt æqualis angulo AΔΓ, angulus vero HZA æqualis angulo ΔΓA, & angulus ΔAΓ communis eſt duobus triangulis AΔΓ, AHZ; erit igitur triangulum AΔΓ triangulo AHZ æquiangulum. eadem ratione & triangulum ABΓ æquiangulum eſt triangulo AZE; totum igitur parallelogrammum ABΓΔ parallelogrammo EH eſt æquiangulum: ergo [per 4. 6.] ut AΔ ad ΔΓ ita AH ad HZ. ut autem ΔΓ ad ΓA ita HZ ad ZA, & ut AΓ ad ΓB ita AZ ad ZE; & præterea ut ΓB ad BA ita ZE ad EA: itaque quoniam oſtenſum eſt ut ΔΓ ad ΓA ita eſſe HZ ad ZA, ut autem AΓ ad ΓB ita AZ ad ZE; erit ex æquo [per 22. 5.] ut ΔΓ ad ΓB ita HZ ad ZE: ergo parallelogrammorum ABΓΔ, EH proportionalia ſunt latera, quæ circum æquales angulos; ac propterea [per 1. def. 6.] parallelogrammum ABΓΔ parallelogrammo EH eſt ſimile. eadem ratione & parallelogrammum ABΓΔ ſimile eſt parallelogrammo KΘ: utrumque igitur ipſorum EH, ΘK parallelogrammorum parallelogrammo ABΓΔ eſt ſimile. quæ autem eidem rectilineo ſunt ſimilia [per 21. 6.] & inter ſe ſunt ſimilia: parallelogrammum igitur EH ſimile eſt parallelogrammo ΘK.

Quare omnis parallelogrammi quæ circa diametrum ſunt parallelogramma & toti & inter ſe ſunt ſimilia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κε'.

Τῷ δοθέντι εὐθυγράμμῳ ὅμοιον, καὶ ἄλλῳ τῷ δοθέντι ἴσον τὸ αὐτὸ συστήσασθαι.

PROP. XXV. PROBL.

Dato rectilineo ſimile, & alteri dato æquale idem conſtituere.

Ἔστω τὸ μὲν δοθὲν εὐθύγραμμον, ᾧ δεῖ ὅμοιον συστήσασθαι, τὸ ΑΒΓ, ᾧ δὲ ἴσον, τὸ Δ· δεῖ δὴ τῷ μὲν ΑΒΓ ὅμοιον, τῷ δὲ Δ ἴσον τὸ αὐτὸ συστήσασθαι.

SIT datum quidem rectilineum, cui oportet ſimile conſtituere, ABΓ; cui autem æquale, ſit Δ: oportet ipſi ABΓ ſimile, & ipſi Δ æquale idem conſtituere.



Παραβεβλήσθω γὰρ ωδὶ μὲν τὴν ΒΓ τῷ ΑΒΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕ, ωδὶ δὲ τὴν ΓΕ τῷ Δ ἴσον παραλληλόγραμμον τὸ ΓΜ ἐν γωνίᾳ τῇ ὑπὸ ΖΓΕ, ἥ ἐστιν ἴση τῇ ὑπὸ ΓΒΛ· ἐπ᾽ εὐθείας ἄρα ἐστὶν ἡ μὲν ΒΓ τῇ ΓΖ, ἡ δὲ ΛΕ τῇ ΕΜ. καὶ εἰλήφθω τῶν ΒΓ, ΓΖ μέση ἀνάλογον ἡ ΗΘ, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΗΘ τῷ ΑΒΓ ὅμοιον καὶ ὁμοίως κείμενον τὸ ΚΗΘ.

Καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΗΘ οὕτως ἡ ΗΘ πρὸς τὴν ΓΖ, ἐὰν δὲ τρεῖς εὐθεῖαι ἀνάλογόν ὦσιν, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην οὕτως τὸ ἀπὸ τῆς

SIT enim [per 44. & 45. 1.] ad rectam quidem lineam BΓ triangulo ABΓ æquale parallelogrammum BE; ad rectam vero ΓE applicetur parallelogrammum ΓM æquale ipſi Δ in angulo ZΓE, qui ΓBΛ angulo eſt æqualis: in directum igitur eſt [per 14. 1.] BΓ ipſi ΓZ; & ΛE ipſi EM. ſumaturque [per 13. 6.] inter ipſas BΓ, ΓZ media proportionalis HΘ, & ab ipſa HΘ deſcribatur [per 18. 6.] rectilineum KHΘ ſimile & ſimiliter poſitum rectilineo ABΓ.

Et quoniam eſt ut BΓ ad HΘ ita HΘ ad ΓZ, ſi autem tres rectæ lineæ proportionales ſint, ut prima ad tertiam ita [per 2. cor. 20. 6.]

eſt figura rectilinea quæ fit à prima ad ſimilem & ſimiliter deſcriptam à ſecunda: erit igitur ut ΒΓ ad ΓΖ ita ΑΒΓ triangulum ad triangulum ΚΗΘ. ſed [per 1. 6.] ut ΒΓ ad ΓΖ ita parallelogrammum ΒΕ ad ΕΖ parallelogrammum: & igitur ut triangulum ΑΒΓ ad triangulum ΚΗΘ ita ΒΕ parallelogrammum ad parallelogrammum ΕΖ: quare permutando [per 16. 5.] ut ΑΒΓ triangulum ad parallelogrammum ΒΕ ita triangulum ΚΗΘ ad ΕΖ parallelogrammum. eſt autem [per conſtr.] triangulum ΑΒΓ æquale parallelogrammo ΒΕ: æquale igitur eſt & ΚΗΘ triangulum parallelogrammo ΕΖ. ſed ΕΖ parallelogrammum æquale eſt rectilineo Δ: ergo & triangulum ΚΗΘ ipſi Δ eſt æquale. eſt autem [per conſtr.] ΚΗΘ ſimile triangulo ΑΒΓ.



Dato igitur rectilineo ΑΒΓ ſimile, & alteri dato æquale idem conſtitutum eſt ΚΗΘ. quod erat faciendum.

πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΖ οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΚΗΘ. ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΖ οὕτως τὸ ΒΕ παραλληλόγραμμον πρὸς τὸ ΕΖ παραλληλόγραμμον· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΚΗΘ τρίγωνον οὕτως τὸ ΒΕ παραλληλόγραμμον πρὸς τὸ ΕΖ παραλληλόγραμμον· ἐναλλὰξ ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΒΕ παραλληλόγραμμον οὕτως τὸ ΚΗΘ τρίγωνον πρὸς τὸ ΕΖ παραλληλόγραμμον· ἴσον δὲ τὸ ΑΒΓ τρίγωνον τῷ ΒΕ παραλληλογράμμῳ· ἴσον ἄρα καὶ τὸ ΚΗΘ τρίγωνον τῷ ΕΖ παραλληλογράμμῳ. ἀλλὰ τὸ ΕΖ παραλληλόγραμμον τῷ Δ ἐστὶν ἴσον· καὶ τὸ ΚΗΘ ἄρα τῷ Δ ἐστὶν ἴσον. ἔστι δὲ τὸ ΚΗΘ καὶ τῷ ΑΒΓ ὅμοιον.

Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ ΑΒΓ ὅμοιον, καὶ ἄλλῳ τῷ δοθέντι ἴσον τὸ αὐτὸ συνέσταται τὸ ΚΗΘ. ὅπερ ἔδει ποιῆσαι.

Prop. XXVI. Theor.

Si à parallelogrammo parallelogrammum auferatur, ſimile toti & ſimiliter poſitum, communem cum ipſo angulum habens; circa eandem diametrum eſt cum toto.

A parallelogrammo enim ΑΒΓΔ parallelogrammum ΑΕΖΗ auferatur, ſimile ipſi ΑΒΓΔ & ſimiliter poſitum, communemque cum ipſo angulum habens ΔΑΒ: dico parallelogrammum ΑΒΓΔ circa eandem eſſe diametrum cum parallelogrammo ΑΕΖΗ.

Non enim, ſed, ſi fieri poteſt, ſit ipſorum diameter ΑΘΓ, ducaturque per Θ alterutri ipſarum ΑΔ, ΒΓ parallela ΘΚ.



Quoniam igitur circa eandem diametrum eſt ΑΒΓΔ parallelogrammum cum parallelogrammo ΚΗ, erit [per 24. 6.] parallelogrammum ΑΒΓΔ parallelogrammo ΚΗ ſimile: ergo [per 1. def. 6.] ut ΔΑ ad ΑΒ ita ΗΑ ad ΑΚ. eſt autem & propter ſimilitudinem parallelogrammorum ΑΒΓΔ, ΕΗ, ut ΔΑ ad ΑΒ ita ΗΑ ad ΑΕ: & igitur [per 11. 5.] ut ΗΑ ad ΑΕ ita ΗΑ ad ΑΚ: & proinde ΗΑ ad utramque ipſarum ΑΚ, ΑΕ eandem ra-

ΠΡΟΤΑΣΙΣ κϛ'.

Ἐὰν ἀπὸ παραλληλογράμμου παραλληλόγραμμον ἀφαιρεθῇ, ὅμοιόν τε τῷ ὅλῳ καὶ ὁμοίως κείμενον, κοινὴν γωνίαν ἔχον αὐτῷ· περὶ τὴν αὐτὴν διάμετρόν ἐστι τῷ ὅλῳ.

Ἀπὸ γὰρ παραλληλογράμμου τοῦ ΑΒΓΔ παραλληλόγραμμον ἀφῃρήσθω τὸ ΑΕΖΗ, ὅμοιον τῷ ΑΒΓΔ καὶ ὁμοίως κείμενον, κοινὴν γωνίαν ἔχον αὐτῷ τὴν ὑπὸ ΔΑΒ· λέγω ὅτι περὶ τὴν αὐτὴν διάμετρόν ἐστι τὸ ΑΒΓΔ τῷ ΑΕΖΗ.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν ἔστω αὐτῶν ἡ διάμετρος ἡ ΑΘΓ, καὶ ἤχθω διὰ τοῦ Θ ὁποτέρα τῶν ΑΔ, ΒΓ παράλληλος ἡ ΘΚ.

Ἐπεὶ οὖν περὶ τὴν διάμετρόν ἐστι τὸ ΑΒΓΔ τῷ ΚΗ, ὅμοιόν ἐστι τὸ ΑΒΓΔ τῷ ΚΗ· ἔστιν ἄρα ὡς ἡ ΔΑ πρὸς τὴν ΑΒ οὕτως ἡ ΗΑ πρὸς τὴν ΑΚ. ἔστι δὲ διὰ τὴν ὁμοιότητα τῶν ΑΒΓΔ, ΕΗ καὶ ὡς ἡ ΔΑ πρὸς τὴν ΑΒ οὕτως ἡ ΗΑ πρὸς τὴν ΑΕ· καὶ ὡς ἄρα ἡ ΗΑ πρὸς τὴν ΑΕ οὕτως ἡ ΗΑ πρὸς τὴν ΑΚ· ἡ ΗΑ ἄρα πρὸς ἑκατέραν τῶν ΑΚ, ΑΕ τὸν αὐτὸν

ἔχει

ἔχει λόγον· ἴση ἄρα ἐστὶν ἡ ΑΕ τῇ ΑΚ, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἐστὶ περὶ τὴν αὐτὴν διάμετρον τὸ ΑΒΓΔ τῷ ΚΗ· περὶ τὴν αὐτὴν ἄρα ἐστὶ διάμετρον τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΑΕΖΗ παραλληλογράμμῳ.

Ἐὰν ἄρα ἀπὸ παραλληλογράμμου παραλληλόγραμμον ἀφαιρεθῇ, ὅμοιον τε τῷ ὅλῳ καὶ ὁμοίως κειμένον, κοινὴν ἔχον γωνίαν αὐτῷ· περὶ τὴν αὐτὴν διάμετρόν ἐστι τῷ ὅλῳ. ὅπερ ἔδει δεῖξαι.

tionem habet; erit igitur [per 9. 5.] ΑΒ ipſi ΑΚ æqualis, minor majori, quod fieri non poteſt: non igitur circa eandem diametrum eſt ΑΒΓΔ parallelogrammum cum parallelogrammo ΚΗ: igitur circa eandem diametrum erit parallelogrammum ΑΒΓΔ cum parallelogrammo ΑΕΖΗ.

Si igitur à parallelogrammo parallelogrammum auferatur, ſimile toti & ſimiliter poſitum, communem cum ipſo angulum habens; circa eandem diametrum eſt cum toto. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κζ'.

Πάντων τῶν παρὰ τὴν αὐτὴν εὐθεῖαν παραβαλλομένων παραλληλογράμμων, καὶ ἐλλειπόντων εἴδεσι παραλληλογράμμοις, ὁμοίοις τε καὶ ὁμοίως κειμένοις τῷ ἀπὸ τῆς ἡμισείας ἀναγραφομένῳ, μέγιστόν ἐστι τὸ ἀπὸ τῆς ἡμισείας παραβαλλόμενον παραλληλόγραμμον, ὅμοιον ὂν τῷ ἐλλείμματι.

Prop. XXVII. Theor.

Omnium parallelogrammorum ſecundum eandem rectam lineam applicatorum, & deficientium figuris parallelogrammis, ſimilibus & ſimiliter poſitis ei quæ à dimidia deſcribitur, maximum eſt quod ad dimidiam eſt applicatum, ſimile exiſtens defectui.

Ἔστω εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω δίχα κατὰ τὸ Γ, καὶ παραβεβλήσθω παρὰ τὴν ΑΒ εὐθεῖαν τὸ ΑΔ παραλληλόγραμμον ἐλλεῖπον εἴδει παραλληλογράμμῳ τῷ ΓΕ, ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ἀπὸ τῆς ἡμισείας ἀναγραφέντι τὸ ΑΒ, τουτέστι τὸ ΒΓ· λέγω ὅτι πάντων τῶν παρὰ τὴν ΑΒ παραβαλλομένων παραλληλογράμμων, καὶ ἐλλειπόντων εἴδεσι παραλληλογράμμοις ὁμοίοις τε καὶ ὁμοίως κειμένοις τῷ ΓΕ, μέγιστόν ἐστι τὸ ΑΔ. παραβεβλήσθω γὰρ παρὰ τὴν ΑΒ εὐθεῖαν τὸ ΑΖ παραλληλόγραμμον, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ τῷ ΚΘ, ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ΓΕ· λέγω ὅτι μεῖζόν ἐστι τὸ ΑΔ τοῦ ΑΖ.



SIT recta linea ΑΒ, ſeceturque bifariam in Γ; & ad ΑΒ rectam lineam applicetur parallelogrammum ΑΔ deficiens figura parallelogramma ΓΕ, ſimili & ſimiliter poſita ei quæ à dimidia ipſius ΑΒ deſcripta eſt, hoc eſt à ΒΓ: dico omnium parallelogrammorum ad rectam lineam ΑΒ applicatorum, & deficientium figuris parallelogrammis, ſimilibus & ſimiliter poſitis ipſi ΓΕ, maximum eſſe ΑΔ. applicetur enim ad rectam lineam ΑΒ parallelogrammum ΑΖ, deficiens figura parallelogramma ΚΘ, ſimili & ſimiliter poſita ipſi ΓΕ; dico ΑΔ parallelogrammum parallelogrammo ΑΖ majus eſſe.

Ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ ΓΕ παραλληλόγραμμον τῷ ΚΘ παραλληλογράμμῳ, περὶ τὴν αὐτὴν εἰσὶ διάμετρον. ἤχθω αὐτῶν διάμετρος ἡ ΔΒ, καὶ καταγεγράφθω τὸ σχῆμα.

Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΓΖ τῷ ΖΕ, κοινὸν προσκείσθω τὸ ΚΘ· ὅλον ἄρα τὸ ΓΘ ὅλῳ τῷ ΚΕ ἐστὶν ἴσον. ἀλλὰ τὸ ΓΘ τῷ ΓΗ ἐστὶν ἴσον, ἐπεὶ καὶ ἡ ΑΓ τῇ ΓΒ ἐστὶν ἴση· καὶ τὸ ΗΓ ἄρα τῷ ΕΚ ἴσον ἐστί. κοινὸν προσκείσθω τὸ ΓΖ· ὅλον ἄρα τὸ ΑΖ τῷ ΛΜΝ γνώμονί ἐστιν ἴσον· ὥστε καὶ τὸ ΓΕ παραλληλόγραμμον, τουτέστι τὸ ΑΔ, τοῦ ΑΖ παραλληλογράμμου μεῖζόν ἐστιν.

* Ἐστω γὰρ πάλιν ἡ ΑΒ τμηθεῖσα δίχα κατὰ τὸ Γ, καὶ παραβληθὲν τὸ ΑΛ ἐλλεῖπον εἴδει τῷ ΓΜ, καὶ

Quoniam enim ſimile eſt parallelogrammum ΓΕ parallelogrammo ΚΘ, [per 26. 6.] circa eandem diametrum ſunt. ducatur eorum diameter ΔΒ, & deſcribatur figura.

Quoniam igitur [per 43. 1.] ΓΖ eſt æquale ipſi ΖΕ, commune apponatur ΚΘ: totum igitur ΓΘ toti ΚΕ eſt æquale. ſed ΓΘ [per 36. 1.] eſt æquale ΓΗ, quoniam recta linea ΑΓ ipſi ΓΒ eſt æqualis: ergo & ΗΓ ipſi ΕΚ æquale erit. commune apponatur ΓΖ: totum igitur ΑΖ eſt æquale gnomoni ΑΜΝ; quare & ΓΕ, hoc eſt [per 36. 1.] ΑΔ parallelogrammum, parallelogrammo ΑΖ eſt majus.

Sit enim rurſus ΑΒ ſecta bifariam in puncto Γ, & applicatum ſit ΑΛ deficiens figura ΓΜ; &

* Hic eſt hujus theorematis caſus ſecundus, (viz. cum ΑΔ minor eſt quam ΑΓ, cum primus ſit ille, quando ΑΔ major eſt quam ΑΓ,) & non altera propoſitionis demonſtratio: & ideo concluſionem univerſalem in codicibus tam MSS. quam impreſſis caſui primo ſubnexam ad ſecundi finem appoſuimus.

rurſus

rurſus ad rectam lineam AB applicetur parallelogrammum AE deficiens figura ΔZ, ſimili & ſimiliter poſita ei quæ à dimidia AB deſcribitur, videlicet ΓM: dico parallelogrammum AΛ, quod ad dimidiam eſt applicatum, majus eſſe parallelogrammo AE.



Quoniam enim ſimile eſt ΔZ ipſi ΓM; [per 26. 6.] circa eandem ſunt diametrum: ſit ipſorum diameter EB, & deſcribatur figura.

Et quoniam [per 36. 1.] ΛZ æquale eſt ΛΘ, etenim ZH ipſi HΘ eſt æqualis: erit ΛZ ipſo EK majus. eſt autem [per 43. 1.] ΛZ æquale ΔΛ: majus igitur eſt & ΔΛ ipſo EK. commune apponatur KΔ: ergo totum AΛ toto AE eſt majus.

Omnium igitur parallelogrammorum ad eandem rectam lineam applicatorum, & deficientium figuris parallelogrammis, ſimilibus & ſimiliter poſitis ei quæ à dimidia deſcribitur, maximum eſt quod ad dimidiam eſt applicatum. quod erat demonſtrandum.

παραβεβλήθω πάλιν παρὰ τὴν AB τὸ AE παραλληλόγραμμον ἐλλεῖπον τῷ ΔZ, ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ἀπὸ τῆς ἡμισείας τῆς AB, τῷ ΓM· λέγω ὅτι μεῖζόν ἐστι τὸ ἀπὸ τῆν ἡμισείας παραβληθὲν τὸ AΛ τοῦ AE.

Ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ ΔZ τῷ ΓM, περὶ τὴν αὐτὴν εἰσὶ διαμέτρου· ἔστω αὐτῶν διάμετρος ἡ EB, καὶ καταγεγράφθω τὸ σχῆμα.

Καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΛZ τῷ ΛΘ, ἐπεὶ καὶ ἡ ZH τῇ HΘ· μεῖζον ἄρα τὸ ΛZ τοῦ EK. ἴσον δὲ τὸ ΛZ τῷ ΔΛ· μεῖζον ἄρα καὶ τὸ ΔΛ τοῦ EK. κοινὸν ἔστω τὸ KΔ· ὅλον ἄρα τὸ AΛ ὅλου τοῦ AE μεῖζόν ἐστιν.

Πάντων ἄρα τῶν παρὰ τὴν αὐτὴν εὐθεῖαν παραβαλλομένων παραλληλογράμμων, καὶ ἐλλειπόντων εἴδεσι παραλληλογράμμοις, ὁμοίοις τε καὶ ὁμοίως κειμένοις τῷ ἀπὸ τῆς ἡμισείας ἀναγραφομένῳ, μέγιστόν ἐστι τὸ ἀπὸ τῆς ἡμισείας παραβληθέν. ὅπερ ἔδει δεῖξαι.

PROP. XXVIII. PROBL.

Ad datam rectam lineam dato rectilineo æquale parallelogrammum applicare, deficiens figura parallelogramma, quæ ſimilis ſit alteri datæ: oportet autem datum rectilineum, cui æquale applicandum eſt, non majus eſſe eo, quod ad dimidiam applicatur, ſimilibus exiſtentibus defectibus & ejus quod ad dimidiam & ejus cui oportet ſimile deficere.

ΠΡΟΤΑΣΙΣ κη'.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τῷ δοθέντι εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ἐλλεῖπον εἴδει ᾧ ἔστι παραλληλογράμμῳ, ὁμοίῳ ὄντι τῷ δοθέντι· δεῖ δὲ τὸ διδόμενον εὐθύγραμμον, ᾧ δεῖ ἴσον παραβαλεῖν, μὴ μεῖζον εἶναι τοῦ ἀπὸ τῆς ἡμισείας παραβαλλομένου, ὁμοίων ὄντων τοῦ τε ἐλλείματος τοῦ ἀπὸ τῆς ἡμισείας καὶ οὗ ὤν δεῖ ὅμοιον ἐλλείπειν παραλληλογράμμου.

SIT data quidem recta linea AB; datum autem rectilineum, cui oportet æquale ad datam rectam lineam AB applicare, ſit Γ, non majus exiſtens eo quod ad dimidiam applicatum eſt, ſimilibus exiſtentibus defectibus; cui autem oportet ſimile deficere ſit Δ: oportet ad datam rectam lineam AB dato rectilineo Γ æquale parallelogrammum applicare, deficiens figura parallelogramma, quæ ſimilis ſit ipſi Δ.

Secetur [per 10. 1.] AB bifariam in E, & ab ipſa EB [per 18. 6.] deſcribatur ſimile & ſimiliter poſitum ipſi Δ, quod ſit EBZH, & compleatur AH parallelogrammum: itaque AH vel æquale eſt ipſi Γ, vel eo majus, ob determinationem. & ſiquidem AH ſit æquale Γ, factum jam erit quod proponebatur; etenim ad rectam lineam AB dato rectilineo Γ æquale parallelogrammum AH applicatum eſt, deficiens figura parallelogramma EZ, ipſi Δ ſimili. ſi autem non eſt æquale, erit ΘE majus quam Γ.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ AB, τὸ δὲ δοθὲν εὐθύγραμμον, ᾧ δεῖ ἴσον παρὰ τὴν AB παραβαλεῖν, τὸ Γ, μὴ μεῖζον ὂν τοῦ ἀπὸ τῆς ἡμισείας παραβαλλομένου, ὁμοίων ὄντων τῶν ἐλλειμμάτων, ᾧ δὲ δεῖ ὅμοιον ἐλλείπειν τὸ Δ· δεῖ δὴ παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν AB τῷ δοθέντι εὐθυγράμμῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ, ὁμοίῳ ὄντι τῷ Δ.

Τετμήσθω ἡ AB δίχα κατὰ τὸ E σημεῖον, καὶ ἀναγεγράφθω ἀπὸ τῆς EB τῷ Δ ὅμοιον τε καὶ ὁμοίως κείμενον τὸ EBZH, καὶ συμπεπληρώσθω τὸ AH παραλληλόγραμμον· τὸ δὴ AH ἤτοι ἴσον ἐστὶ τῷ Γ, ἢ μεῖζον αὐτοῦ, διὰ τὸ ὁρισμένον. εἰ μὲν οὖν ἴσον ἐστὶ τὸ AH τῷ Γ, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν· παραβέβληται γὰρ παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν AB τῷ δοθέντι εὐθυγράμμῳ τῷ Γ ἴσον παραλληλόγραμμον τὸ AH, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ τῷ EZ ὁμοίῳ ὄντι τῷ Δ. εἰ δὲ οὔ, μεῖζόν ἐστι τὸ ΘE τοῦ Γ.

ἴσον

ἴσον δὲ τὸ ΘΕ τῷ ΕΖ· μεῖζον ἄρα καὶ τὸ ΕΖ τοῦ Γ. ᾧ δὴ μεῖζόν ἐστι τὸ ΕΖ τοῦ Γ, ταύτῃ τῇ ὑπεροχῇ ἴσον, τῷ δὲ Δ ὅμοιον καὶ ὁμοίως κείμενον τὸ αὐτὸ συνεστάτω τὸ ΚΛΜΝ. ἀλλὰ τὸ Δ τῷ ΕΖ ἐστὶν ὅμοιον· καὶ τὸ ΚΜ ἄρα τῷ ΕΖ ἐστὶν ὅμοιον. ἔστω οὖν ὁμόλογος ἡ μὲν ΛΚ τῇ ΗΕ, ἡ δὲ ΛΜ τῇ ΗΖ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΕΖ τοῖς Γ, ΚΜ, μεῖζον ἄρα ἐστὶ τὸ ΕΖ τοῦ ΚΜ· μείζων ἄρα ἐστὶ καὶ ἡ μὲν ΗΕ τῆς ΚΛ, ἡ δὲ ΗΖ τῆς ΛΜ. κείσθω μὲν τῇ ΛΚ ἴση ἡ ΗΞ, τῇ δὲ ΛΜ ἴση ἡ ΗΟ, καὶ συμπεπληρώσθω τὸ ΞΗΟΠ παραλληλόγραμμον· ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΞΟ τῷ ΚΜ. ἀλλὰ τὸ ΚΜ τῷ ΕΖ ὅμοιόν ἐστι· καὶ τὸ ΞΟ ἄρα τῷ ΕΖ ὅμοιόν ἐστι· περὶ τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὸ ΞΟ τῷ ΕΖ. ἔστω αὐτῶν διάμετρος ἡ ΗΠΒ, καὶ καταγεγράφθω τὸ σχῆμα.



atque eſt ΘΕ æquale ΕΖ: ergo & ΕΖ quam Γ eſt majus. quo autem ΕΖ ſuperat Γ, ei exceſſui æquale, ipſi vero Δ ſimile & ſimiliter poſitum idem [per 25. 6.] conſtituatur ΚΛΜΝ. ſed Δ eſt ſimile ΕΖ: quare & ΚΜ ipſi ΕΖ ſimile erit. ſit igitur recta linea quidem ΛΚ homologa ipſi ΗΕ, ΛΜ vero ipſi ΗΖ. & quoniam æquale eſt ΕΖ ipſis Γ, ΚΜ, erit ΕΖ ipſo ΚΜ majus: major igitur eſt [per 1. cor. 20. 6.] ΗΕ ipſa ΚΛ, & ΗΖ ipſa ΛΜ. ponatur [per 3. 1.] ΗΞ æqualis ΛΚ, & ΗΟ æqualis ΛΜ, & compleatur [per 31. 1.] ΞΗΟΠ parallelogrammum: æquale igitur eſt & ſimile [per 24. 6.] ΞΟ ipſi ΚΜ. ſed ΚΜ ſimile eſt ΕΖ: ergo [per 21. 6.] & ΞΟ ipſi ΕΖ eſt ſimile: igitur [per 26. 6.] circa eandem diametrum eſt ΞΟ cum ipſo ΕΖ. ſit ipſorum diameter ΗΠΒ, & figura deſcribatur.

Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΕΖ τοῖς Γ, ΚΜ, ὧν τὸ ΞΟ τῷ ΚΜ ἐστὶν ἴσον· λοιπὸς ἄρα ὁ ΥΦΧ γνώμων λοιπῷ τῷ Γ ἴσος ἐστί. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΟΡ τῷ ΞΣ, κοινὸν προσκείσθω τὸ ΡΣ· ὅλον ἄρα τὸ ΟΒ ὅλῳ τῷ ΞΒ ἴσον ἐστίν. ἀλλὰ τὸ ΞΒ τῷ ΤΕ ἐστὶν ἴσον, ἐπεὶ καὶ παραπλήρωμα ἡ ΑΕ παραπλήρωμα τῇ ΕΒ ἐστὶν ἴση· καὶ τὸ ΤΕ ἄρα τῷ ΟΒ ἐστὶν ἴσον. κοινὸν προσκείσθω τὸ ΞΣ· ὅλον ἄρα τὸ ΤΣ ὅλῳ τῷ ΥΦΧ γνώμονι ἴσον ἐστίν. ἀλλ' ὁ ΥΦΧ γνώμων τῷ Γ ἐδείχθη ἴσος· καὶ ΤΣ ἄρα τῷ Γ ἐστὶν ἴσον.

Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν ΑΒ τῷ δοθέντι εὐθυγράμμῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβέβληται τὸ ΤΣ, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ τῷ ΡΣ ὁμοίῳ ὄντι τῷ Δ, ἐπειδήπερ τὸ ΡΣ τῷ ΟΞ ὁμοίον ἐστίν. ὅπερ ἔδει ποιῆσαι.

Itaque quoniam ΕΖ eſt æquale ipſis Γ, ΚΜ, quorum ΞΟ eſt æquale ΚΜ, erit reliquus ΥΦΧ gnomon æqualis reliquo Γ. & quoniam [per 43. 1.] ΟΡ eſt æquale ΞΣ, commune apponatur ΡΣ: totum igitur ΟΒ toti ΞΒ eſt æquale. ſed ΞΒ eſt [per 36. 1.] æquale ΤΕ, quoniam & latus ΑΕ æquale lateri ΕΒ: quare & ΤΕ ipſi ΟΒ æquale eſt. commune apponatur ΞΣ: ergo totum ΤΣ eſt æquale toti gnomoni ΥΦΧ. at ΥΦΧ gnomon ipſi Γ oſtenſus eſt æqualis: & igitur ΤΣ ipſi Γ æquale erit.

Ad datam igitur rectam lineam ΑΒ dato rectilineo Γ æquale parallelogrammum ΤΣ applicatum eſt, deficiens figura parallelogramma ΡΣ ipſi Δ ſimili, quoniam & ΡΣ ſimile eſt ipſi ΟΞ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ κθ'.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τῷ δοθέντι εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ὑπερβάλλον εἴδει παραλληλογράμμῳ ὁμοίῳ τῷ δοθέντι.

Prop. XXIX. Probl.

Ad datam rectam lineam dato rectilineo æquale parallelogrammum applicare, excedens figura parallelogramma, quæ ſimilis ſit alteri datæ.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν εὐθύγραμμον, ᾧ δεῖ ἴσον παρὰ τὴν ΑΒ παραβαλεῖν, τὸ Γ, ᾧ δὲ δεῖ ὅμοιον ὑπερβαλεῖν, τὸ Δ· δεῖ δὴ παρὰ τὴν ΑΒ εὐθεῖαν τῷ Γ εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ὑπερβάλλον εἴδει παραλληλογράμμῳ ὁμοίῳ τῷ Δ.

Τετμήσθω ἡ ΑΒ δίχα κατὰ τὸ Ε, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΕΒ τῷ Δ ὅμοιον καὶ ὁμοίως κείμενον

SIT data recta linea ΑΒ, datum vero rectilineum, cui oportet æquale ad ipſam ΑΒ applicare, ſit Γ; cui autem oportet ſimile excedere, ſit Δ: itaque oportet ad ΑΒ rectam lineam dato rectilineo Γ æquale parallelogrammum applicare, excedens figura parallelogramma ſimili ipſi Δ.

Secetur [per 9. 1.] ΑΒ bifariam in Ε, atque [per 18. 6.] à recta ΕΒ ipſi Δ ſimile & ſimiliter poſitum

positum parallelogrammum describatur ΕΛ, & utrisque quidem ΕΛ, Γ æquale, ipsi vero Δ simile & similiter positum [per 25. 6.] idem constituatur ΗΘ: simile igitur est ΗΘ ipsi ΕΛ. sitque ΚΘ quidem latus homologum lateri ΖΛ; ΚΗ vero ipsi ΖΕ. & quoniam parallelogrammum ΗΘ majus est ipso ΕΛ, erit recta linea ΚΘ major quam ΖΛ, & ΚΗ major quam ΖΕ. producantur ΖΛ, ΖΕ, & ipsi quidem ΚΘ [per 3. 1.] æqualis sit ΖΛΜ, ipsi vero ΚΗ æqualis ΖΕΝ, & compleatur ΜΝ parallelogrammum: ergo ΜΝ æquale est & simile ipsi ΗΘ. sed ΗΘ est simile ΕΛ: & ΜΝ igitur [per 21. 6.] ipsi ΕΛ simile erit; ac propterea [per 26. 6.] circa eandem diametrum est ΕΛ cum ipso ΜΝ. ducatur ipsorum diameter ΖΞ, & figura describatur.



Itaque quoniam ΗΘ ipsis ΕΛ, Γ est æquale, sed & ΗΘ æquale ΜΝ; erit & ΜΝ æquale ipsis ΕΛ, Γ. commune auferatur ΕΛ: reliquus igitur ΨΧΦ gnomon ipsi Γ est æqualis. & quoniam ΕΑ est æqualis ΕΒ, æquale erit [per 36. 1.] & ΑΝ parallelogrammum parallelogrammo ΝΒ, hoc est [per 43. 1.] ipsi ΛΟ. commune apponatur ΕΞ: totum igitur ΑΞ æquale est gnomoni ΦΧΨ. sed ΦΧΨ gnomon est æqualis Γ: ergo & ΑΞ ipsi Γ æquale est.

Ad datam igitur rectam lineam ΑΒ dato rectilineo Γ æquale parallelogrammum applicatum est ΑΞ, excedens figura parallelogramma ΠΟ ipsi Δ simili, quoniam & ΕΛ simile est ΟΠ. quod erat faciendum.

παραλληλόγραμμον τὸ ΕΛ, ϛ σωαμφοτέροις μὲν τοῖς ΕΛ, Γ ἴσον, τῷ δὲ Δ ὅμοιον καὶ ὁμοίως κείμενον τὸ αὐτὸ σωεστάτω τὸ ΗΘ· ὅμοιον ἄρα ἐστὶ τὸ ΗΘ τῷ ΕΛ. ὁμόλογος δὲ ἔστω ἡ μὲν ΚΘ τῇ ΖΛ, ἡ δὲ ΚΗ τῇ ΖΕ. ϛ ἐπεὶ μεῖζόν ἐστι τὸ ΗΘ τοῦ ΕΛ, μείζων ἄρα ἐστὶ καὶ ἡ μὲν ΚΘ τῆς ΖΛ, ἡ δὲ ΚΗ τῆς ΖΕ. ἐκβεβλήθωσαν αἱ ΖΛ, ΖΕ, καὶ τῇ μὲν ΚΘ ἴση ἔστω ἡ ΖΛΜ, τῇ δὲ ΚΗ ἴση ἡ ΖΕΝ, καὶ συμπεπληρώσθω τὸ ΜΝ· τὸ ΜΝ ἄρα τῷ ΗΘ ἴσον τέ ἐστι καὶ ὅμοιον. ἀλλὰ τὸ ΗΘ τῷ ΕΛ ἐστὶν ὅμοιον· καὶ τὸ ΜΝ ἄρα τὸ ΕΛ ὅμοιόν ἐστι· πρὸς τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὸ ΕΛ τῷ ΜΝ. ἤχθω αὐτῶν ἡ διάμετρος ἡ ΖΞ, καὶ παραγεγράφθω τὸ σχῆμα.

Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΗΘ τοῖς ΕΛ, Γ, ἀλλὰ τὸ ΗΘ τῷ ΜΝ ἴσον ἐστί· καὶ τὸ ΜΝ ἄρα τοῖς ΕΛ, Γ ἴσον ἐστί. κοινὸν ἀφῃρήσθω τὸ ΕΛ· λοιπὸς ἄρα ὁ ΨΧΦ γνώμων τῷ Γ ἴσος ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΑ τῇ ΕΒ, ἴσον ἐστὶ καὶ τὸ ΑΝ τῷ ΝΒ, τουτέστι τῷ ΛΟ. κοινὸν προσκείσθω τὸ ΕΞ· ὅλον ἄρα τὸ ΑΞ ἴσον ἐστὶ τῷ ΦΧΨ γνώμονι. ἀλλὰ ὁ ΦΧΨ γνώμων τῷ Γ ἴσος ἐστί· καὶ τὸ ΑΞ ἄρα τῷ Γ ἴσον ἐστίν.

Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν ΑΒ τῷ δοθέντι εὐθυγράμμῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβέβληται τὸ ΑΞ, ὑπερβάλλον εἴδει ὁμοίῳ τῷ ΠΟ ὁμοίῳ ὄντι τῷ Δ, ἐπεὶ καὶ τὸ ΕΛ ἐστὶν ὅμοιον τῷ ΟΠ. ὅπερ ἔδει ποιῆσαι.

Prop. XXX. Probl.

Datam rectam lineam terminatam secundum extremam ac mediam rationem secare.

SIT data recta linea terminata ΑΒ: oportet ipsam ΑΒ secundum extremam ac mediam rationem secare.

Describatur enim [per 46. 1.] ex ΑΒ quadratum ΒΓ; & [per 29. 6.] ad ΑΓ ipsi ΒΓ æquale parallelogrammum applicetur ΓΔ, excedens figura ΑΔ ipsi ΒΓ simili.



Quadratum autem est ΒΓ: ergo & ΑΔ

Προτασις λ'.

Τὴν δοθεῖσαν εὐθεῖαν πεπερασμένην ἄκρον καὶ μέσον λόγον τεμεῖν.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ΑΒ· δεῖ δὴ τὴν ΑΒ εὐθεῖαν ἄκρον καὶ μέσον λόγον τεμεῖν.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΒΓ, καὶ παραβεβλήσθω παρὰ τὴν ΑΓ τῷ ΒΓ ἴσον παραλληλόγραμμον τὸ ΓΔ, ὑπερβάλλον εἴδει τῷ ΑΔ ὁμοίῳ τῷ ΒΓ.

Τετράγωνον δέ ἐστι τὸ ΒΓ· τετράγωνον ἄρα ἐστὶ καὶ

καὶ τὸ Α Δ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΒΓ τῷ ΓΔ, κοινὸν ἀφῃρήσθω τὸ ΓΕ· λοιπὸν ἄρα τὸ ΒΖ λοιπῷ τῷ ΑΔ ἐστὶν ἴσον. ἔστι δὲ αὐτῷ καὶ ἰσογώνιον· τῶν ΒΖ, ΑΔ ἄρα ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἐστὶν ἄρα ὡς ἡ ΖΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΑΕ πρὸς τὴν ΕΒ. ἴση δὲ ἡ μὲν ΖΕ τῇ ΑΓ, τουτέστι τῇ ΑΒ, ἡ δὲ ΕΔ τῇ ΑΕ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΑΕ οὕτως ἡ ΑΕ πρὸς τὴν ΕΒ. μείζων δὲ ἡ ΑΒ τῆς ΑΕ· μείζων ἄρα καὶ ἡ ΑΕ τῆς ΕΒ.

Ἡ ἄρα ΑΒ εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Ε, καὶ μεῖζον αὐτῆς τμῆμά ἐστι τὸ ΑΕ. ὅπερ ἔδει ποιῆσαι.

quadratum erit. & quoniam ΒΓ eſt æquale ΓΔ, commune auferatur ΓΕ: reliquum igitur ΒΖ reliquo ΑΔ eſt æquale. eſt autem & ipſi æquiangulum: ergo [per 14.6.] ipſorum ΒΖ, ΑΔ latera quæ circum æquales angulos ſunt reciproce proportionalia: ut igitur ΖΕ ad ΕΔ ita eſt ΑΕ ad ΕΒ. eſt autem [per 34. 1.] ΖΕ æqualis ΑΓ, hoc eſt ipſi ΑΒ; & ΒΔ ipſi ΑΕ: quare ut ΑΒ ad ΑΕ ita ΑΒ ad ΕΒ. ſed ΑΒ major eſt quam ΑΕ: ergo ΑΕ quam ΕΒ eſt major.

Recta igitur linea ΑΒ ſecundum extremam ac mediam rationem ſecta eſt in Ε, & majus ipſius ſegmentum eſt ΑΕ. quod erat faciendum.

ΑΛΛΩΣ.

Ἐκκείσθω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ· δεῖ δὴ τὴν ΑΒ εὐθεῖαν ἄκρον καὶ μέσον λόγον τεμεῖν.

Τετμήσθω γὰρ ἡ ΑΒ κατὰ τὸ Γ, ὥστε τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον εἶναι τῷ ἀπὸ τῆς ΑΓ τετραγώνῳ.

Ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΑΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἡ ἄρα ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ. ὅπερ ἔδει ποιῆσαι.

ALITER.

Sit data recta linea ΑΒ; oportet ipſam ΑΒ ſecundum extremam ac mediam rationem ſecare.

Secetur enim [per 11. 2.] ΑΒ in Γ, ita ut rectangulum, quod comprehenditur ſub ΑΒ, ΒΓ, æquale ſit quadrato ex ΑΓ.

Quoniam igitur rectangulum quod comprehenditur ſub ΑΒ, ΒΓ æquale eſt quadrato ex ΑΓ; erit [per 17.6.] ut ΑΒ ad ΑΓ ita ΑΓ ad ΓΒ. ergo [per 3. def. 6.] ΑΒ ſecundum extremam & mediam rationem ſecta eſt. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ λα'.

Ἐν τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς εἶδος ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν εἴδεσι, τοῖς ὁμοίοις καὶ ὁμοίως ἀναγραφομένοις.

PROP. XXXI. THEOR.

In rectangulis triangulis, figura quæ fit à latere rectum angulum ſubtendente æqualis eſt eis quæ à lateribus rectum angulum comprehendentibus fiunt, ſimilibus & ſimiliter deſcriptis.

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ, ὀρθὴν ἔχον τὴν ὑπὸ ΒΑΓ γωνίαν· λέγω ὅτι τὸ ἀπὸ τῆς ΒΓ εἶδος ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ εἴδεσι, τοῖς ὁμοίοις καὶ ὁμοίως ἀναγραφομένοις.



Ἤχθω κάθετος ἡ ΑΔ.

Ἐπεὶ οὖν ἐν ὀρθογωνίῳ τριγώνῳ τῷ ΑΒΓ, ἀπὸ τῆς πρὸς τὸ Α ὀρθῆς γωνίας ἐπὶ τὴν ΒΓ βάσιν κάθετος ἦκται ἡ ΑΔ· τὰ ΑΒΔ, ΑΔΓ ἄρα τρίγωνα τῇ καθ' ἑτέρω τριγώνα ὁμοιά ἐστι τῷ τε ὅλῳ τῷ ΑΒΓ καὶ ἀλλήλοις. καὶ ἐπεὶ ὁμοιόν ἐστι τὸ ΑΒΓ τῷ ΑΒΔ, ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΔ. καὶ ἐπεὶ τρεῖς εὐθεῖαι ἀνάλογόν εἰσιν, ἔστιν ὡς πρώτη πρὸς τὴν τρίτην οὕτως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας, τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον· ὡς ἄρα ἡ ΓΒ πρὸς τὴν ΒΔ οὕτως τὸ ἀπὸ τῆς ΓΒ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΒΑ, τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΔ οὕτως τὸ ἀπὸ τῆς

SIT triangulum rectangulum ΑΒΓ, rectum habens angulum ΒΑΓ: dico figuram quæ fit à ΒΓ æqualem eſſe eis quæ à ΒΑ, ΑΓ fiunt, ſimilibus & ſimiliter deſcriptis.

Ducatur perpendicularis ΑΔ.

Quoniam igitur in triangulo ΑΒΓ ab angulo recto qui eſt Α ad ΒΓ baſim perpendicularis ducta eſt ΑΔ; erunt [per 8. 6.] triangula ΑΒΔ, ΑΔΓ, quæ ſunt ad perpendicularem, ſimilia toti ΑΒΓ & inter ſe. & quoniam ſimile eſt ΑΒΓ triangulum triangulo ΑΒΔ, erit ut ΓΒ ad ΒΑ ita ΑΒ ad ΒΔ. atqui cum tres rectæ lineæ proportionales ſint; ut prima ad tertiam ita erit [per 2. cor. 20. 6.] figura quæ fit à prima ad ſimilem & ſimiliter deſcriptam à ſecunda: ut igitur ΓΒ ad ΒΔ ita figura quæ fit à ΓΒ ad ſimilem & ſimiliter deſcriptam à ΒΑ. eadem ratione & ut ΒΓ ad ΓΔ ita figura quæ

fit à BΓ ad eam quæ fit à ΓA: quare & ut BΓ ad ipſas BΔ, ΔΓ ita figura quæ fit à BΓ ad eas quæ fiunt à BA, AΓ, ſimiles & ſimiliter deſcriptas. æqualis eſt autem BΓ ipſis BΔ, ΔΓ: ergo figura quæ fit à BΓ æqualis eſt eis quæ à BA, AΓ fiunt, ſimilibus & ſimiliter deſcriptis.

In rectangulis igitur triangulis, figura quæ fit à latere rectum angulum ſubtendente æqualis eſt eis quæ à lateribus rectum angulum comprehendentibus fiunt, ſimilibus & ſimiliter deſcriptis. quod erat demonſtrandum.

ΒΓ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΓA, ὥστε καὶ ὡς ἡ ΒΓ πρὸς τὰς ΒΔ, ΔΓ ἕτως τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὰ ἀπὸ τῶν ΒA, AΓ, τὰ ὅμοια καὶ ὁμοίως ἀναγραφόμενα. ἴση δὲ ἡ ΒΓ τῶν ΒΔ, ΔΓ· ἴσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΒΓ εἶδος τοῖς ἀπὸ τῶν ΒA, AΓ εἴδεσι, τοῖς ὁμοίοις τε καὶ ὁμοίως ἀναγραφομένοις.

Ἐν ἄρα τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς εἶδος ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν εἴδεσι, τοῖς ὁμοίοις τε καὶ ὁμοίως ἀναγραφομένοις. ὅπερ ἔδει δεῖξαι.

Aliter.

Quoniam [per 23. 6.] ſimiles figuræ ſunt in duplicata ratione laterum homologorum; figura quæ fit à BΓ ad eam quæ fit à BA duplicatam rationem habebit ejus quam habet BΓ ad BA. habet autem [per 1. cor. 20. 6.] & quadratum ex BΓ ad quadratum ex BA duplicatam rationem ejus quam habet BΓ ad BA: ergo [per 11. 5.] ut figura quæ fit à BΓ ad eam quæ fit à BA ita quadratum ex BΓ ad quadratum ex BA. eadem ratione & ut figura quæ fit à BΓ ad eam quæ fit à ΓA ita quadratum ex BΓ ad quadratum ex ΓA; & igitur ut figura quæ fit à BΓ ad eas quæ fiunt à BA, AΓ ita quadratum ex BΓ ad quadrata ex BA, AΓ. quadratum autem ex BΓ æquale eſt [per 47. 1.] quadratis ex BA, AΓ: ergo & figura quæ fit à BΓ eſt æqualis eis quæ à BA, AΓ fiunt, ſimilibus & ſimiliter deſcriptis. quod erat demonſtrandum.



Αλλως.

Ἐπεὶ τὰ ὅμοια σχήματα ἐν διπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν, τὸ ἀπὸ τῆς ΒΓ εἶδος ἄρα πρὸς τὸ ἀπὸ τῆς ΒA εἶδος διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΒA. ἔχει δὲ καὶ τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒA τετράγωνον διπλασίονα λόγον ἤπερ ἡ ΒΓ πρὸς τὴν ΒA· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΒA ἕτως τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒA τετράγωνον. Διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΓA εἶδος ἕτως τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΓA τετράγωνον· ὥστε καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὰ ἀπὸ τῶν ΒA, AΓ εἴδη ἕτως τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὰ ἀπὸ τῶν ΒA, AΓ τετράγωνα. ἴσον δὲ τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον τοῖς ἀπὸ τῶν ΒA, AΓ τετραγώνοις· ἴσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΒΓ εἶδος τοῖς ἀπὸ τῶν ΒA, AΓ εἴδεσι, τοῖς ὁμοίοις τε καὶ ὁμοίως ἀναγραφομένοις. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXII. Theor.

Si duo triangula, quæ duo latera duobus lateribus proportionalia habent, componantur ſecundum unum angulum, ita ut homologa latera ipſorum ſint parallela; reliqua triangulorum latera in directum ſibi invicem erunt.

Προτασις λβ'.

Ἐὰν δύο τρίγωνα συντεθῇ κατὰ μίαν γωνίαν, τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἀνάλογον ἔχοντα, ὥστε τὰς ὁμολόγους αὐτῶν πλευρὰς καὶ παραλλήλους εἶναι· αἱ λοιπαὶ τῶν τριγώνων πλευραὶ ἐπ' εὐθείας ἔσονται.

SInt duo triangula ABΓ, ΔΓE, quæ duo latera BA, AΓ duobus lateribus ΓΔ, ΔE proportionalia habeant, ut quidem BA ad AΓ ita ΓΔ ad ΔE; parallela autem ſit AB ipſi ΔΓ, & AΓ ipſi ΔE: dico BΓ ipſi ΓE in directum eſſe.

Quoniam enim AB parallela eſt ΔΓ, & in ipſas incidit recta linea AΓ; erunt [per 29. 1.] anguli alterni BAΓ, AΓΔ æquales inter ſe. ea-

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΓΕ, τὰς δύο πλευρὰς τὰς ΒΑ, ΑΓ ταῖς δυσὶ πλευραῖς ταῖς ΓΔ, ΔΕ ἀνάλογον ἔχοντα, ὡς μὲν τὴν ΒΑ πρὸς τὴν ΑΓ ἕτως τὴν ΓΔ πρὸς τὴν ΔΕ, παράλληλον δὲ τὴν μὲν ΑΒ τῇ ΔΓ, τὴν δὲ ΑΓ τῇ ΔΕ· λέγω ὅτι ἐπ' εὐθείας ἐστὶν ἡ ΒΓ τῇ ΓΕ.

Ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΔΓ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΑΓ, καὶ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΒΑΓ, ΑΓΔ ἴσαι ἀλλήλαις εἰσί. Διὰ τὰ

τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΓΔΕ τῇ ὑπὸ ΑΓΔ ἐστιν ἴση· ὥστε καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΓΔΕ ἐστιν ἴση. καὶ ἐπεὶ δύο τρίγωνά ἐστι ΑΒΓ, ΔΓΕ μίαν γωνίαν τὴν πρὸς τῷ Α μιᾷ γωνίᾳ τῇ πρὸς τῷ Δ ἴσην ἔχοντα, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ὡς τὴν ΒΑ πρὸς τὴν ΑΓ οὕτως τὴν ΓΔ πρὸς τὴν ΔΕ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΓΕ τριγώνῳ· ἴση ἄρα ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΓΕ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΓΔ τῇ ὑπὸ ΒΑΓ ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΑΓΕ δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΒΑΓ ἴση ἐστί. κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΕ, ΑΓΒ ταῖς ὑπὸ ΒΑΓ, ΑΓΒ, ΑΒΓ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΒΑΓ, ΑΓΒ, ΑΒΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσί· καὶ αἱ ὑπὸ ΑΓΕ, ΑΓΒ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσί. πρὸς δή τινι εὐθείᾳ τῇ ΑΓ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Γ, δύο εὐθεῖαι αἱ ΒΓ, ΓΕ, μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι, τὰς ἐφεξῆς γωνίας τὰς ὑπὸ ΑΓΕ, ΑΓΒ δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΒΓ τῇ ΓΕ.



Ἐὰν ἄρα δύο τρίγωνα συντεθῇ κατὰ μίαν γωνίαν, τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἀνάλογον ἔχοντα, ὥστε τὰς ὁμολόγους αὐτῶν πλευρὰς καὶ παραλλήλους εἶναι· αἱ λοιπαὶ τῶν τριγώνων πλευραὶ ἐπ' εὐθείας ἔσονται. ὅπερ ἔδει δεῖξαι.

dem ratione & angulus ΓΔΕ æqualis eſt angulo ΑΓΔ: quare & ΒΑΓ ipſi ΓΔΕ eſt æqualis. & quoniam ΑΒΓ, ΔΓΕ ſunt duo triangula unum angulum qui ad Α uni angulo qui ad Δ æqualem habentia, circum æquales autem angulos latera proportionalia, ſcilicet ut ΒΑ ad ΑΓ ita ΓΔ ad ΔΕ; erit [per 6. 6.] triangulum ΑΒΓ triangulo ΔΓΕ æquiangulum: ergo ΑΒΓ angulus eſt æqualis angulo ΔΓΕ. oſtenſus autem eſt & angulus ΑΓΔ æqualis angulo ΒΑΓ: totus igitur ΑΓΕ duobus ΑΒΓ, ΒΑΓ eſt æqualis. communis apponatur ΑΓΒ: ergo anguli ΑΓΕ, ΑΓΒ angulis ΒΑΓ, ΑΓΒ, ΑΒΓ æquales ſunt. ſed [per 32. 1.] ΒΑΓ, ΑΓΒ, ΑΒΓ anguli duobus rectis ſunt æquales: & igitur anguli ΑΓΕ, ΑΓΒ duobus rectis æquales erunt. itaque ad quandam rectam lineam ΑΓ, & ad punctum in ipſa Γ, duæ rectæ lineæ ΒΓ, ΓΕ, non ad eaſdem partes poſitæ, angulos qui ſunt deinceps ΑΓΕ, ΑΓΒ duobus rectis æquales faciunt: ergo [per 14. 1.] ΒΓ ipſi ΓΕ in directum erit.

Si igitur duo triangula, quæ duo latera duobus lateribus proportionalia habent, ita componantur ſecundum unum angulum, ut homologa latera ipſorum ſint parallela; reliqua triangulorum latera in directum ſibi invicem erunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λγ'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ γωνίαι τὸν αὐτὸν λόγον ἔχουσι ταῖς περιφερείαις ἐφ' ὧν βεβήκασιν, ἐάν τε πρὸς τοῖς κέντροις, ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι· ἔτι δὲ καὶ οἱ τομεῖς, ἅτε πρὸς τοῖς κέντροις συνεστάμενοι.

Prop. XXXIII. Theor.

In circulis æqualibus anguli eandem habent rationem quam circumferentiæ quibus inſiſtunt, ſive ad centra ſive ad circumferentias inſiſtant: adhuc etiam & ſectores, quippe qui ad centra ſunt conſtituti.

Ἐστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ, καὶ πρὸς μὲν ταῖς κέντροις αὐτῶν ταῖς Η, Θ γωνίαι ἔστωσαν αἱ ὑπὸ ΒΗΓ, ΕΘΖ, πρὸς δὲ ταῖς περιφερείαις αἱ ὑπὸ ΒΑΓ, ΕΔΖ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ περιφέρειαν οὕτως καὶ ἡ ὑπὸ ΒΗΓ γωνία πρὸς τὴν ὑπὸ ΕΘΖ, καὶ ἡ ὑπὸ ΒΑΓ πρὸς τὴν ὑπὸ ΕΔΖ· καὶ ἔτι ὁ ΗΒΓ τομεὺς πρὸς τὸν ΘΕΖ τομέα.



Sint æquales circuli ΑΒΓ, ΔΕΖ, & ad centra quidem ipſorum Η, Θ ſint anguli ΒΗΓ, ΕΘΖ, ad circumferentias vero anguli ΒΑΓ, ΕΔΖ: dico ut circumferentia ΒΓ ad ΕΖ circumferentiam ita eſſe & ΒΗΓ angulum ad angulum ΕΘΖ, & angulum ΒΑΓ ad angulum ΕΔΖ: & adhuc ſectorem ΗΒΓ ad ΘΕΖ ſectorem.



Ponantur enim circumferentiæ quidem ΒΓ æquales quotcumque deinceps ΓΚ, ΚΛ, circumferentiæ vero ΕΖ rurſus æquales quotcumque ΖΜ, ΜΝ, & jungantur ΗΚ, ΗΛ, ΘΜ, ΘΝ.

Quoniam igitur circumferentiæ ΒΓ, ΓΚ, ΚΛ inter ſe ſunt æquales, & anguli ΒΗΓ, ΓΗΚ, ΚΗΛ [per 27. 3.] inter ſe æquales erunt: quam multiplex igitur eſt circumferentia ΒΛ circumferentiæ ΒΓ tam multiplex eſt & ΒΗΛ angulus anguli ΒΗΓ. eadem ratione & quam multiplex eſt circumferentia ΕΝ circumferentiæ ΕΖ tam multiplex & ΕΘΝ angulus anguli ΕΘΖ. & ſi æqualis eſt ΒΛ circumferentia circumferentiæ ΕΝ, & angulus ΒΗΛ angulo ΕΘΝ [per 27. 3.] erit æqualis; & ſi circumferentia ΒΛ major eſt circumferentia ΕΝ, major erit & ΒΗΛ angulus angulo ΕΘΝ; & ſi minor, minor: quatuor igitur exiſtentibus magnitudinibus, duabus nimirum circumferentiis ΒΓ, ΕΖ & duobus angulis ΒΗΓ, ΕΘΖ, ſumpta ſunt circumferentiæ quidem ΒΓ & ΒΗΓ anguli æque multiplicia *viz.* circumferentia ΒΛ & ΒΗΛ angulus; circumferentiæ vero ΕΖ & ΕΘΖ anguli æque multiplicia, nempe circumferentia ΕΝ & angulus ΕΘΝ. atque oſtenſum eſt ſi circumferentia ΒΛ ſuperat circumferentiam ΕΝ, & ΒΗΛ angulum ſuperare angulum ΕΘΝ; & ſi æqualis, æqualem; & ſi minor, minorem eſſe: igitur [per 5. def. 5.] ut circumferentia ΒΓ ad ΕΖ circumferentiam ita angulus ΒΗΓ ad angulum ΕΘΖ. ſed [per 15. 5.] ut ΒΗΓ angulus ad angulum ΕΘΖ, ita angulus ΒΑΓ ad ΒΔΖ angulum; uterque enim [per 20. 3.] utriuſque eſt duplus: & igitur ut ΒΓ circumferentia ad circumferentiam ΕΖ ita & angulus ΒΗΓ ad angulum ΕΘΖ, & angulus ΒΑΓ ad ΕΔΖ angulum.



In circulis igitur æqualibus anguli eandem habent rationem quam circumferentiæ quibus inſiſtunt, ſive ad centra ſive ad circumferentias inſiſtant. quod erat demonſtrandum.

Dico inſuper & ut ΒΓ circumferentia ad circumferentiam ΕΖ ita eſſe ſectorem ΗΒΓ ad ΘΕΖ ſectorem.

Jungantur enim ΒΓ, ΓΚ, & ſumptis in circumferentiis ΒΓ, ΓΚ punctis Ξ, Ο, jungantur & ΒΞ, ΞΓ, ΓΟ, ΟΚ.

Itaque quoniam duæ ΒΗ, ΗΓ duabus ΓΗ, ΗΚ æquales ſunt & angulos æquales comprehendunt; erit & baſis ΒΓ baſi ΓΚ æqualis: æquale igitur eſt [per 4. 1.] & ΗΒΓ triangulum triangulo ΗΓΚ. & quoniam circumferentia ΒΓ circumferentiæ ΓΚ eſt æqualis, & reliqua ἡ εἰς

Κείσθωσαν γὰρ τῇ μὲν ΒΓ περιφερείᾳ ἴσαι οσαιδηποτοῦν κατὰ τὸ ἑξῆς αἱ ΓΚ, ΚΛ, τῇ δὲ ΕΖ περιφερείᾳ ἴσαι οσαιδηποτοῦν ἴσαι αἱ ΖΜ, ΜΝ, καὶ ἐπεζεύχθωσαν αἱ ΗΚ, ΗΛ, ΘΜ, ΘΝ.

Επεὶ οὖν ἴσαι εἰσὶν αἱ ΒΓ, ΓΚ, ΚΛ περιφέρειαι ἀλλήλαις, ἴσαι εἰσὶ καὶ αἱ ὑπὸ ΒΗΓ, ΓΗΚ, ΚΗΛ γωνίαι ἀλλήλαις· οσαπλασίων ἄρα ἐστὶν ἡ ΒΛ περιφέρεια τῆς ΒΓ τοσαυταπλασίων ἐστὶ καὶ ἡ ὑπὸ ΒΗΛ γωνία τῆς ὑπὸ ΒΗΓ. διὰ τὰ αὐτὰ δὴ καὶ οσαπλασίων ἐστὶν ἡ ΕΝ περιφέρεια τῆς ΕΖ τοσαυταπλασίων ἐστὶ καὶ ἡ ὑπὸ ΕΘΝ γωνία τῆς ὑπὸ ΕΘΖ. καὶ εἰ ἴση ἐστὶν ἡ ΒΛ περιφέρεια τῇ ΕΝ περιφερείᾳ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΒΗΛ τῇ ὑπὸ ΕΘΝ· καὶ εἰ μείζων ἐστὶν ἡ ΒΛ περιφέρεια τῆς ΕΝ περιφερείας, μείζων ἐστὶ καὶ ἡ ὑπὸ ΒΗΛ γωνία τῆς ὑπὸ ΕΘΝ γωνίας· καὶ εἰ ἐλάσσων, ἐλάσσων· τεσσάρων δὴ οὐτων μεγεθῶν, δύο μὲν περιφερειῶν τῶν ΒΓ, ΕΖ, δύο δὲ γωνιῶν τῶν ὑπὸ ΒΗΓ, ΕΘΖ, εἴληπται τῆς μὲν ΒΓ περιφερείας καὶ τῆς ὑπὸ ΒΗΓ γωνίας ἰσάκις πολλαπλασίων, ἥτε ΒΛ περιφέρεια καὶ ἡ ὑπὸ ΒΗΛ γωνία, τῆς δὲ ΕΖ περιφερείας καὶ τῆς ὑπὸ ΕΘΖ γωνίας ἥτε ΕΝ περιφέρεια καὶ ἡ ὑπὸ ΕΘΝ γωνία. καὶ δέδεικται ὅτι εἰ ὑπερέχει ἡ ΒΛ περιφέρεια τῆς ΕΝ περιφερείας, ὑπερέχει καὶ ἡ ὑπὸ ΒΗΛ γωνία τῆς ὑπὸ ΕΘΝ· καὶ εἰ ἴση, ἴση· καὶ εἰ ἐλάσσων, ἐλάσσων· ἔστιν ἄρα ὡς ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ οὕτως ἡ ὑπὸ ΒΗΓ γωνία πρὸς τὴν ὑπὸ ΕΘΖ. ἀλλ' ὡς ἡ ὑπὸ ΒΗΓ γωνία πρὸς τὴν ὑπὸ ΕΘΖ οὕτως ἡ ὑπὸ ΒΑΓ πρὸς τὴν ὑπὸ ΕΔΖ, διπλασίων γὰρ ἑκατέρα ἑκατέρας· καὶ ὡς ἄρα ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ περιφέρειαν οὕτως ἡ ὑπὸ ΒΗΓ γωνία πρὸς τὴν ὑπὸ ΕΘΖ, καὶ ἡ ὑπὸ ΒΑΓ πρὸς τὴν ὑπὸ ΕΔΖ.



Εν ἄρα τοῖς ἴσοις κύκλοις αἱ γωνίαι τὸν αὐτὸν ἔχουσι λόγον τοῖς περιφερείαις ἐφ' ὧν βεβήκασιν· ἐάν τε πρὸς τοῖς κέντροις, ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι. ὅπερ ἔδει δεῖξαι.

ΛΕΓΩ ὅτι καὶ ὡς ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ περιφέρειαν οὕτως ὁ ΗΒΓ τομεὺς πρὸς τὸν ΘΕΖ τομέα.

Επεζεύχθωσαν γὰρ αἱ ΒΓ, ΓΚ, καὶ λαφθέντων ἐπὶ τῶν ΒΓ, ΓΚ περιφερειῶν τῶν Ξ, Ο σημείων, ἐπεζεύχθωσαν καὶ αἱ ΒΞ, ΞΓ, ΓΟ, ΟΚ.

Καὶ ἐπεὶ δύο αἱ ΒΗ, ΗΓ δυσὶ ταῖς ΓΗ, ΗΚ ἴσαι εἰσὶ, καὶ γωνίας ἴσας περιέχουσι, καὶ βάσις ἡ ΒΓ τῇ ΓΚ ἐστὶν ἴση· ἴσον ἄρα καὶ τὸ ΒΗΓ τρίγωνον τῷ ΗΓΚ τριγώνῳ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ περιφέρεια τῇ ΓΚ περιφερείᾳ, καὶ ἡ λοιπὴ

ἡ εἰς

ἡ εἰς τὸ ὅλον ΑΒΓ κύκλον περιφέρεια ἴση ἐστὶ τῇ λοιπῇ τῇ εἰς τὸ αὐτὸν κύκλον περιφερείᾳ· ὥστε καὶ γωνία ἡ πρὸς τῷ ΒΞΓ γωνίᾳ τῇ πρὸς τῷ ΓΟΚ ἐστὶν ἴση· ὅμοιον ἄρα ἐστὶ τὸ ΒΞΓ τμῆμα τῷ ΓΟΚ τμήματι· καί εἰσιν ἐπὶ ἴσων εὐθειῶν τῶν ΒΓ, ΓΚ. τὰ δὲ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ ΒΞΓ τμῆμα τῷ ΓΟΚ τμήματι. ἔστι δὲ καὶ τὸ ΒΗΓ τρίγωνον τῷ ΓΗΚ τριγώνῳ ἴσον· καὶ ὅλος ἄρα ὁ ΗΒΓ τομεὺς ὅλῳ τῷ ΗΓΚ τομεῖ ἴσος ἐστί. Διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΗΚΛ τομεὺς ἑκατέρῳ τῶν ΗΚΓ, ΗΓΒ ἴσος ἐστίν· οἱ τρεῖς ἄρα τομεῖς οἱ ΗΒΓ, ΗΓΚ, ΗΚΛ ἴσοι ἀλλήλοις εἰσί. Διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΘΕΖ, ΘΖΜ, ΘΜΝ τομεῖς ἴσοι ἀλλήλοις εἰσίν· ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΒΛ περιφέρεια τῆς ΓΒ περιφερείας, τοσαυταπλασίων ἐστὶ καὶ ὁ ΗΒΛ τομεὺς τοῦ ΗΒΓ τομέως. Διὰ τὰ αὐτὰ δὴ ὁσαπλασίων ἐστὶν ἡ ΕΝ περιφέρεια τῆς ΕΖ περιφερείας, τοσαυταπλασίων ἐστὶ καὶ ὁ ΘΕΝ τομεὺς τοῦ ΘΕΖ τομέως· καὶ εἰ ἴση ἐστὶν ἡ ΒΛ περιφέρεια τῇ ΕΝ, ἴσος ἐστὶ καὶ ὁ ΗΒΛ τομεὺς τῷ ΘΕΝ τομεῖ· καὶ εἰ ὑπερέχει ἡ ΒΛ περιφέρεια τῆς ΕΝ περιφερείας, ὑπερέχει καὶ ὁ ΗΒΛ τομεὺς τοῦ ΘΕΝ τομέως· καὶ εἰ ἐλλείπει, ἐλλείπει. πεσάρων δὴ ὄντων μεγεθῶν, δύο μὲν τῶν ΒΓ, ΕΖ περιφερειῶν, δύο δὲ τῶν ΗΒΓ, ΘΕΖ τομέων, εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΒΓ περιφερείας ἡ τε ΗΒΓ τομέως ἥ τε ΒΛ περιφέρεια καὶ ὁ ΗΒΛ τομεύς, τῆς δὲ ΕΖ περιφερείας καὶ τοῦ ΘΕΖ τομέως ἰσάκις πολλαπλάσια ἥ τε ΕΝ περιφέρεια καὶ ὁ ΘΕΝ τομεύς. καὶ δέδεικται ὅτι εἰ ὑπερέχει ἡ ΒΛ περιφέρεια τῆς ΕΝ περιφερείας, ὑπερέχει καὶ ὁ ΗΒΛ τομεὺς τοῦ ΘΕΝ τομέως· καὶ εἰ ἴση, ἴσος· καὶ εἰ ἐλλείπει, ἐλλείπει· ἔστιν ἄρα ὡς ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ οὕτως ὁ ΗΒΓ τομεὺς πρὸς τὸν ΘΕΖ τομέα.



liqua circumferentia quæ complet totum circulum ΑΒΓ æqualis eſt [per 3. ax.] reliquæ quæ eundem circulum complet; quare [per 27. 3.] & angulus ΒΞΓ angulo ΓΟΚ eſt æqualis: ſimile igitur eſt [per 11. def. 3.] ΒΞΓ ſegmentum ſegmento ΓΟΚ: & ſunt ſuper æquales rectas lineas ΒΓ, ΓΚ. quæ autem ſuper æquales rectas lineas ſunt ſimilia circulorum ſegmenta [per 24. 3.] & inter ſe æqualia ſunt: ergo ſegmentum ΒΞΓ eſt æquale ſegmento ΓΟΚ. eſt autem & ΒΗΓ triangulum triangulo ΓΗΚ æquale: & totus igitur ſector ΗΒΓ [per 2. ax.] toti ſectori ΗΓΚ æqualis erit. eadem ratione & ΗΚΛ ſector utrivis ipſorum ΗΚΓ, ΗΓΒ eſt æqualis: tres igitur ſectores ΗΒΓ, ΗΓΚ, ΗΚΛ æquales ſunt inter ſe. ſimiliter & ſectores ΘΕΖ, ΘΖΜ, ΘΜΝ inter ſe ſunt æquales: quam multiplex igitur eſt ΒΛ circumferentia circumferentiæ ΒΓ, tam multiplex eſt & ΗΒΛ ſector ſectoris ΗΒΓ. eadem ratione & quam multiplex eſt circumferentia ΕΝ circumferentiæ ΕΖ, tam multiplex eſt & ΘΕΝ ſector ſectoris ΘΕΖ; & [ex modo oſtenſis] ſi circumferentia ΒΛ circumferentiæ ΕΝ eſt æqualis, & ſector ΗΒΛ æqualis eſt ſectori ΘΕΝ; & ſi circumferentia ΒΛ ſuperat circumferentiam ΕΝ, ſuperat & ΗΒΛ ſector ſectorem ΘΕΝ; & ſi minor, minor. quatuor igitur exiſtentibus magnitudinibus, duabus quidem circumferentiis ΒΓ, ΕΖ, duobus vero ſectoribus ΗΒΓ, ΘΕΖ; ſumpta ſunt circumferentiæ quidem ΒΓ & ΗΒΓ ſectoris æque multiplicia, *viz.* circumferentia ΒΛ & ΗΒΛ ſector; circumferentiæ vero ΕΖ & ſectoris ΘΕΖ æque multiplicia, nempe circumferentia ΕΝ & ΘΕΝ ſector. atque oſtenſum eſt ſi ΒΛ circumferentia ſuperat circumferentiam ΕΝ, & ſectorem ΗΒΛ ſuperare ſectorem ΘΕΝ; & ſi æqualis æqualem eſſe; & ſi minor, minorem: eſt igitur [per 5. def. 5.] ut ΒΓ circumferentia ad circumferentiam ΕΖ ita ſector ΗΒΓ ad ΘΕΖ ſectorem.



Πόρισμα.

Καὶ δῆλον ὅτι καὶ ὡς ὁ τομεὺς πρὸς τὸν τομέα οὕτως καὶ ἡ γωνία πρὸς τὴν γωνίαν.

Corollarium.

Perſpicuum etiam eſt [per 11. 5.] & ut ſector ad ſectorem ita eſſe angulum ad angulum.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

EUCLIDIS
ELEMENTORUM
LIBER SEPTIMUS.

DEFINITIONES.

1. UNITAS eſt, ſecundum quam unumquodque eorum quæ ſunt unum dicitur.

2. Numerus autem, ex unitatibus conſtans multitudo.

3. Pars eſt numerus numeri, minor majoris, cum minor metitur majorem.

4. Partes autem, quando non metitur.

5. Multiplex eſt major minoris, quando minor majorem metitur.

6. Par numerus eſt qui bifariam dividitur.

7. Impar vero, qui bifariam non dividitur: vel qui à pari numero unitate differt.

8. Pariter par numerus eſt, quem par numerus per parem numerum metitur.

9. Pariter vero impar eſt, quem par numerus per numerum imparem metitur.

10. Impariter vero impar numerus eſt, quem impar numerus per numerum imparem metitur.

11. Primus numerus eſt, quem unitas ſola metitur.

12. Primi inter ſe numeri ſunt, quos ſola unitas communis menſura metitur.

13. Compoſitus numerus eſt, quem numerus aliquis metitur.

ΟΡΟΙ.

α'. ΜΟΝΑΣ ἐστι, καθ' ἣν ἕκαστον τῶν ὄντων ἓν λέγεται.

β'. Ἀριθμὸς δὲ, τὸ ἐκ μονάδων συγκείμενον πλῆθος.

γ'. Μέρος ἐστὶν ἀριθμὸς ἀριθμοῦ, ὁ ἐλάσσων τοῦ μείζονος, ὅταν καταμετρῇ τὸν μείζονα.

δ'. Μέρη δὲ, ὅταν μὴ καταμετρῇ.

ε'. Πολλαπλάσιος δὲ, ὁ μείζων τοῦ ἐλάττονος, ὅταν καταμετρῆται ὑπὸ τοῦ ἐλάττονος.

ϛ'. Ἄρτιος δὲ ἀριθμός ἐστιν ὁ δίχα διαιρούμενος.

ζ'. Περισσὸς δὲ, ὁ μὴ διαιρούμενος δίχα· ἢ ὁ μονάδι διαφέρων ἀρτίου ἀριθμοῦ.

η'. Ἀρτιάκις ἄρτιος ἀριθμός ἐστιν, ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος κατ' ἄρτιον ἀριθμόν.

θ'. Ἀρτιάκις δὲ περισσός ἐστιν, ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος κατὰ περισσὸν ἀριθμόν.

ι'. Περισσάκις δὲ περισσός ἐστιν ἀριθμός, ὁ ὑπὸ περισσοῦ ἀριθμοῦ μετρούμενος κατὰ περισσὸν ἀριθμόν.

ια'. Πρῶτος ἀριθμός ἐστιν, ὁ μονάδι μόνῃ μετρούμενος.

ιβ'. Πρῶτοι πρὸς ἀλλήλους ἀριθμοί εἰσιν, οἱ μονάδι μόνῃ μετρούμενοι κοινῷ μέτρῳ.

ιγ'. Σύνθετος ἀριθμός ἐστιν, ὁ ἀριθμῷ τινι μετρούμενος.

ιδ'. Σύνθετοι

ιδ'. Σύνθετοι δὲ πρὸς ἀλλήλους ἀριθμοί εἰσιν, οἱ ἀριθμῷ τινι μετρούμενοι κοινῷ μέτρῳ.

14. Compositi inter se numeri sunt, quos numerus aliquis communis mensura metitur.

ιε'. Ἀριθμὸς ἀριθμὸν πολλαπλασιάζειν λέγεται, ὅταν ὅσαι ἰσαι εἰσὶν ἐν αὐτῷ μονάδες τοσαύκις συντεθῇ ὁ πολλαπλασιαζόμενος, ἡ γέννηταί τις.

15. Numerus numerum multiplicare dicitur, quando quot unitates sunt in ipso toties componitur multiplicatus, & aliquis gignitur.

ιϛ'. Ὅταν δὲ δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, ὁ γενόμενος ἐπίπεδος καλεῖται· πλευραὶ δὲ αὐτοῦ, οἱ πολλαπλασιάσαντες ἀλλήλους ἀριθμοί.

16. Quando duo numeri sese multiplicantes aliquem fecerint, qui factus est planus appellatur; latera vero ipsius numeri sese multiplicantes.

ιζ'. Ὅταν δὲ τρεῖς ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, ὁ γενόμενος στερεὸς καλεῖται· πλευραὶ δὲ αὐτοῦ, οἱ πολλαπλασιάσαντες ἀλλήλους ἀριθμοί.

17. Quando autem tres numeri sese multiplicantes aliquem fecerint, factus solidus appellatur: latera vero ipsius, numeri sese multiplicantes.

ιη. Τετράγωνος ἀριθμός ἐστιν ὁ ἰσάκις ἴσος, ἢ ὁ ὑπὸ δύο ἴσων ἀριθμῶν περιεχόμενος.

18. Quadratus numerus est qui æqualiter æqualis; vel qui sub duobus æqualibus numeris continetur.

ιθ'. Κύβος δὲ ὁ ἰσάκις ἴσος ἰσάκις, ἢ ὁ ὑπὸ τριῶν ἴσων ἀριθμῶν περιεχόμενος.

19. Cubus vero, qui æqualiter æqualis æqualiter; vel qui sub tribus æqualibus numeris continetur.

κ'. Ἀριθμοὶ ἀνάλογόν εἰσιν, ὅταν ὁ πρῶτος τοῦ δευτέρου καὶ ὁ τρίτος τοῦ τετάρτου ἰσάκις ᾖ πολλαπλάσιος, ἢ τὸ αὐτὸ μέρος, ἢ τὰ αὐτὰ μέρη ὦσιν.

20. Numeri proportionales sunt, quando primus secundi & tertius quarti æque multiplex est, vel eadem pars, vel eædem partes.

κα'. Ὅμοιοι ἐπίπεδοι καὶ στερεοὶ ἀριθμοί εἰσιν, οἱ ἀνάλογον ἔχοντες τὰς πλευράς.

21. Similes plani & solidi numeri sunt, qui latera habent proportionalia.

κβ'. Τέλειος ἀριθμός ἐστιν, ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν.

22. Perfectus numerus est, qui suis ipsius partibus est æqualis.

ΠΡΟΤΑΣΙΣ α'.

Propositio I. Theorema.

Ἐὰν δύο ἀριθμῶν ἀνίσων ἐκκειμένων ἀνθυφαιρουμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος, ὁ λειπόμενος μηδέποτε καταμετρῇ τὸν πρὸ ἑαυτοῦ ἕως οὗ ληφθῇ μονάς· οἱ ἐξ ἀρχῆς ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ἔσονται.

Si duobus numeris inæqualibus expositis detracto semper minore de majore, reliquus minime metiatur præcedentem quoad assumpta fuerit unitas; numeri à principio positi primi inter se erunt.

Δύο γὰρ ἀνίσων ἀριθμῶν τῶν ΑΒ, ΓΔ ἀνθυφαιρουμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος, ὁ λειπόμενος μηδέποτε καταμετρείτω τὸν πρὸ ἑαυτοῦ ἕως οὗ ληφθῇ μονάς· λέγω ὅτι οἱ ΑΒ, ΓΔ πρῶτοι πρὸς ἀλλήλους εἰσί, τουτέστιν, ὅτι τοὺς ΑΒ, ΓΔ μονὰς μόνη μετρεῖ.

Duobus enim inæqualibus numeris ΑΒ, ΓΔ detracto semper minore de majore, reliquus minime metiatur præcedentem, quoad assumpta fuerit unitas: dico numeros ΑΒ, ΓΔ inter se primos esse, hoc est, ipsos ΑΒ, ΓΔ unitatem solam metiri.

Α · Θ · · Ζ · · · · · · · · · Β
Γ · · Η · · · Δ
Ε —

Εἰ γὰρ μὴ εἰσὶν οἱ ΑΒ, ΓΔ πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Ε, καὶ ὁ μὲν ΓΔ τὸν ΑΒ μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ΖΑ, ὁ δὲ ΑΖ τὸν ΔΓ μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ΗΓ, ὁ δὲ ΗΓ τὸν ΖΑ μετρῶν λειπέτω μονάδα τὴν ΘΑ.

Si enim ΑΒ, ΓΔ non sint primi inter se, metietur eos aliquis numerus. metiatur, sitque Ε, & ΓΔ quidem ipsum ΑΒ metiens relinquat seipso minorem ΖΑ; ΑΖ vero metiens ΔΓ relinquat seipso minorem ΗΓ; & ΗΓ metiens ΖΑ unitatem ΘΑ relinquat.

Ἐπεὶ οὖν ὁ Ε τὸν ΓΔ μετρεῖ, ὁ δὲ ΓΔ τὸν ΒΖ μετρεῖ· καὶ ὁ Ε ἄρα τὸν ΒΖ μετρεῖ. μετρεῖ δὲ

Quoniam igitur numerus Ε ipsum ΓΔ metitur, ΓΔ vero metitur ΒΖ; & Ε ipsum ΒΖ metitur. me-

Euclides in hoc libro literas adhibet alphabeticas pro numerorum symbolis: Nos, alios editores secuti, tot adjecimus puncta, elucidandi gratia, quot numeris istis respondeant.

titur autem & totum BA: ergo & reliquum AZ metietur, ſed AZ metitur ΔH: quare & E ipſum ΔH metietur. metitur autem & totum ΔΓ: ergo & reliquum ΓH metietur. at ΓH metitur ZΘ; & igitur E ipſum ZΘ metietur. ſed & metitur totum ZA; & igitur numerus E metietur reliquam AΘ unitatem, quod [per 3. def. 7.] fieri non poteſt: non igitur ipſos AB, ΓΔ metietur aliquis numerus: ergo AB, ΓΔ primi inter ſe ſunt. quod erat demonſtrandum.

A . Θ . . Z . . . . . B
Γ . . H . . . Δ
E ——

καὶ ὅλον τὸ BA· ἀλλὰ καὶ τὸ AZ μετρήσει ὁ E. ὁ δὲ AZ τὸ ΔH μετρεῖ· καὶ ὁ E ἄρα τὸ ΔH μετρήσει. μετρεῖ δὲ καὶ ὅλον τὸ ΔΓ· καὶ λοιπὸν ἄρα τὸ ΓH μετρήσει ὁ E. ὁ δὲ ΓH τὸ ZΘ μετρεῖ· καὶ ὁ E ἄρα τὸ ZΘ μετρήσει. μετρεῖ δὲ καὶ ὅλον τὸ ZA· καὶ λοιπὸν ἄρα τὴν ΑΘ μονάδα μετρήσει, ἀριθμὸς ὤν, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς AB, ΓΔ ἀριθμοὺς μετρήσει τις ἀριθμός· οἱ AB, ΓΔ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

Prop. II. Probl.

Duobus numeris datis non primis inter ſe, maximam eorum communem menſuram invenire.

SInt dati duo numeri non primi inter ſe AB, ΓΔ, quorum minor ſit ΓΔ: oportet ipſorum AB, ΓΔ maximam communem menſuram invenire.

Si igitur ΓΔ metitur AB, cum etiam ſeipſum metiatur, erit ΓΔ ipſorum ΓΔ, AB communis menſura. & perſpicuum eſt eam maximam eſſe; nullus enim major quam ΓΔ ipſum ΓΔ metietur.

A . . . . . B
Γ . . . . Δ

Si vero ΓΔ non metitur AB, ipſorum AB, ΓΔ detracto ſemper minore de majore, relinquetur aliquis numerus, qui metietur præcedentem. unitas quidem non relinquetur. *ſi enim non, erunt AB, ΓΔ primi inter ſe, † quod non ponitur; relinquetur igitur quidem numerus qui metietur præcedentem. & ΓΔ quidem ipſum AB metiens relinquat ſeipſo minorem AE; AE vero metiens ΓΔ relinquat ſeipſo minorem ΓZ; ΓZ vero ipſum AE metiatur, itaque quoniam ΓZ ipſum AE metitur, AE vero ipſum ΔZ; & ΓZ ipſum ΔZ metietur. ſed & metitur ſeipſum; & igitur metietur totum ΓΔ. at ΓΔ ipſum BE metitur: ergo & ΓZ metitur BE. metitur autem & EA: & igitur totum BA metietur. ſed & metitur ΓΔ: ergo ΓZ ipſos AB, ΓΔ metitur; ac propterea ΓZ ipſorum AB, ΓΔ eſt communis menſura. dico etiam maximam eſſe. ſi enim ΓZ non eſt maxima communis menſura ipſorum AB, ΓΔ, ipſos AB, ΓΔ metietur aliquis numerus major ipſo ΓZ. metiatur, ſitque H. & quoniam H ipſum ΓΔ metitur; ΓΔ vero ipſum BE: & H ipſum BE metitur. metitur autem & totum BA: & reliquum igitur AE metietur. ſed AE metitur ΔZ: ergo & H ipſum ΔZ metietur. metitur autem & totum ΔΓ: quare & reliquum ΓZ metietur, major minorem, quod fieri non poteſt: non igitur ipſos AB, ΓΔ numeros metietur numerus aliquis major ipſo ΓZ: ergo ΓZ eſt ipſorum AB, ΓΔ maxima communis menſura. quod erat demonſtrandum.

A . . . . E . . . . . B
Γ . . Z . . . . Δ
H ——

* &. ſi enim non non relinquatur, *i. e.* ſi relinquatur. † *i. e.* quod eſt contra hypotheſin.

Πρότασις β'.

Δύο ἀριθμῶν δοθέντων μὴ πρώτων πρὸς ἀλλήλους, τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

ΕΣτωσαν οἱ δοθέντες δύο ἀριθμοὶ μὴ πρῶτοι πρὸς ἀλλήλους, οἱ AB, ΓΔ, ἔστω δὲ ἐλάσσων ὁ ΓΔ· δεῖ δὴ τῶν AB, ΓΔ τὸ μέγιστον κοινὸν μέτρον εὑρεῖν.

Εἰ μὲν οὖν ὁ ΓΔ τὸν AB μετρεῖ, μετρεῖ δὲ καὶ ἑαυτόν· ὁ ΓΔ ἄρα τῶν ΓΔ, AB κοινὸν μέτρόν ἐστι. φανερὸν ὅτι καὶ μέγιστον, οὐδεὶς γὰρ μείζων τοῦ ΓΔ τὸν ΓΔ μετρήσει.

Εἰ δὲ ὁ μετρεῖ ὁ ΓΔ τὸν AB, τὸν AB, ΓΔ ἀνθυφαιρούμενος ἀεὶ ἑλάττονος ἀπὸ μείζονος, λειφθήσεταί τις ἀριθμὸς, ὃς μετρήσει τὸ πρὸ ἑαυτοῦ. μονὰς μὲν γὰρ οὐ λειφθήσεται). εἰ δὲ μή, ἔσονται οἱ AB, ΓΔ πρῶτοι πρὸς ἀλλήλους, ὅπερ ὑπόκειται), λειφθήσεταί τις ἀριθμὸς, ὃς μετρήσει τὸ πρὸ ἑαυτοῦ. καὶ ἐπεὶ μὲν ΓΔ τὸν AB μετρῶν λείπετω ἑαυτοῦ ἐλάσσονα τὸν AE, ὁ δὲ AE τὸν ΓΔ μετρῶν λείπετω ἑαυτοῦ τὸν ΓZ, ὁ δὲ ΓZ τὸν AE μετρείτω. ἐπεὶ οὖν ὁ ΓZ τὸν AE μετρεῖ, ὁ δὲ AE τὸν ΔZ μετρεῖ· καὶ ὁ ΓZ ἄρα τὸν ΔZ μετρήσει. μετρεῖ δὲ καὶ ἑαυτόν· καὶ ὅλον ἄρα τὸν ΓΔ μετρήσει. ὁ δὲ ΓΔ τὸν BE μετρεῖ· καὶ ὁ ΓZ ἄρα τὸν BE μετρεῖ. μετρεῖ δὲ καὶ τὸν EA· καὶ ὅλον ἄρα τὸν BA μετρήσει. μετρεῖ δὲ καὶ τὸν ΓΔ· ὁ ΓZ ἄρα τοὺς AB, ΓΔ μετρεῖ· ὁ ΓZ ἄρα τῶν AB, ΓΔ κοινὸν μέτρον ἐστί. λέγω δὴ ὅτι καὶ μέγιστον. εἰ γὰρ μὴ ἔστιν ὁ ΓZ τῶν AB, ΓΔ μέγιστον κοινὸν μέτρον, μετρήσει τις τοὺς AB, ΓΔ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν τὸν ΓZ. μετρείτω, καὶ ἔστω ὁ H. ἐπεὶ ὁ H τὸν ΓΔ μετρεῖ, ὁ δὲ ΓΔ τὸν BE μετρεῖ· καὶ ὁ H ἄρα τὸν BE μετρεῖ. μετρεῖ δὲ καὶ ὅλον τὸν BA· καὶ λοιπὸν ἄρα τὸν AE μετρήσει. ὁ δὲ AE τὸν ΔZ μετρεῖ· καὶ ὁ H ἄρα τὸν ΔZ μετρήσει. μετρεῖ δὲ καὶ ὅλον τὸν ΔΓ· καὶ λοιπὸν ἄρα τὸν ΓZ μετρήσει, ὁ μείζων τὸν ἐλάσσονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς AB, ΓΔ ἀριθμοὺς ἀριθμός τις μετρήσει, μείζων ὢν τὸν ΓZ· ὁ ΓZ ἄρα τῶν AB, ΓΔ μέγιστόν ἐστι κοινὸν μέτρον. ὅπερ ἔδει δεῖξαι.

Πό-

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν ἀριθμὸς δύο ἀριθμοὺς μετρῇ, καὶ τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον μετρήσει.

Corollarium.

Ex hoc manifeſtum eſt, ſi numerus duos numeros metiatur, & maximam eorum communem menſuram metiri.

ΠΡΟΤΑΣΙΣ γ'.

Τριῶν ἀριθμῶν δοθέντων μὴ πρώτων πρὸς ἀλλήλους, τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Prop. III. Probl.

Tribus numeris datis non primis inter ſe, maximam ipſorum communem menſuram invenire.

Ἐστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ μὴ πρῶτοι πρὸς ἀλλήλους, οἱ Α, Β, Γ· δεῖ δὴ τῶν Α, Β, Γ τὸ μέγιστον κοινὸν μέτρον εὑρεῖν.

Εἰλήφθω γὰρ δύο τῶν Α, Β τὸ μέγιστον κοινὸν μέτρον ὁ Δ· ὁ δὴ Δ τὸν Γ ἤτοι μετρεῖ, ἢ οὐ μετρεῖ. μετρείτω πρότερον, μετρεῖ δὲ καὶ τοὺς Α, Β· ὁ Δ ἄρα τοὺς Α, Β, Γ μετρεῖ· ὁ Δ ἄρα τῶν Α, Β, Γ κοινὸν μέτρον ἐστί. λέγω ὅτι καὶ μέγιστον. εἰ γὰρ μὴ ἔστιν ὁ Δ τῶν Α, Β, Γ κοινὸν μέγιστον μέτρον, μετρήσει τοὺς Α, Β, Γ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν τοῦ Δ. μετρείτω, καὶ ἔστω ὁ Ε. ἐπεὶ οὖν ὁ Ε τοὺς Α, Β, Γ μετρεῖ, καὶ τοὺς Α, Β ἄρα μετρήσει, καὶ τὸν τῶν Α, Β ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν Α, Β μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Δ· ὁ Ε ἄρα τὸν Δ μετρεῖ, ὁ μείζων τὸν ἐλάσσονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς Α, Β, Γ ἀριθμοὺς ἀριθμός τις μετρήσει μείζων ὢν τοῦ Δ· ὁ Δ ἄρα τῶν Α, Β, Γ μέγιστόν ἐστι κοινὸν μέτρον.

Μὴ μετρείτω δὴ ὁ Δ τὸν Γ. λέγω πρῶτον, ὅτι οἱ Δ, Γ οὐκ εἰσὶ πρῶτοι πρὸς ἀλλήλους. ἐπεὶ γὰρ οἱ Α, Β, Γ οὐκ εἰσὶ πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός· ὁ δὴ τοὺς Α, Β, Γ μετρῶν καὶ τοὺς Α, Β μετρήσει καὶ τὸ τῶν Α, Β μέγιστον κοινὸν μέτρον τὸ Δ μετρήσει. μετρεῖ δὲ καὶ τὸν Γ· τοὺς Δ, Γ ἄρα ἀριθμός τις μετρήσει· οἱ Δ, Γ ἄρα οὐκ εἰσὶ πρῶτοι πρὸς ἀλλήλους. εἰλήφθω οὖν αὐτῶν τὸ μέγιστον κοινὸν μέτρον, ὁ Ε. καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ, ὁ δὲ Δ τοὺς Α, Β μετρεῖ· καὶ ὁ Ε ἄρα τοὺς Α, Β μετρεῖ. μετρεῖ δὲ καὶ τὸν Γ· ὁ Ε ἄρα τοὺς Α, Β, Γ μετρεῖ· ὁ Ε ἄρα τῶν Α, Β, Γ κοινόν ἐστι μέτρον. λέγω δὴ ὅτι καὶ μέγιστον. εἰ γὰρ μὴ ἔστιν ὁ Ε τῶν Α, Β, Γ τὸ μέγιστον κοινὸν μέτρον, μετρήσει τις τοὺς Α, Β, Γ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν οὗ Ε. μετρείτω, καὶ ἔστω ὁ Ζ. καὶ ἐπεὶ ὁ Ζ τοὺς Α, Β, Γ μετρεῖ, καὶ τοὺς Α, Β μετρεῖ, καὶ τὸ τῶν Α, Β μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν Α, Β μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Δ· ὁ Ζ ἄρα τὸν Δ μετρεῖ. μετρεῖ δὲ καὶ τὸν Γ· ὁ Ζ ἄρα τοὺς Δ, Γ μετρεῖ· καὶ τὸ τῶν Δ, Γ ἄρα μέγιστον κοινὸν μέτρον μετρεῖ. τὸ δὲ τῶν Γ, Δ μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Ε· ὁ Ζ ἄρα τὸν Ε μετρεῖ, ὁ μείζων τὸν ἐλάσσονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς Α, Β, Γ ἀριθμός τις μετρήσει μείζων ὢν οὗ Ε· ὁ Ε ἄρα τῶν Α, Β, Γ μέγιστόν ἐστι κοινὸν μέτρον.

Sint dati tres numeri non primi inter ſe A, B, Γ: oportet ipſorum A, B, Γ maximam communem menſuram invenire.

Sumatur enim duorum A, B maxima communis menſura Δ: itaque Δ vel ipſum Γ metitur, vel non metitur. metiatur primum, metitur autem & ipſos A, B: ergo Δ numeros A, B, Γ metitur: & ob id ipſorum eſt communis menſura. dico & maximam eſſe. ſi enim Δ non eſt ipſorum A, B, Γ maxima communis menſura, metietur eos aliquis numerus major ipſo Δ. metiatur, & ſit E. quoniam igitur E metitur numeros A, B, Γ, & ipſos A, B metietur, & [per cor. 2. 7.] ipſorum A, B maximam communem menſuram. ſed ipſorum A, B maxima communis menſura eſt Δ: ergo E ipſum Δ metitur, major minorem, quod fieri non poteſt: non igitur A, B, Γ numeros numerus aliquis major ipſo Δ metietur: ergo Δ ipſorum A, B, Γ maxima eſt communis menſura.

Non metiatur autem Δ ipſum Γ. dico primum numeros Δ, Γ non eſſe primos inter ſe. quoniam enim A, B, Γ non ſunt inter ſe primi, metietur eos aliquis numerus; & qui metitur ipſos A, B, Γ & ipſos A, B metietur, & [per cor. 2. 7.] ipſorum A, B maximam communem menſuram, videlicet Δ, metietur. metitur autem & ipſum Γ: ergo ipſos Δ, Γ numerus aliquis metietur; ideoque Δ, Γ non ſunt inter ſe primi. ſumatur ipſorum maxima communis menſura E. & quoniam E ipſum Δ metitur, & Δ metitur ipſos A, B, & E ipſos A, B metietur. metitur autem & Γ; ergo & ipſos A, B, Γ metietur: eritque E ipſorum A, B, Γ communis menſura. dico & maximam eſſe. ſi enim E non eſt ipſorum A, B, Γ maxima communis menſura, metietur A, B, Γ numeros numerus aliquis major ipſo E. metiatur, ſitque Z. & quoniam Z metitur numeros A, B, Γ; & ipſos A, B & ipſorum A, B maximam communem menſuram metietur. ſed ipſorum A, B maxima communis menſura eſt Δ: ergo Z ipſum Δ metitur. metitur autem & ipſum Γ: quare Z & ipſos Δ, Γ; & igitur ipſorum Δ, Γ maximam communem menſuram metietur. ſed ipſorum Γ, Δ maxima communis menſura eſt E: ergo Z ipſum E metitur, major minorem, quod fieri non poteſt: non igitur A, B, Γ numeros numerus aliquis major ipſo E metietur; ergo E ipſorum A, B, Γ maxima eſt communis menſura.



Tribus igitur numeris datis non primis inter ſe, eorum maxima communis menſura inventa eſt. quod erat faciendum.

Corollarium.

Ex his manifeſtum eſt, ſi numerus numeros tres metiatur, & ipſorum maximam communem menſuram metiri.

Eodem modo & pluribus numeris datis, maximam communem menſuram inveniemus.

Τριῶν ἄρα ἀριθμῶν δοθέντων μὴ πρώτων πρὸς ἀλλήλους, εὕρηται τὸ μέγιστον κοινὸν μέτρον. ὅπερ ἔδει ποιῆσαι.

Πόρισμα.

Ἐκ δὴ τούτων φανερὸν, ὅτι ἐὰν ἀριθμὸς ἀριθμοὺς τρεῖς μετρῇ, καὶ τὸν μέγιστον αὐτῶν κοινὸν μέτρον μετρήσει.

Τὸν αὐτὸν δὲ τρόπον καὶ πλειόνων ἀριθμῶν δοθέντων, τὸ μέγιστον κοινὸν μέτρον εὑρήσομεν.

Prop. IV. Theor.

Omnis numerus omnis numeri, minor majoris, vel pars eſt vel partes.

ΠΡΟΤΑΣΙΣ δ'.

Πᾶς ἀριθμὸς παντὸς ἀριθμοῦ, ὁ ἐλάσσων τοῦ μείζονος, ἤτοι μέρος ἐστὶν ἢ μέρη.

SInt duo numeri A, BΓ, quorum BΓ ſit minor: dico BΓ ipſius A vel partem eſſe vel partes.

Numeri enim A, BΓ vel primi ſunt inter ſe, vel non. ſint prius inter ſe primi, & diviſo BΓ in unitates, quæ in ipſo ſunt, erit [per 1. & 2. def. 7.] unaquæque unitas earum quæ in BΓ pars aliqua ipſius A: ergo BΓ ipſius A partes eſt.

A . . . . . .
B . . . . . Γ

Sed non ſint A, BΓ inter ſe primi: itaque BΓ vel ipſum A metitur vel non. &, ſiquidem metitur, erit BΓ pars ipſius A.

A . . . . . .
B . . . . Γ

Si vero non. ſumatur [per 2. 7.] ipſorum A, BΓ maxima communis menſura Δ; & dividatur BΓ in numeros ipſi Δ æquales BE, EZ, ZΓ. quoniam igitur Δ numerum A metitur, erit Δ pars ipſius A. æqualis autem eſt Δ unicuique ipſorum BE, EZ, ZΓ: ergo & unuſquiſque ipſorum BE, EZ, ZΓ pars eſt ipſius A: ac propterea BΓ ipſius A partes eſt.

A . . . . . .
B . . Ε . . Z . . Γ
Δ . .

Omnis igitur numerus omnis numeri, minor majoris, vel pars eſt vel partes. quod erat demonſtrandum.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ A, BΓ, ὧν ἔλασσων ὁ BΓ· λέγω ὅτι ὁ BΓ τοῦ A ἤτοι μέρος ἐστὶν ἢ μέρη.

Οἱ A, BΓ πρότερον γὰρ ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν, ἢ οὔ. ἔστωσαν πρῶτοι πρὸς ἀλλήλους, διῃρήσθω δὴ τοῦ BΓ εἰς τὰς ἐν αὐτῷ μονάδας, ἔσται ἑκάστη μονὰς τῶν ἐν τῷ BΓ μέρος τι τοῦ A· ὥστε μέρη ἐστὶν ὁ BΓ τοῦ A.

Μὴ ἔστωσαν δὴ πρῶτοι πρὸς ἀλλήλους οἱ A, BΓ· ὁ δὴ BΓ τὸν A ἤτοι μετρεῖ, ἢ οὔ μετρεῖ. εἰ μὲν οὖν ὁ BΓ τὸν A μετρεῖ, μέρος ἐστὶν ὁ BΓ τοῦ A.

Εἰ δὲ οὔ. εἰλήφθω τῶν A, BΓ μέγιστον κοινὸν μέτρον ὁ Δ, καὶ διῃρήσθω ὁ BΓ εἰς τὰς τῷ Δ ἴσας, τὰς BE, EZ, ZΓ. καὶ ἐπεὶ ὁ Δ τὸν A μετρεῖ, μέρος ἐστὶν ὁ Δ τοῦ A. ἴσος δὲ ὁ Δ ἑκατέρᾳ τῶν BE, EZ· ἑκάστη ἄρα τῶν BE, EZ, ZΓ τοῦ A μέρος ἐστί· ὥστε μέρη ἐστὶν ὁ BΓ τοῦ A.

Πᾶς ἄρα ἀριθμὸς παντὸς ἀριθμοῦ, ὁ ἐλάσσων τοῦ μείζονος, ἤτοι μέρος ἐστὶν ἢ μέρη. ὅπερ ἔδει δεῖξαι.

Prop. V. Theor.

Si numerus numeri pars fuerit, & alter alterius eadem pars; & uterque utriuſque eadem pars erit, quæ unus unius.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου τὸ αὐτὸ μέρος· καὶ συναμφότερος συναμφοτέρου τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ εἷς τοῦ ἑνός.

NUmerus A numeri BΓ pars ſit, & alter Δ alterius EZ eadem pars quæ eſt A ipſius BΓ: dico & utrumque A, Δ utriuſque BΓ, EZ eandem partem eſſe, quæ eſt A ipſius BΓ.

Quoniam enim quæ pars eſt A ipſius BΓ eadem eſt & Δ ipſius EZ, quot numeri ſunt in BΓ æquales ipſi A tot erunt & in EZ numeri æquales ipſi Δ. dividatur BΓ quidem in numeros æquales ipſi A, videlicet in BH, HΓ; EZ vero dividatur in numeros ipſi Δ æquales, hoc eſt EΘ, ΘZ; erit utique æqualis multitudo numerorum BH, HΓ multitudini ipſorum EΘ, ΘZ. & quoniam æqualis eſt BH ipſi A, & EΘ ipſi Δ; erunt BH, EΘ ipſis A, Δ,

A . . .
B . . . H . . . Γ
Δ . . . .
E . . . . Θ . . . . Z

Ἀριθμὸς γὰρ ὁ A ἀριθμοῦ τοῦ BΓ μέρος ἔστω, καὶ ἕτερος ὁ Δ ἑτέρου τοῦ EZ τὸ αὐτὸ μέρος, ὅπερ ὁ A τοῦ BΓ· λέγω ὅτι καὶ συναμφότερος ὁ A, Δ συναμφοτέρου τοῦ BΓ, EZ τὸ αὐτὸ μέρος ἐστὶν ὅπερ ὁ A τοῦ BΓ.

Ἐπεὶ γὰρ ὁ μέρος ἐστὶν ὁ A τοῦ BΓ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Δ τοῦ EZ· ὅσοι ἄρα ἀριθμοί εἰσιν ἐν τῷ BΓ ἴσοι τῷ A, τοσοῦτοί εἰσι καὶ ἐν τῷ EZ ἀριθμοὶ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν BΓ εἰς τὰς τῷ A ἴσας τὰς BH, HΓ· ὁ δὲ EZ εἰς τὰς τῷ Δ ἴσας τὰς EΘ, ΘZ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν BH, HΓ τῷ πλήθει τῶν EΘ, ΘZ. καὶ ἐπεὶ ἴσος ἐστὶν ὁ μὲν BH τῷ A, ὁ δὲ EΘ τῷ Δ· ὁ BH ἄρα καὶ EΘ τοῖς A, Δ

ἴσοι

ἴσοι εἰσί. καὶ ἀλλὰ πάντα ὁ ΗΓ τῷ Α ἴσος ἐστὶ, καὶ ὁ ΘΖ τῷ Δ· καὶ αἱ ΗΓ, ΘΖ ἄρα ταῖς Α, Δ ἴσοι εἰσίν· ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοί εἰσι καὶ ἐν ταῖς ΒΓ, ΕΖ ἴσοι ταῖς Α, Δ· ὁσαπλάσιον ἄρα ἐστὶν ὁ ΒΓ τοῦ Α, τοσουταπλάσιον ἐστὶ καὶ συναμφότερος ὁ ΒΓ, ΕΖ συναμφοτέρου τοῦ Α, Δ· ὁ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ Α, Δ συναμφοτέρου τοῦ ΒΓ, ΕΖ. ὅπερ ἔδει δεῖξαι.

æquales. & eadem ratione cum ΗΓ ſit æqualis ipſi Α, & ΘΖ ipſi Δ; & ΗΓ, ΘΖ ipſis Α, Δ æquales erunt: quot igitur numeri ſunt in ΒΓ, æquales ipſi Α tot ſunt & in ΒΓ, ΕΖ æquales ipſis Α, Δ: ergo quotuplex eſt ΒΓ ipſius Α totuplex erit & uterque ΒΓ, ΕΖ utriuſque Α, Δ: quæ igitur pars eſt Α ipſius ΒΓ, eadem pars erit & uterque Α, Δ utriuſque ΒΓ, ΕΖ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη, ᾖ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη ᾖ· καὶ συναμφότερος συναμφοτέρου τὰ αὐτὰ μέρη ἔσται, ἅπερ ὁ εἷς τοῦ ἑνός.

PROP. VI. THEOR.

Si numerus numeri partes fuerit, & alter alterius eædem partes; & uterque utriuſque eædem partes erit, quæ unus unius.

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ Γ μέρη ἔστω, καὶ ἕτερος ὁ ΔΕ ἑτέρου τοῦ Ζ τὰ αὐτὰ μέρη ἅπερ ὁ ΑΒ τοῦ Γ· λέγω ὅτι καὶ συναμφότερος ὁ ΑΒ, ΔΕ συναμφοτέρου τοῦ Γ, Ζ τὰ αὐτὰ μέρη ἐστὶν, ἅπερ ὁ ΑΒ τοῦ Γ.

Ἐπεὶ γὰρ ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ ΔΕ τοῦ Ζ· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μέρη τοῦ Γ τοσαῦτά ἐστι καὶ ἐν τῷ ΔΕ μέρη τοῦ Ζ. διῃρήσθω ὁ μὲν ΑΒ εἰς τὰ τοῦ Γ μέρη τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ τοῦ Ζ μέρη τὰ ΔΘ, ΘΕ.

Ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΒ τῷ πλήθει τῶν ΔΘ, ΘΕ. καὶ ἐπεὶ ὁ μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΔΘ τοῦ Ζ· ὁ ἄρα μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ αὐτὸ τὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΑΗ, ΔΘ συναμφοτέρου τοῦ Γ, Ζ. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ μέρος ἐστὶν ὁ ΗΒ τοῦ Γ τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΗΒ, ΘΕ συναμφοτέρου τοῦ Γ, Ζ· ἃ ἄρα μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ τὰ αὐτὰ μέρη ἐστὶ καὶ συναμφότερος ὁ ΑΒ, ΔΕ συναμφοτέρου τοῦ Γ, Ζ. ὅπερ ἔδει δεῖξαι.

Numerus enim ΑΒ numeri Γ partes ſit, & alter ΔΒ alterius Ζ eædem partes quæ ΑΒ ipſius Γ: dico & utrumque ΑΒ, ΔΕ utriuſque Γ, Ζ eaſdem partes eſſe, quæ ΑΒ ipſius Γ.



Quoniam enim quæ partes eſt ΑΒ ipſius Γ eædem eſt ΔΕ ipſius Ζ, quot ſunt in ΑΒ partes ipſius Γ tot erunt & in ΔΕ partes ipſius Ζ. dividatur ΑΒ quidem in partes ipſius Γ, videlicet ΑΗ, ΗΒ; ΔΕ vero dividatur in in partes ipſius Ζ, hoc eſt ΔΘ, ΘΕ.

Erit ipſorum ΑΗ, ΗΒ multitudo æqualis multitudini ipſorum ΔΘ, ΘΕ. & quoniam quæ pars eſt ΑΗ ipſius Γ eadem eſt pars & ΔΘ ipſius Ζ, quæ pars eſt ΑΗ ipſius Γ eadem pars erit [per 5.7.] & uterque ΑΗ, ΔΘ utriuſque Γ, Ζ. ſimili ratione & quæ pars eſt ΗΒ ipſius Γ eadem pars erit & uterque ΗΒ, ΘΕ utriuſque Γ, Ζ: quæ igitur partes eſt ΑΒ ipſius Γ eædem partes eſt & uterque ΑΒ, ΔΕ utriuſque Γ, Ζ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, ὅπερ ἀφαιρεθεὶς ἀφαιρεθέντος· καὶ ὁ λοιπὸς τοῦ λοιποῦ τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ ὅλος τοῦ ὅλου.

PROP. VII. THEOR.

Si numerus numeri fuerit pars, quæ ablatus ablati; & reliquus reliqui eadem pars erit, quæ totus totius.

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ ΓΔ μέρος ἔστω, ὅπερ ἀφαιρεθεὶς ὁ ΑΕ ἀφαιρεθέντος τοῦ ΓΖ· λέγω ὅτι καὶ ὁ λοιπὸς ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστὶν, ὅπερ ὁ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ.

Ὁ γὰρ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ τὸ αὐτὸ μέρος ἔστω καὶ ὁ ΕΒ τοῦ ΓΗ. καὶ ἐπεὶ ὁ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΕΒ τοῦ ΓΗ· ὁ ἄρα μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΗΖ, ὁ δὲ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ τὸ αὐτὸ μέρος ὑπόκειται καὶ ὁ ΑΒ τοῦ ΓΔ· ὁ ἄρα μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΗΖ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΓΔ· ὁ ΑΒ ἄρα ἑκατέρου τῶν ΗΖ, ΓΔ τὸ αὐτὸ μέρος ἐστίν· ἴσος ἄρα ἐστὶν ὁ ΗΖ τῷ ΓΔ. κοινὸς ἀφῃρήσθω ὁ ΓΖ· λοιπὸς ἄρα ὁ ΗΓ λοιπῷ τῷ ΖΔ ἴσος ἐστί. καὶ ἐπεὶ ὁ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΕΒ τοῦ ΗΓ, ἴσος

Numerus enim ΑΒ numeri ΓΔ pars ſit, quæ ablatus ΑΕ ablati ΓΖ: dico & reliquum ΕΒ reliqui ΖΔ eandem partem eſſe, quæ eſt totus ΑΒ totius ΓΔ.

Quæ enim pars eſt ΑΕ ipſius ΓΖ eadem pars ſit & ΕΒ ipſius ΓΗ. & quoniam quæ pars eſt ΑΕ ipſius ΓΖ eadem pars eſt & ΕΒ ipſius ΓΗ; quæ pars eſt ΑΕ ipſius ΓΖ eadem pars eſt [per 5.7.] & ΑΒ ipſius ΗΖ. quæ autem pars eſt ΑΕ ipſius ΓΖ eadem pars ponitur & ΑΒ ipſius ΓΔ: quæ igitur pars eſt ΑΒ ipſius ΗΖ eadem eſt & ΑΒ ipſius ΓΖ: quare ΑΒ utriuſque ΗΖ, ΓΔ eadem eſt pars: æqualis igitur eſt ΗΖ ipſi ΓΔ. communis auferatur ΓΖ: ergo reliquus ΗΓ reliquo ΖΔ eſt æqualis. & quoniam quæ pars eſt ΑΕ ipſius ΓΖ eadem eſt & ΕΒ ipſius ΗΓ; æqualis



autem est HΓ ipsi ZΔ, quæ pars est AE ipsius ΓZ eadem erit & EB ipsius ZΔ. sed quæ pars est AE ipsius ΓZ eadem est [ex hyp.] & AB ipsius ΓΔ: ergo quæ pars est EB ipsius ZΔ eadem est & AB ipsius ΓΔ: & reliquus igitur EB reliqui ZΔ eadem pars erit quæ totus AB totius ΓΔ. quod erat demonstrandum.



δὲ ὁ ΗΓ τοῦ ΖΔ· ὁ ἄρα μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΕΒ τοῦ ΖΔ. ἀλλὰ ὁ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΓΔ· ὁ ἄρα μέρος ἐστὶν ὁ ΕΒ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΓΔ· καὶ λοιπὸς ἄρα ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστὶν ὅπερ ὁ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ. ὅπερ ἔδει δεῖξαι.

Prop. VIII. Theor.

Si numerus numeri fuerit partes, quæ ablatus ablati; & reliquus reliqui eædem partes erit, quæ totus totius.

NUmerus enim AB numeri ΓΔ sit partes, quæ ablatus AE ablati ΓZ: dico & reliquum EB reliqui ZΔ easdem partes esse, quæ totus AB totius ΓΔ.

Ponatur enim ipsi AB æqualis HΘ: quæ igitur partes est HΘ ipsius ΓΔ eædem est & AE ipsius ΓZ. dividatur HΘ quidem in partes ipsius ΓΔ, videlicet HK, KΘ; AE vero dividatur in partes ipsius ΓZ, videlicet AΛ, ΛE: erit igitur ipsarum HK, KΘ multitudo æqualis multitudini ipsarum AΛ, ΛE.



& quoniam quæ pars est HK ipsius ΓΔ eadem est & AΛ ipsius ΓZ, major autem ΓΔ quam ΓZ; & HK quam AΛ est major. ponatur ipsi AΛ æqualis HM: quæ igitur pars est HK ipsius ΓΔ eadem est & HM ipsius ΓZ: quare [per 7. 7.] & reliquus MK reliqui ZΔ eadem pars est quæ totus HK totius ΓΔ. rursus quoniam quæ pars est KΘ ipsius ΓΔ eadem est & ΛB ipsius ΓZ. major autem ΓΔ quam ΓZ: erit & KΘ quam ΛE major. ponatur ipsi ΛE æqualis KN: quæ igitur pars est KΘ ipsius ΓΔ eadem est & KN ipsius ΓZ: ergo & reliquus NΘ reliqui ZΔ eadem pars est quæ totus KΘ totius ΓΔ. ostensum autem est & reliquum MK reliqui ZΔ eandem partem esse quæ totus HK totius ΔΓ: & uterque igitur simul MK, NΘ ipsius ΔZ eædem partes est quæ totus ΘH totius ΔΓ. æqualis autem est uterque simul MK, NΘ ipsi EB; ΘH vero ipsi BA: & reliquus igitur EB reliqui ZΔ eædem partes est quæ totus AB totius ΓΔ. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, ἅπερ ἀφαιρεθεὶς ἀφαιρεθέντος· καὶ ὁ λοιπὸς τοῦ λοιποῦ τὰ αὐτὰ μέρη ἔσται, ἅπερ ὁ ὅλος τοῦ ὅλου.

ΑΡιθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ ΓΔ μέρη ἔστω, ἅπερ ἀφαιρεθεὶς ὁ ΑΕ ἀφαιρεθέντος τοῦ ΓΖ· λέγω ὅτι καὶ λοιπὸς ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ.

Κείσθω γὰρ τῷ ΑΒ ἴσος ὁ ΗΘ· ἃ ἄρα μέρη ἐστὶν ὁ ΗΘ τοῦ ΓΔ τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ ΑΕ τοῦ ΓΖ. διῃρήσθω ὁ μὲν ΗΘ εἰς τὰ τοῦ ΓΔ μέρη τὰ ΗΚ, ΚΘ, ὁ δὲ ΑΕ εἰς τὰ τοῦ ΓΖ μέρη τὰ ΑΛ, ΛΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΗΚ, ΚΘ τῷ πλήθει τῶν ΑΛ, ΛΕ. καὶ ἐπεὶ ὁ μέρος ἐστὶν ὁ ΗΚ τοῦ ΓΔ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΛ τοῦ ΓΖ, μείζων δὲ ὁ ΓΔ τοῦ ΓΖ· μείζων ἄρα καὶ ὁ ΗΚ τοῦ ΑΛ. κείσθω τῷ ΑΛ ἴσος ὁ ΗΜ· ὁ ἄρα μέρος ἐστὶν ὁ ΗΚ τοῦ ΓΔ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΗΜ τοῦ ΓΖ· καὶ λοιπὸς ἄρα ὁ ΜΚ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστὶν ὅπερ ὅλος ὁ ΗΚ ὅλου τοῦ ΓΔ. πάλιν, ἐπεὶ ὁ μέρος ἐστὶν ὁ ΚΘ τοῦ ΓΔ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΛΕ τοῦ ΓΖ. μείζων δὲ ὁ ΓΔ τοῦ ΓΖ· μείζων ἄρα καὶ ὁ ΚΘ τοῦ ΛΕ. κείσθω ἴσος τῷ ΛΕ ὁ ΚΝ· ὁ ἄρα μέρος ἐστὶν ὁ ΚΘ τοῦ ΓΔ τὸ αὐτὸ μέρος καὶ ὁ ΚΝ τοῦ ΓΖ· καὶ λοιπὸς ἄρα ὁ ΝΘ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστὶν ὅπερ ὅλος ὁ ΚΘ ὅλου τοῦ ΓΔ. ἐδείχθη δὲ καὶ ὁ λοιπὸς ὁ ΜΚ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ὢν ὅπερ ὅλος ὁ ΗΚ ὅλου τοῦ ΔΓ· συναμφότερος ἄρα ὁ ΜΚ, ΝΘ τοῦ ΔΖ τὰ αὐτὰ μέρη ἐστὶν ἅπερ ὅλος ὁ ΘΗ ὅλου τοῦ ΔΓ. ἴσος δὲ συναμφότερος μὲν ὁ ΜΚ, ΝΘ τῷ ΕΒ, ὁ δὲ ΘΗ τῷ ΒΑ· καὶ λοιπὸς ἄρα ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὰ αὐτὰ μέρη ἐστὶν ἅπερ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ. ὅπερ ἔδει δεῖξαι.

Prop. IX. Theor.

Si numerus numeri pars fuerit, & alter alterius eadem pars; & permutando quæ pars est vel partes primus tertii, eadem erit pars vel eædem partes & secundus quarti.

NUmerus enim A numeri BΓ pars sit, & alter Δ alterius EZ eadem pars quæ A

ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου τὸ αὐτὸ μέρος· καὶ ἐναλλὰξ ὁ μέρος ἐστὶν ἢ μέρη ὁ πρῶτος τοῦ τρίτου, τὸ αὐτὸ μέρος ἔσται ἢ τὰ αὐτὰ μέρη καὶ ὁ δεύτερος τοῦ τετάρτου.

ΑΡιθμὸς γὰρ ὁ Α ἀριθμοῦ τοῦ ΒΓ μέρος ἔστω, καὶ ἕτερος ὁ Δ ἑτέρου τοῦ ΕΖ τὸ αὐτὸ μέρος ὅπερ ὁ

Α τοῦ

Α τῦ ΒΓ, ἐλάσσων δὲ ἔστω ὁ Α τῦ Δ· λέγω ὅτι καὶ ἐναλλὰξ ὁ μέρος ἐστὶν ὁ Α τοῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΒΓ τῦ ΕΖ ἢ μέρη.

Ἐπεὶ γὰρ ὁ μέρος ἐστὶν ὁ Α τῦ ΒΓ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Δ τῦ ΕΖ· ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α τοσοῦτοί εἰσι καὶ ἐν τῷ ΕΖ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν ΒΓ εἰς τοὺς τῷ Α ἴσους τοὺς ΒΗ, ΗΓ, ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΘ, ΘΖ, ἔσον ἔσται δὴ τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ.

Καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΒΗ, ΗΓ ἀριθμοὶ ἀλλήλοις, εἰσὶ δὲ καὶ οἱ ΕΘ, ΘΖ ἀριθμοὶ ἴσοι ἀλλήλοις, καὶ ἔστιν ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ· ὁ ἄρα μέρος ἐστὶν ὁ ΒΗ τοῦ ΕΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΗΓ τῦ ΘΖ ἢ τὰ αὐτὰ μέρη· ὥστε καὶ ὁ μέρος ἐστὶν ὁ ΒΗ τῦ ΕΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΒΓ συναμφοτέρου τῦ ΕΖ ἢ τὰ αὐτὰ μέρη. ἴσος δὲ ὁ μὲν ΒΗ τῷ Α, ὁ δὲ ΕΘ τῷ Δ· ὁ ἄρα μέρος ἐστὶν ὁ Α τῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΒΓ τῦ ΕΖ ἢ τὰ αὐτὰ μέρη. ὅπερ ἔδει δεῖξαι.

ipſius ΒΓ, minor autem ſit Α quam Δ: dico & permutando quæ pars eſt Α ipſius Δ vel partes, eandem partem eſſe & ΒΓ ipſius ΕΖ vel eaſdem partes.

Quoniam enim quæ pars eſt Α ipſius ΒΓ eadem eſt & Δ ipſius ΕΖ; quot numeri ſunt in ΒΓ æquales ipſi Α tot ſunt & in ΕΖ æquales ipſi Δ. dividatur ΒΓ quidem in numeros ipſi Α æquales, videlicet in ΒΗ, ΗΓ: ΕΖ vero dividatur in numeros ipſi Δ æquales, ΕΘ, ΘΖ; erit ipſorum ΒΗ, ΗΓ multitudo æqualis multitudini ipſorum ΕΘ, ΘΖ.

Α . . . .
Β . . . . Η . . . . Γ
Δ . . . . .
Ε . . . . . Θ . . . . . Ζ

Et quoniam numeri ΒΗ, ΗΓ inter ſe ſunt æquales, ſunt autem & æquales ΕΘ, ΘΖ; atque eſt ipſorum ΒΗ, ΗΓ multitudo æqualis multitudini ipſorum ΕΘ, ΘΖ: quæ pars eſt ΒΗ ipſius ΕΘ vel partes, eadem pars erit & ΗΓ ipſius ΘΖ vel eædem partes: ergo [per 5. & 6. 7.] quæ pars eſt ΒΗ ipſius ΕΘ vel partes, eadem pars erit & uterque ΒΓ utriuſque ΕΖ vel eædem partes. æqualis autem eſt ΒΗ ipſi Α, & ΕΘ ipſi Δ: quæ igitur pars eſt Α ipſius Δ vel partes, eadem pars erit & ΒΓ ipſius ΕΖ vel eædem partes. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ι'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη· καὶ ἐναλλὰξ ὁ μέρη ἐστὶν ὁ πρῶτος τοῦ τρίτου ἢ μέρος, τὰ αὐτὰ μέρη ἔσται καὶ ὁ δεύτερος τοῦ τετάρτου ἢ μέρος.

Prop. X. Probl.

Si numerus numeri partes fuerit, & alter alterius eædem partes: & permutando quæ partes eſt primus tertii vel pars, eædem partes erit & ſecundus quarti vel eadem pars.

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ Γ μέρη ἔστω, καὶ ἕτερος ὁ ΔΕ ἑτέρου τοῦ Ζ τὰ αὐτὰ μέρη, ἔστω δὲ ὁ ΑΒ τοῦ ΔΕ ἐλάσσων· λέγω ὅτι καὶ ἐναλλὰξ ὁ μέρη ἐστὶν ὁ ΑΒ τοῦ ΔΕ ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ μέρος.

Ἐπεὶ γὰρ ὁ μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ ΔΕ τοῦ Ζ· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μέρη τοῦ Γ τοσαῦτα καὶ ἐν τῷ ΔΕ μέρη τοῦ Ζ. διῃρήσθω ὁ μὲν ΑΒ εἰς τὰ τοῦ Γ μέρη τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ τοῦ Ζ μέρη τὰ ΔΘ, ΘΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΒ τῷ πλήθει τῶν ΔΘ, ΘΕ. καὶ ἐπεὶ ὁ μέρος ἐστὶν ὁ ΑΗ τῷ Γ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΔΘ τοῦ Ζ, καὶ ἐναλλὰξ ὁ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ μέρος ἐστὶν ὁ ΗΒ τῷ ΘΕ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη· ὥστε καὶ ὁ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΔΕ ἢ τὰ αὐτὰ μέρη. ἀλλ' ὁ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη, καὶ ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ ΔΕ ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὸ αὐτὸ μέρος. ὅπερ ἔδει δεῖξαι.

Numerus enim ΑΒ numeri Γ partes ſit, & alter ΔΕ alterius Ζ eædem partes; ſit autem ΑΒ minor quam ΔΕ: dico & permutando quæ partes eſt ΑΒ ipſius ΔΕ vel pars, eaſdem partes eſſe & Γ ipſius Ζ vel eandem partem.

Quoniam enim quæ partes eſt ΑΒ ipſius Γ eædem partes eſt & ΔΕ ipſius Ζ, quot ſunt in ΑΒ partes ipſius Γ tot erunt & in ΔΕ partes ipſius Ζ, dividatur ΑΒ quidem in partes ipſius Γ, videlicet ΑΗ, ΗΒ; ΔΕ vero dividatur in partes ipſius Ζ, hoc eſt ΔΘ, ΘΕ: erit utique ipſarum ΑΗ, ΗΒ multitudo multitudini ipſarum ΔΘ, ΘΕ æqualis. & quoniam quæ pars eſt ΑΗ ipſius Γ eadem pars eſt & ΔΘ ipſius Ζ, & permutando [per 9. 7.] quæ pars eſt ΑΗ ipſius ΔΘ vel partes, eadem pars erit & Γ ipſius Ζ vel eædem partes. ſimili ratione & quæ pars eſt ΗΒ ipſius ΘΕ vel partes, eadem pars erit & Γ ipſius Ζ vel eædem partes: ergo [per 5. & 6. 7.] quæ pars eſt ΑΗ ipſius ΔΘ vel partes, eadem pars erit & ΑΒ ipſius ΔΕ vel eædem partes. ſed quæ pars eſt ΑΗ ipſius ΔΘ vel partes, eadem pars eſt & Γ ipſius Ζ vel eædem partes: & igitur quæ partes eſt ΑΒ ipſius ΔΕ vel pars, eædem partes eſt & Γ ipſius Ζ vel eadem pars. quod erat demonſtrandum.

Α . . H . . Β
Γ . . . . . .
Δ . . . . . Θ . . . . . Ε
Ζ . . . . . .

PROP. XI. THEOR.

Si fuerit ut totus ad totum ita ablatus ad ablatum; & reliquus ad reliquum erit ut totus ad totum.

SIT ut totus AB ad totum ΓΔ ita ablatus AE ad ablatum ΓZ: dico & reliquum EB ad reliquum ZΔ ita esse ut totus AB ad totum ΓΔ.

Quoniam enim est ut AB ad ΓΔ ita AE ad ΓZ: [per 20. def. 7.] quæ pars est AB ipsius ΓΔ vel partes, eadem pars erit & AB ipsius ΓZ vel eædem partes: ergo [per 7. & 8. 7.] & reliquus EB reliqui ZΔ eadem pars erit vel eædem partes quæ AB ipsius ΓΔ: est igitur [per 20. def. 7.] ut EB ad ZΔ ita AB ad ΓΔ. quod erat demonstrandum.

A....E..B
Γ.....Z...Δ

ΠΡΟΤΑΣΙΣ ια'.

Ἐὰν ᾖ ὡς ὅλος πρὸς ὅλον οὕτως ἀφαιρεθεὶς πρὸς ἀφαιρεθέντα· καὶ ὁ λοιπὸς πρὸς τὸν λοιπὸν ἔσται ὡς ὅλος πρὸς ὅλον.

Ἔστω ὡς ὅλος ὁ ΑΒ πρὸς ὅλον τὸν ΓΔ οὕτως ἀφαιρεθεὶς ὁ ΑΕ πρὸς ἀφαιρεθέντα τὸν ΓΖ· λέγω ὅτι καὶ λοιπὸς ὁ ΕΒ πρὸς λοιπὸν τὸν ΖΔ ἐστὶν ὡς ὅλος ὁ ΑΒ πρὸς ὅλον τὸν ΓΔ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ ΑΒ πρὸς τὸν ΓΔ οὕτως ὁ ΑΕ πρὸς τὸν ΓΖ· ὁ ἄρα μέρος ἐστὶν ὁ ΑΒ τοῦ ΓΔ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΕ τοῦ ΓΖ ἢ τὰ αὐτὰ μέρη· καὶ λοιπὸς ἄρα ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστὶν ἢ μέρη, ἅπερ ΑΒ τοῦ ΓΔ· ἔστιν ἄρα ὡς ὁ ΕΒ πρὸς τὸν ΖΔ οὕτως ὁ ΑΒ πρὸς τὸν ΓΔ. ὅπερ ἔδει δεῖξαι.

PROP. XII. THEOR.

Si quotcunque numeri proportionales fuerint; ut unus antecedentium ad unum consequentium, ita erunt omnes antecedentes ad omnes consequentes.

SInt quotcunque numeri proportionales, A, B, Γ, Δ; sitque ut A ad B ita Γ ad Δ: dico ut A ad B ita esse A, Γ ad B, Δ.

Quoniam enim est ut A ad B ita Γ ad Δ; [per 20. def. 7.] quæ pars est A ipsius B vel partes, eadem pars erit & Γ ipsius Δ vel partes: & igitur [per 5. & 6. 7.] uterque A, Γ utriusque B, Δ eadem pars est vel partes, quæ A ipsius B: ergo [per 20. def. 7.] ut A ad B ita est A, Γ ad B, Δ. quod erat demonstrandum.

A....Γ....
B...Δ.....

ΠΡΟΤΑΣΙΣ ιβ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον· ἔσται ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β οὕτως οἱ Α, Γ πρὸς τοὺς Β, Δ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Δ· ὁ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Β ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ μέρη· καὶ συναμφότερος ἄρα ὁ Α, Γ συναμφοτέρου τοῦ Β, Δ τὸ αὐτὸ μέρος ἐστὶν ἢ τὰ αὐτὰ μέρη, ἅπερ ὁ Α τοῦ Β· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως οἱ Α, Γ πρὸς τοὺς Β, Δ. ὅπερ ἔδει δεῖξαι.

PROP. XIII. THEOR.

Si quatuor numeri proportionales fuerint; & permutando proportionales erunt.

SInt quatuor numeri proportionales A, B, Γ, Δ, sitque ut A ad B ita Γ ad Δ: dico & permutando proportionales esse, videlicet ut A ad Γ ita esse B ad Δ.

Quoniam enim est ut A ad B ita Γ ad Δ, quæ pars est A ipsius B vel partes [per 20. def. 7.] eadem pars erit & Γ ipsius Δ vel eædem partes: permutando igitur [per 9. & 10. 7.] quæ pars est A ipsius Γ vel partes, eadem pars est & B ipsius Δ vel partes: ergo [per 20. def. 7.] ut A ad Γ ita est B ad Δ. quod erat demonstrandum.

A...Γ.....
B...Δ.....

ΠΡΟΤΑΣΙΣ ιγ'.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσι· καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται.

Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω ὅτι καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται, ὡς ὁ Α πρὸς τὸν Γ οὕτως ὁ Β πρὸς τὸν Δ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Δ· ὁ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Β ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ τὰ αὐτὰ μέρη· ἐναλλὰξ ἄρα ὁ μέρος ἐστὶν ὁ Α τοῦ Γ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Β τοῦ Δ ἢ μέρη· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Γ οὕτως ὁ Β πρὸς τὸν Δ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ ιδ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ, καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος σύνδυο λαμβανόμενοι καὶ ἐν τῷ αὐτῷ λόγῳ· καὶ διίσου ἐν τῷ αὐτῷ λόγῳ ἔσονται.

Prop. XIV. Theor.

Si fuerint quotcunque numeri, & alii ipſis multitudine æquales, qui bini ſumantur & in eadem ratione; etiam ex æquo in eadem ratione erunt.

Ἔστωσαν γὰρ ὁποσοιοῦν ἀριθμοὶ οἱ Α, Β, Γ, καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος σύνδυο λαμβανόμενοι καὶ ἐν τῷ αὐτῷ λόγῳ, οἱ Δ, Ε, Ζ, ὡς μὲν ὁ Α πρὸς τὸν Β οὕτως ὁ Δ πρὸς τὸν Ε, ὡς δὲ ὁ Β πρὸς τὸν Γ οὕτως ὁ Ε πρὸς τὸν Ζ· λέγω ὅτι καὶ διίσου ἐστὶν ὡς ὁ Α πρὸς τὸν Γ οὕτως ὁ Δ πρὸς τὸν Ζ.

Sint enim quotcumque numeri Α, Β, Γ, & alii ipſis multitudine æquales, qui bini ſumantur & in eadem ratione, ſc. Δ, Ε, Ζ; ſitque ut Α ad Β ita Δ ad Ε, ut autem Β ad Γ ita Ε ad Ζ: dico etiam ex æquo ut Α ad Γ ita eſſe Δ ad Ζ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Δ πρὸς τὸν Ε· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Δ οὕτως ὁ Β πρὸς τὸν Ε. πάλιν, ἐπεί ἐστιν ὡς ὁ Β πρὸς τὸν Γ οὕτως ὁ Ε πρὸς τὸν Ζ· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Β πρὸς τὸν Ε οὕτως ὁ Γ πρὸς τὸν Ζ. ὡς δὲ ὁ Β πρὸς τὸν Ε οὕτως ὁ Α πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Δ οὕτως ὁ Γ πρὸς τὸν Ζ· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Γ οὕτως ὁ Δ πρὸς τὸν Ζ. ὅπερ ἔδει δεῖξαι.

Quoniam enim eſt ut Α ad Β ita Δ ad Ε; erit permutando [per 13. 7.] ut Α ad Δ ita Β ad Ε. rurſus, quoniam eſt ut Β ad Γ ita Ε ad Ζ; permutando ut Β ad Ε ita erit Γ ad Ζ. ut autem Β ad Ε ita eſt Α ad Δ: & igitur ut Α ad Δ ita Γ ad Ζ: ergo permutando ut Α ad Γ ita Δ ad Ζ. quod erat demonſtrandum.

Α . . . . . Δ . . . . . Β ita Δ ad Ε
Β . . . . . Ε . . . . [per 13. 7.] ut Α ad Δ ita Β ad
Γ . . . . Ζ . . Ε. rurſus, quoniam eſt ut Β ad

ΠΡΟΤΑΣΙΣ ιε'.

Ἐὰν μονὰς ἀριθμόν τινα μετρῇ, ἰσάκις δὲ ἕτερος ἀριθμὸς ἄλλον τινὰ ἀριθμὸν μετρῇ· καὶ ἐναλλὰξ ἰσάκις ἡ μονὰς τὸν τρίτον ἀριθμὸν μετρήσει καὶ ὁ δεύτερος τέταρτον.

Prop. XV. Theor.

Si unitas numerum aliquem metiatur, alter autem numerus æqualiter metiatur alium aliquem; & permutando unitas tertium numerum æqualiter metietur atque ſecundus quartum.

Μονὰς γὰρ ἡ Α ἀριθμόν τινα τὸν ΒΓ μετρείτω, ἰσάκις δὲ ἕτερος ἀριθμὸς ὁ Δ ἄλλον τινὰ ἀριθμὸν τὸν ΕΖ μετρείτω· λέγω ὅτι καὶ ἐναλλὰξ ἰσάκις ἡ Α μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ΒΓ τὸν ΕΖ.

Unitas enim Α numerum aliquem ΒΓ metiatur, alter autem numerus Δ æqualiter metiatur alium aliquem ΕΖ: dico & permutando unitatem Α æqualiter metiri numerum Δ atque ΒΓ ipſum ΕΖ.

Ἐπεὶ γὰρ ἰσάκις ἡ Α μονὰς τὸν ΒΓ ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν ΕΖ· ὅσαι ἄρα εἰσὶν ἐν τῷ ΒΓ μονάδες τοσοῦτοί εἰσι καὶ ἐν τῷ ΕΖ ἀριθμοὶ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν ΒΓ εἰς τὰς ἐν αὐτῷ μονάδας τὰς ΒΗ, ΗΘ, ΘΓ, ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους, τοὺς ΕΚ, ΚΛ, ΛΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΘ, ΘΓ τῷ πλήθει τῶν ΕΚ, ΚΛ, ΛΖ. καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΒΗ, ΗΘ, ΘΓ μονάδες ἀλλήλαις, εἰσὶ δὲ καὶ οἱ ΕΚ, ΚΛ, ΛΖ ἀριθμοὶ ἴσοι ἀλλήλοις, καὶ ἔστιν ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΘ, ΘΓ μονάδων τῷ πλήθει τῶν ΕΚ, ΚΛ, ΛΖ ἀριθμῶν· ἔστιν ἄρα ὡς ἡ ΒΗ μονὰς πρὸς τὸν ΕΚ ἀριθμὸν οὕτως ἡ ΗΘ μονὰς πρὸς τὸν ΚΛ ἀριθμὸν, καὶ ἡ ΘΓ μονὰς πρὸς τὸν ΛΖ ἀριθμόν. ἔσται ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ἡ ΒΗ μονὰς πρὸς τὸν ΕΚ οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ. ἴση δὲ ἡ ΒΗ μονὰς τῇ Α μονάδι, ὁ δὲ ΕΚ ἀριθμὸς τῷ Δ ἀριθμῷ· ἔστιν ἄρα ὡς ἡ Α μονὰς πρὸς τὸν Δ ἀριθμὸν οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ· ἰσάκις ἄρα ἡ Α μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ ΒΓ τὸν ΕΖ. ὅπερ ἔδει δεῖξαι.

Quoniam enim Α unitas æqualiter metitur numerum ΒΓ atque Δ ipſum ΕΖ, quot unitates ſunt in ΒΓ tot ſunt & in ΕΖ numeri æquales ipſi Δ. dividatur ΒΓ quidem in unitates quæ in ipſo ſunt, videlicet ΒΗ, ΗΘ, ΘΓ; ΕΖ vero dividatur in numeros ipſi Δ æquales ΕΚ, ΚΛ, ΛΖ: erit igitur ipſorum ΒΗ, ΗΘ ΘΓ multitudo æqualis multitudini ipſorum ΕΚ, ΚΛ, ΛΖ. & quoniam ΒΗ, ΗΘ, ΘΓ unitates inter ſe æquales ſunt, ſuntque numeri ΕΚ, ΚΛ, ΛΖ inter ſe æquales, & unitatum ΒΗ, ΗΘ, ΘΓ multitudo æqualis multitudini numerorum ΕΚ, ΚΛ, ΛΖ: erit ut ΒΗ unitas ad numerum ΕΚ ita ΗΘ unitas ad numerum ΚΛ, & unitas ΘΓ ad ΛΖ numerum. & [per 12. 7.] ut unus antecedentium ad unum conſequentium ita omnes antecedentes ad omnes conſequentes: eſt igitur ut unitas ΒΗ ad numerum ΕΚ ita ΒΓ ad ΕΖ. æqualis autem eſt ΒΗ unitas unitati Α, & ΕΚ numerus numero Δ: quare ut unitas Α ad numerum Δ ita eſt ΒΓ ad ΕΖ: igitur [per 20. def. 7.] unitas Α numerum Δ æqualiter metitur atque ΒΓ ipſum ΕΖ. quod erat demonſtrandum.

Α . Δ . .
Β . Η . Θ . Γ Ε . . Κ . . Λ . . Ζ

PROP. XVI. THEOR.

Si duo numeri ſeſe multiplicantes fecerint aliquos; facti ex ipſis inter ſe æquales erunt.

SInt duo numeri A, B, & A quidem ipſum B multiplicans faciat Γ; B vero multiplicans A faciat Δ: dico Γ ipſi Δ æqualem eſſe.

Quoniam enim A ipſum B multiplicans fecit Γ [per 15. def. 7.] metietur B ipſum Γ per unitates quæ ſunt in A. metitur autem & E unitas numerum A per unitates quæ in ipſo ſunt: igitur E unitas numerum A æqualiter metitur atque B ipſum Γ: quare permutando [per 15. 7.] unitas E numerum B æqualiter metitur atque A ipſum Γ. rurſus, quoniam B ipſum A multiplicans fecit Δ; A metietur ipſum Δ per unitates quæ ſunt in B. metitur autem & E unitas numerum B per unitates quæ in ipſo ſunt: ergo E unitas numerum B æqualiter metitur atque A ipſum Δ. ſed E unitas numerum B æqualiter metitur atque A ipſum Γ: igitur A utrumque ipſorum Γ, Δ æqualiter metitur: erit ergo Γ ipſi Δ æqualis. quod erat demonſtrandum.

E.
B...
Δ.....
Γ.....

ΠΡΟΤΑΣΙΣ ιϛ'.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινας· οἱ γενόμενοι ἐξ αὐτῶν ἴσοι ἀλλήλοις ἔσονται.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ Α, Β, καὶ ὁ μὲν Α τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω, ὁ δὲ Β τὸν Α πολλαπλασιάσας τὸν Δ ποιείτω· λέγω ὅτι ἴσος ἐστὶν ὁ Γ τῷ Δ.

Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ Β ἄρα τὸν Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Α κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Α ἀριθμὸν μετρεῖ ὁ Β τὸν Γ· ἐναλλὰξ ἄρα ἰσάκις ἡ Ε μονὰς τὸν Β ἀριθμὸν μετρεῖ ὁ Α τὸν Γ. πάλιν, ἐπεὶ ὁ Β τὸν Α πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ Α ἄρα τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Β μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Β κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Α τὸν Δ. ἰσάκις δὲ ἡ Ε μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Α τὸν Γ· ἰσάκις ἄρα ὁ Α ἑκάτερον τῶν Γ, Δ μετρεῖ· ἴσος ἄρα ἐστὶν ὁ Γ τῷ Δ. ὅπερ ἔδει δεῖξαι.

E.
B...
Γ.....
Δ.....

PROP. XVII. THEOR.

Si numerus duos numeros multiplicans fecerit aliquos: facti ex ipſis eandem rationem habebunt quam multiplicati.

NUmerus enim A duos numeros B, Γ multiplicans faciat ipſos Δ, E: dico ut B ad Γ ita eſſe Δ ad E.

Quoniam enim A ipſum B multiplicans fecit Δ, [per 15. def. 7.] metietur B ipſum Δ per unitates quæ ſunt in A. metitur autem & Z unitas numerum A per unitates quæ in ipſo ſunt: igitur Z unitas numerum A æqualiter metitur atque B ipſum Δ: ergo [per 20. def. 7.] ut Z unitas ad numerum A ita eſt B ad Δ. eadem ratione & ut Z unitas ad numerum A ita Γ ad E: & igitur ut B ad Δ ita Γ ad E; & permutando [per 13. 7.] ut B ad Γ ita Δ ad E. quod erat demonſtrandum.

Z.
A..
B...
Δ.....
Γ....
E.....

ΠΡΟΤΑΣΙΣ ιζ'.

Ἐὰν ἀριθμὸς δύο ἀριθμοὺς πολλαπλασιάσας ποιῇ τινας· οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν λόγον ἔχουσι τοῖς πολλαπλασιαθεῖσιν.

Ἀριθμὸς γὰρ ὁ Α δύο ἀριθμοὺς τοὺς Β, Γ πολλαπλασιάσας τοὺς Δ, Ε ποιείτω· λέγω ὅτι ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ οὕτως ὁ Δ πρὸς τὸν Ε.

Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ Β ἄρα τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ζ μονὰς τὸν Α ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ζ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Δ· ἔστιν ἄρα ὡς ἡ Ζ μονὰς πρὸς τὸν Α ἀριθμὸν οὕτως ὁ Β πρὸς τὸν Δ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ Ζ μονὰς πρὸς τὸν Α ἀριθμὸν οὕτως ὁ Γ πρὸς τὸν Ε· καὶ ὡς ἄρα ὁ Β πρὸς τὸν Δ οὕτως ὁ Γ πρὸς τὸν Ε· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ οὕτως ὁ Δ πρὸς τὸν Ε. ὅπερ ἔδει δεῖξαι.

PROP. XVIII. THEOR.

Si duo numeri numerum aliquem multiplicantes fecerint aliquos; facti ex ipſis eandem rationem habebunt quam multiplicantes.

DUO enim numeri A, B numerum aliquem Γ multiplicantes faciant ipſos Δ, E: dico ut A ad B ita eſſe Δ ad E.

ΠΡΟΤΑΣΙΣ ιη'.

Ἐὰν δύο ἀριθμοὶ ἀριθμόν τινα πολλαπλασιάσαντες ποιῶσί τινας· οἱ γενόμενοι ἐξ αὐτῶν καὶ αὐτὸν ἔξουσι λόγον τοῖς πολλαπλασιάσασι.

Δύο γὰρ ἀριθμοὶ οἱ Α, Β ἀριθμόν τινα τὸν Γ πολλαπλασιάσαντες τοὺς Δ, Ε ποιείτωσαν· λέγω ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Δ πρὸς τὸν Ε.

Ἐπεὶ

Επεὶ γὰρ ὁ Α τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκε· καὶ ὁ Γ ἄρα τὸν Α πολλαπλασιάσας τὸν Δ πεποίηκε. Διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν Β πολλαπλασιάσας τὸν Ε πεποίηκεν· ἀριθμὸς δὴ ὁ Γ δύο ἀριθμοὺς τοὺς Α, Β πολλαπλασιάσας τοὺς Δ, Ε πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Δ πρὸς τὸν Ε. ὅπερ ἔδει δεῖξαι.

Quoniam enim Α ipsum Γ multiplicans fecit Δ, & Γ multiplicans Α [per 16. 7.] ipsum Δ fecit. eadem ratione & Γ ipsum Β multiplicans fecit Ε: numerus igitur Γ duos numeros Α, Β multiplicans ipsos Δ, Ε fecit: est igitur [per 17.7.] ut Α ad Β ita Δ ad Ε. quod erat demonstrandum.

Α . . .
Β . . . .
Γ . .
Ε . . . . . Δ . . . . . .

ΠΡΟΤΑΣΙΣ ιθ'.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσιν, ὁ ἐκ τῶν ᾱ τετάρτου καὶ τετάρτου γινόμενος ἀριθμὸς ἴσος ἔσται τῷ ἐκ τῶν δευτέρου καὶ τρίτου γινομένῳ ἀριθμῷ· καὶ ἐὰν ὁ ἐκ τῶν ᾱ τετάρτου καὶ δευτέρου γινόμενος ἀριθμὸς ἴσος ᾖ τῷ ἐκ τῶν δευτέρου καὶ τρίτου, οἱ τέσσαρες ἀριθμοὶ ἀνάλογον ἔσονται.

Prop. XIX. Theor.

Si quatuor numeri proportionales fuerint, qui ex primo & quarto fit numerus æqualis erit ei qui fit ex secundo & tertio: & si numerus qui fit ex primo & quarto æqualis fuerit ei qui ex secundo & tertio, quatuor numeri proportionales erunt.

Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Δ, καὶ ὁ μὲν Α τὸν Δ πολλαπλασιάσας τὸν Ε ποιείτω, ὁ δὲ Β τὸν Γ πολλαπλασιάσας τὸν Ζ ποιείτω· λέγω ὅτι ἴσος ἐστὶν ὁ Ε τῷ Ζ.

Ο γὰρ Α τὸν Γ πολλαπλασιάσας τὸν Η ποιείτω. ἐπεὶ οὖν ὁ Α τὸν Γ πολλαπλασιάσας τὸν Η πεποίηκε, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ε πεποίηκεν· ἀριθμὸς δὴ ὁ Α δύο ἀριθμοὺς τοὺς Γ, Δ πολλαπλασιάσας τοὺς Η, Ε πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Η πρὸς τὸν Ε. ὡς δὲ ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β οὕτως ὁ Η πρὸς τὸν Ε. πάλιν, ἐπεὶ ὁ Α τὸν Γ πολλαπλασιάσας τὸν Η πεποίηκεν, ἀλλὰ μὴν καὶ ὁ Β τὸν Γ πολλαπλασιάσας τὸν Ζ πεποίηκε· δύο δὴ ἀριθμοὶ οἱ Α, Β ἀριθμόν τινα τὸν Γ πολλαπλασιάσαντες τοὺς Η, Ζ πεποιήκασιν· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Η πρὸς τὸν Ζ. ἀλλὰ μὴν καὶ ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Η πρὸς τὸν Ε· καὶ ὡς ἄρα ὁ Η πρὸς τὸν Ε οὕτως ὁ Η πρὸς τὸν Ζ· ὁ Η ἄρα πρὸς ἑκάτερον τῶν Ε, Ζ τὸν αὐτὸν ἔχει λόγον· ἴσος ἄρα ἐστὶν ὁ Ε τῷ Ζ.

Ἔστω δὴ πάλιν ἴσος ὁ Ε τῷ Ζ· λέγω ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Δ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ ὁ Α τοὺς Γ, Δ πολλαπλασιάσας τοὺς Η, Ε πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Η πρὸς τὸν Ε. ἴσος δὲ ὁ Ε τῷ Ζ· ἔστιν ἄρα ὡς ὁ Η πρὸς τὸν Ε οὕτως ὁ Η πρὸς τὸν Ζ. ἀλλ' ὡς μὲν ὁ Η πρὸς τὸν Ε οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Η πρὸς τὸν Ζ. ὡς δὲ ὁ Η πρὸς τὸν Ζ οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Δ. ὅπερ ἔδει δεῖξαι.

SInt quatuor numeri proportionales Α, Β, Γ, Δ; sitque ut Α ad Β ita Γ ad Δ; & Α quidem ipsum Δ multiplicans faciat Ε, Β vero multiplicans ipsum Γ faciat Ζ: dico Ε esse æqualem ipsi Ζ.

Α enim multiplicans Γ faciat Η. quoniam igitur Α ipsum quidem Γ multiplicans fecit Η, ipsum vero Δ multiplicans fecit Ε; numerus Α duos numeros Δ, Γ multiplicans fecit ipsos Η, Ε: est igitur [per 17. 7.] ut Γ ad Δ ita Η ad Ε. ut autem Γ ad Δ ita Α ad Β: quare & ut Α ad Β ita Η ad Ε. rursus, quoniam Α ipsum Γ multiplicans fecit Η; sed & Β ipsum Γ multiplicans fecit Ζ: duo numeri Α, Β numerum quendam Γ multiplicantes fecerunt ipsos Η, Ζ; igitur [per 18. 7.] ut Α ad Β ita est Η ad Ζ. sed & ut Α ad Β ita Η ad Ε: ergo & ut Η ad Ε ita est Η ad Ζ: igitur Η ad utrumque ipsorum Ε, Ζ eandem rationem habet; erit igitur Ε ipsi Ζ æqualis.

Α . . . . . .
Β . . . .
Γ . . .
Δ . .
Ε . . . . . .
Ζ . . . . . .
Η . . . . . .

Sed sit Ε æqualis ipsi Ζ: dico ut Α ad Β ita esse Γ ad Δ.

Iisdem enim constructis, quoniam Α ipsos Γ, Δ multiplicans fecit Η, Ε; erit ut Γ ad Δ ita Η ad Ε. est autem Ε ipsi Ζ æqualis: ut igitur Η ad Ε ita Η ad Ζ. sed ut Η ad Ε ita Γ ad Δ: ergo & ut Γ ad Δ ita Η ad Ζ. ut autem Η ad Ζ ita [per 18. 7.] Α ad Β: & igitur ut Α ad Β ita Γ ad Δ. quod erat demonstrandum.

PROP. XX. THEOR.

Si tres numeri proportionales fuerint, qui ab extremis fit numerus æqualis erit ei qui fit à medio: si autem qui ab extremis fit æqualis fuerit ei qui à medio, tres numeri proportionales erunt.

SInt tres numeri proportionales A, B, Γ; sitque ut A ad B ita B ad Γ: dico numerum qui fit ex A, Γ æqualem esse ei qui fit ex B.

Ponatur enim ipsi B æqualis Δ: est igitur ut A ad B ita Δ ad Γ: ergo [per 19. 7.] qui fit ex A, Γ æqualis est ei qui ex B, Δ. qui autem fit ex B, Δ est æqualis ei qui fit ex B; æqualis etenim est B ipsi Δ: qui igitur fit ex A, Γ ipsi qui fit ex B est æqualis.

A ..... B ..... Δ ..... Γ ....

SED qui fit ex A, Γ æqualis sit ei qui ex B: dico ut A ad B ita esse B ad Γ.

Quoniam enim qui ex A, Γ fit æqualis est ei qui fit ex B; qui autem fit ex B est æqualis ei qui ex B, Δ: erit [per 19. 7.] ut A ad B ita Δ ad Γ. sed B ipsi Δ est æqualis: ut igitur A ad B ita est B ad Γ. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κ'.

Ἐὰν τρεῖς ἀριθμοὶ ἀνάλογον ὦσιν, ὁ ὑπὸ τῶν ἄκρων ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ μέσου· καὶ ἐὰν ὁ ὑπὸ τῶν ἄκρων ἴσον ᾖ τῷ ἀπὸ τοῦ μέσου οἱ τρεῖς ἀριθμοὶ ἀνάλογον ἔσονται.

ΕΣτωσαν τρεῖς ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Β πρὸς τὸν Γ· λέγω ὅτι ὁ ὑπὸ τῶν Α, Γ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Β.

Κείσθω γὰρ τῷ Β ἴσος ὁ Δ· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Δ πρὸς τὸν Γ· ὁ ἄρα ὑπὸ τῶν Α, Γ ἴσος ἐστὶ τῷ ὑπὸ τῶν Β, Δ. ὁ δὲ ὑπὸ τῶν Β, Δ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Β· ἴσος γὰρ ὁ Β τῷ Δ· ὁ ἄρα ὑπὸ τῶν Α, Γ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Β.

Α ..... Β ..... Γ .... Δ .....

ΑΛΛΑ δὴ ὁ ὑπὸ τῶν Α, Γ ἴσος ἔστω τῷ ἀπὸ τοῦ Β· λέγω ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Β πρὸς τὸν Γ.

Ἐπεὶ γὰρ ὁ ὑπὸ τῶν Α, Γ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Β, ὁ δὲ ἀπὸ τοῦ Β ἴσος τῷ ὑπὸ τῶν Β, Δ· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Δ πρὸς τὸν Γ. ἴσος δὲ ὁ Β τῷ Δ· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Β πρὸς τὸν Γ. ὅπερ ἔδει δεῖξαι.

PROP. XXI. PROBL.

Minimi numeri eandem cum ipsis rationem habentium eos qui eandem habent rationem æqualiter metiuntur, major majorem & minor minorem.

SInt ΓΔ, ΕΖ enim minimi numeri eandem cum A, B rationem habentium: dico ΓΔ æqualiter metiri ipsum A atque ΕΖ ipsum B.

Numerus enim ΓΔ ipsius A non est partes. si enim fieri potest, sit ΓΔ partes ipsius A: ergo [per 20. def. 7.] ΕΖ ipsius B eædem partes erit quæ ΓΔ ipsius A: quot igitur sunt in ΓΔ partes ipsius A tot erunt & in ΕΖ partes ipsius B. dividatur ΓΔ quidem in ipsius A partes ΓΗ, ΗΔ; ΕΖ vero dividatur in ipsius B partes ΕΘ, ΘΖ: erit igitur ipsarum ΓΗ, ΗΔ multitudo æqualis multitudini ipsarum ΕΘ, ΘΖ. & quoniam ΓΗ, ΗΔ æquales inter se sunt: sunt autem & ΕΘ, ΘΖ inter se æquales; atque est ipsarum ΓΗ, ΗΔ multitudo multitudini ipsarum ΕΘ, ΘΖ æqualis: erit ut ΓΗ ad ΕΘ ita ΗΔ ad ΘΖ: erit igitur [per 12. 7.] ut unus antecedentium ad unum consequentium ita omnes antecedentes ad omnes consequentes: quare ut ΓΗ ad ΕΘ ita est ΓΔ ad ΕΖ: ac propterea ΓΗ, ΕΘ in eadem sunt ratione in qua ΓΔ, ΕΖ, minores ipsis existentes, quod fieri non potest; ponuntur enim ΓΔ, ΕΖ minimi numeri eandem quam ipsi rationem habentium: non igitur ΓΔ ipsius A partes est: ergo est pars: & ΕΖ ipsius B pars eadem est

A ..... B ..... Γ ...Η..Δ Ε..Θ.Ζ

ΠΡΟΤΑΣΙΣ κα'.

Οἱ ἐλάχιστοι ἀριθμοὶ τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις, ὁ, τε μείζων τὸν μείζονα, καὶ ὁ ἐλάττων τὸν ἐλάττονα.

ΕΣτωσαν γὰρ ἐλάχιστοι ἀριθμοὶ τὸν αὐτὸν λόγον ἔχοντες τοῖς Α, Β οἱ ΓΔ, ΕΖ· λέγω ὅτι ἰσάκις ὁ ΓΔ τὸν Α μετρεῖ καὶ ὁ ΕΖ τὸν Β.

Ο ΓΔ γὰρ τὸν Α οὐκ ἔστι μέρη. εἰ γὰρ δυνατόν, ἔστω· ὁ ΕΖ ἄρα τὸν Β τὰ αὐτὰ μέρη ἐστὶν ἅπερ ὁ ΓΔ τὸν Α· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΓΔ μέρη τοῦ Α τοσαῦτά ἐστι καὶ ἐν τῷ ΕΖ μέρη τοῦ Β. διῃρήσθω ὁ μὲν ΓΔ εἰς τὰ τοῦ Α μέρη τὰ ΓΗ, ΗΔ, ὁ δὲ ΕΖ εἰς τὰ τοῦ Β μέρη τὰ ΕΘ, ΘΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΓΗ, ΗΔ τῷ πλήθει τῶν ΕΘ, ΘΖ. καὶ ἐπεὶ οἱ ΓΗ, ΗΔ ἴσοι ἀλλήλοις εἰσίν, εἰσὶ δὲ καὶ οἱ ΕΘ, ΘΖ ἀλλήλοις ἴσοι, καί ἐστιν ἴσον πλῆθος τῶν ΓΗ, ΗΔ τῷ πλήθει τῶν ΕΘ, ΘΖ· ἔστιν ἄρα ὡς ὁ ΓΗ πρὸς τὸν ΕΘ οὕτως ὁ ΗΔ πρὸς τὸν ΘΖ· ἔστιν ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ὁ ΓΗ πρὸς τὸν ΕΘ οὕτως ὁ ΓΔ πρὸς τὸν ΕΖ· οἱ ΓΗ, ΕΘ ἄρα τοῖς ΓΔ, ΕΖ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶν, ἐλάττονες ὄντες αὐτῶν, ὅπερ ἀδύνατον· οὐκείσονται γὰρ οἱ ΓΔ, ΕΖ ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· οὐκ ἄρα μέρη ἐστὶν ὁ ΓΔ τοῦ Α· μέρος ἄρα· καὶ ὁ ΕΖ τοῦ Β αὐτὸ τὸ μέρος ἐστὶν ὅπερ ὁ ΓΔ

σ ΓΔ τῷ Α· ἰσάκις ἄρα ὁ ΓΔ τὸν Α μετρεῖ καὶ ὁ ΕΖ τὸν Β. ὅπερ ἔδει δεῖξαι.

quæ ΓΔ ipſius A: æqualiter igitur ΓΔ ipſum A metitur atque EZ ipſum B. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κϐ'.

Ἐὰν ὦσι τρεῖς ἀριθμοὶ, καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος σύνδυο λαμβανόμενοι καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἡ δὲ ταραγμένη αὐτῶν ἡ ἀναλογία· καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσονται.

Prop. XXII. Theor.

Si ſint tres numeri, & alii ipſis multitudine æquales, qui bini ſumantur & in eadem ratione; ſit autem perturbata eorum proportio: etiam ex æquo in eadem ratione erunt.

Ἔστωσαν τρεῖς ἀριθμοὶ, οἱ Α, Β, Γ, καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος συνδύο λαμβανόμενοι καὶ ἐν τῷ αὐτῷ λόγῳ, οἱ Δ, Ε, Ζ, ἔστω δὲ ἡ ταραγμένη αὐτῶν ἡ ἀναλογία, ὡς μὲν ὁ Α πρὸς τὸν Β ἕτως ὁ Ε πρὸς τὸν Ζ, ὡς δὲ ὁ Β πρὸς τὸν Γ ἕτως ὁ Δ πρὸς τὸν Ε· λέγω ὅτι καὶ δι' ἴσου ἐστὶν ὡς ὁ Α πρὸς τὸν Γ ἕτως ὁ Δ πρὸς τὸν Ζ.

Α . . . . . Β . . . . Γ . . .
Δ . . . . . Ε . . . . . Ζ . . . . . .

SInt tres numeri A, B, Γ, & alii ipſis multitudine æquales, qui bini ſumantur & in eadem ratione ſc. Δ, E, Z; ſitque perturbata eorum proportio, ut A quidem ad B ita ſit E ad Z, ut autem B ad Γ ita Δ ad E: dico etiam ex æquo ut A ad Γ ita eſſe Δ ad Z.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β ἕτως ὁ Ε πρὸς τὸν Ζ· ὁ ἄρα ἐκ τῶν Α, Ζ ἴσος ἐστὶ τῷ ἐκ τῶν Β, Ε. πάλιν, ἐπεὶ ἐστιν ὡς ὁ Β πρὸς τὸν Γ ἕτως ὁ Δ πρὸς τὸν Ε· ὁ ἄρα ἐκ τῶν Γ, Δ ἴσος ἐστὶ τῷ ἐκ τῶν Β, Ε. ἐδείχθη δὲ καὶ ὁ ἐκ τῶν Α, Ζ ἴσος τῷ ἐκ τῶν Β, Ε· καὶ ὁ ἐκ τῶν Α, Ζ ἄρα ἴσος τῷ ἐκ τῶν Γ, Δ· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Γ ἕτως ὁ Δ πρὸς τὸν Ζ. ὅπερ ἔδει δεῖξαι.

Quoniam enim eſt ut A ad B ita E ad Z; qui fit ex A, Z æqualis erit [per 19. 7.] ei qui ex B, E. rurſus, quoniam eſt ut B ad Γ ita Δ ad E; qui fit ex Γ, Δ æqualis erit ei qui ex B, E. oſtenſum autem eſt & qui fit ex A, Z æqualem eſſe ei qui ex B, E: ergo & qui fit ex A, Z æqualis eſt ei qui fit ex Γ, Δ: igitur [per 19. 7.] ut A ad Γ ita Δ ad Z. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κγ'.

Οἱ πρῶτοι πρὸς ἀλλήλους ἀριθμοὶ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Prop. XXIII. Theor.

Numeri primi inter ſe minimi ſunt omnium eandem cum ipſis rationem habentium.

Ἔστωσαν πρῶτοι πρὸς ἀλλήλους ἀριθμοὶ οἱ Α, Β· λέγω ὅτι οἱ Α, Β ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

SInt numeri A, B primi inter ſe: dico eos minimos eſſe omnium eandem cum ipſis rationem habentium.

Εἰ γὰρ μὴ εἰσιν οἱ Α, Β ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, ἔσονταί τινες τῶν Α, Β ἐλάχιστοι ἀριθμοὶ ἐν τῷ αὐτῷ λόγῳ ὄντες τοῖς Α, Β. ἔστωσαν οἱ Γ, Δ.

Si enim A, B non ſint minimi omnium eandem cum ipſis rationem habentium, erunt minimi numeri omnium eandem cum A, B rationem habentium, minores quam A, B. ſint Γ, Δ.

Ἐπεὶ οὖν οἱ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἐχοντας ἰσάκις, ὅ, τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάττων τὸν ἐλάττονα, τουτέστιν ὅ, τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ἰσάκις ἄρα ὁ Γ τὸν Α μετρεῖ καὶ ὁ Δ τὸν Β. ὁσάκις δὴ ὁ Γ τὸν Α μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Ε· καὶ ὁ Δ ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν τῷ Ε μονάδας. καὶ ἐπεὶ ὁ Γ τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Ε μονάδας· καὶ ὁ Ε ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Γ μονάδας. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Ε τὸν Β μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Ε ἄρα τοὺς Α, Β μετρεῖ, πρώτους ὄντας πρὸς ἀλλήλους, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἔσονταί τινες τῶν Α, Β ἐλάσσονες ἀριθμοὶ ἐν τῷ αὐτῷ λόγῳ ὄντες τοῖς Α, Β· οἱ Α, Β ἄρα ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς. ὅπερ ἔδει δεῖξαι.

Quoniam igitur [per 21. 7.] minimi numeri eandem cum ipſis rationem habentium, eos qui eandem habent rationem æqualiter metiuntur, major majorem & minor minorem, hoc eſt antecedens antecedentem & conſequens conſequentem; numerus Γ ipſum A æqualiter metietur atque Δ ipſum B. quoties autem Γ metitur ipſum A tot unitates ſint in E: ergo & Δ ipſum B metitur per unitates quæ ſunt in E. & quoniam Γ metitur ipſum A per unitates quæ ſunt in E, numerus E ipſum A per unitates quæ ſunt in Γ metietur. & eadem ratione E metietur B per unitates quæ ſunt in Δ: ergo E ipſos A, B metitur, primos inter ſe exiſtentes, quod fieri non poteſt: non igitur erunt aliqui numeri minores ipſis A, B, eandem habentes rationem cum ipſis A, B: ergo A, B minimi ſunt omnium eandem cum ipſis rationem habentium. quod erat demonſtrandum.

A . . . . . Γ -----
B . . . . E ----
Δ ----

Prop. XXIV. Theor.

Minimi numeri eorum qui eandem cum ipſis rationem habent, primi inter ſe ſunt.

SInt A, B minimi numeri eorum qui eandem cum ipſis rationem habent,: dico A, B primos inter ſe eſſe.

Si enim non ſunt A, B inter ſe primi, eos aliquis numerus metietur. metiatur, ſitque Γ. & quoties Γ ipſum quidem A metitur tot unitates ſint in Δ; quoties vero Γ metitur ipſum B tot unitates ſint in E.

A.....
Γ-------
Δ-----
B.....
E---

Et quoniam Γ ipſum A metitur per unitates quæ ſunt in Δ; Γ multiplicans ipſum Δ fecit A. eadem ratione & Γ multiplicans E ipſum B fecit: itaque cum numerus Γ duos numeros Δ, E multiplicans fecerit A, B, erit [per 17. 7.] ut Δ ad E ita A ad B: ergo Δ, E in eadem ſunt ratione in qua A, B, minores ipſis exiſtentes, quod [ex hyp.] fieri non poteſt: non igitur A, B numeros numerus aliquis metietur; ac propterea A, B primi inter ſe ſunt. quod erat demonſtrandum.

Prop. XXV. Theor.

Si duo numeri primi inter ſe fuerint, qui unum ipſorum metitur numerus ad reliquum primus erit.

SInt duo numeri primi inter ſe A, B, & aliquis numerus Γ ipſum A metiatur: dico & B, Γ inter ſe primos eſſe.

Si enim B, Γ non ſint inter ſe primi, metietur eos aliquis numerus. metiatur, ſitque Δ. & quoniam Δ ipſum Γ metitur, & Γ ipſum A; & Δ ipſum A metietur. metitur autem & ipſum B: ergo Δ numeros A, B metitur primos inter ſe exiſtentes, quod [per 12. def. 7.] fieri non poteſt: non igitur numeros Γ, B numerus aliquis metietur; ideoque Γ, B inter ſe primi ſunt. quod erat demonſtrandum.

A.....
B.....
Γ...
Δ—

Prop. XXVI. Theor.

Si duo numeri ad aliquem numerum primi fuerint, & qui fit ex ipſis ad eum primus erit.

DUO enim numeri A, B ad aliquem numerum Γ primi ſint, & A ipſum B multiplicans faciat Δ: dico Γ, Δ inter ſe primos eſſe.

Si enim Γ, Δ non ſint inter ſe primi, metietur eos aliquis numerus. metiatur, ſitque E. & quoniam Γ, A primi inter ſe ſunt, & ipſum

ΠΡΟΤΑΣΙΣ κδ'.

Οἱ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Ἔστωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς οἱ A, B· λέγω ὅτι οἱ A, B πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰ γὰρ μή εἰσι πρῶτοι πρὸς ἀλλήλους οἱ A, B μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Γ. καὶ ὁσάκις μὲν ὁ Γ τὸν A μετρεῖ τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Δ, ὁσάκις δὲ ὁ Γ τὸν B μετρεῖ τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ E.

Καὶ ἐπεὶ ὁ Γ τὸν A μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Γ ἄρα τὸν Δ πολλαπλασιάσας τὸν A πεποίηκε. Διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν E πολλαπλασιάσας τὸν B πεποίηκεν· ἀριθμὸς δὴ ὁ Γ δύο ἀριθμοὺς τοὺς Δ, E πολλαπλασιάσας τοὺς A, B πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν E οὕτως ὁ A πρὸς τὸν B· οἱ Δ, E ἄρα τοῖς A, B ἐν τῷ αὐτῷ λόγῳ εἰσίν, ἐλάσσονες ὄντες αὐτῶν, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς A, B ἀριθμοὺς ἀριθμός τις μετρήσει· οἱ A, B ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κε'.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ τὲνα αὐτῶν μετρῶν ἀριθμὸς πρὸς τὸν λοιπὸν πρῶτος ἔσται.

Ἔστωσαν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους οἱ A, B, τὸν δὲ A μετρείτω τις ἀριθμὸς ὁ Γ· λέγω ὅτι καὶ οἱ B, Γ πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰ γὰρ μή εἰσιν οἱ B, Γ πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Δ. καὶ ἐπεὶ ὁ Δ τὸν Γ μετρεῖ, ὁ δὲ Γ τὸν A μετρεῖ· καὶ ὁ Δ ἄρα τὸν A μετρεῖ. μετρεῖ δὲ καὶ τὸν B· ὁ Δ ἄρα τοὺς A, B μετρεῖ, πρώτους ὄντας πρὸς ἀλλήλους, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς A, B ἀριθμοὺς ἀριθμός τις μετρήσει· οἱ Γ, B ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Ἐὰν δύο ἀριθμοὶ πρός τινα ἀριθμὸν πρῶτοι ὦσιν, καὶ ὁ ἐξ αὐτῶν γενόμενος πρὸς τὸν αὐτὸν πρῶτος ἔσται.

Δύο γὰρ ἀριθμοὶ οἱ A, B πρός τινα ἀριθμὸν τὸν Γ ἔστωσαν πρῶτοι, καὶ ὁ A τὸν B πολλαπλασιάσας τὸν Δ ποιείτω· λέγω ὅτι οἱ Γ, Δ πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰ γὰρ μή εἰσιν οἱ Γ, Δ πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ E. καὶ ἐπεὶ οἱ Γ, A πρῶτοι πρὸς ἀλλήλους εἰσί, τὸν δὲ Γ με-

Γ μετρεῖ τις ἀριθμὸς ὁ Ε· οἱ Ε, Α ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὁσάκις δὲ ὁ Ε τὸν Δ μετρεῖ τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Ζ· καὶ ὁ Ζ ἄρα τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Ε μονάδας· ὁ Ε ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν Ε, Ζ τῷ ἐκ τῶν Α, Β. ἐὰν δὲ ὁ ὑπὸ τῶν ἄκρων ἴσος ᾖ τῷ ὑπὸ τῶν μέσων, οἱ τέσσαρες ἀριθμοὶ ἀνάλογον εἰσίν· ἔστιν ἄρα ὡς ὁ Β πρὸς τὸν Α οὕτως ὁ Β πρὸς τὸν Ζ. οἱ δὲ Α, Ε πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὅ, τε μείζων τὸν μείζονα, καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα, τουτέστιν ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ὁ Ε ἄρα τὸν Β μετρεῖ. μετρεῖ δὲ καὶ τὸν Γ· ὁ Ε ἄρα τοὺς Β, Γ μετρεῖ πρῶτος ὢν πρὸς αὐτούς, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τοὺς Γ, Δ ἀριθμοὺς ἀριθμός τις μετρήσει· οἱ Γ, Δ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

Γ metitur aliquis numerus Ε; erunt [per 25.7.] Β, Α inter se primi. quoties autem Ε ipsum Δ metitur tot unitates sint in Ζ: quare & Ζ metitur ipsum Δ per unitates quæ sunt in Ε: ergo Ε ipsum Ζ multiplicans fecit Δ. sed & Α multiplicans Β ipsum Δ fecit: qui igitur fit ex Ε, Ζ est æqualis ei qui ex Α, Β. si vero qui fit ex extremis æqualis fuerit ei qui ex mediis, [per 19.7.] quatuor numeri proportionales erunt: est igitur ut Β ad Α ita Β ad Ζ. sunt autem Α, Ε inter se primi, & qui primi etiam [per 23.7.] minimi sunt; minimi vero eandem cum ipsis rationem habentium eos qui eandem habent rationem æqualiter metiuntur, [per 21.7.] major majorem, minor minorem, hoc est antecedens antecedentem & consequens consequentem: ergo Β ipsum Β metitur. metitur autem & ipsum Γ: quare Ε ipsos Β, Γ metitur, primos inter se existentes: quod fieri non potest. non igitur Γ, Δ numeros numerus aliquis metietur; ac propterea Γ, Δ inter se primi sunt. quod erat demonstrandum.

Α . .
Γ . . . . .
Δ . . . . . .
Ε ——
Ζ —

ΠΡΟΤΑΣΙΣ κζ'.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ ἐκ ἑνὸς αὐτῶν γινόμενος πρὸς τὸν λοιπὸν πρῶτος ἔσται.

PROP. XXVII. THEOR.

Si duo numeri primi inter se fuerint, qui fit ab uno ipsorum ad reliquum primus erit.

Ἔστωσαν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους οἱ Α, Β, καὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας τὸν Γ ποιείτω· λέγω ὅτι οἱ Β, Γ πρῶτοι πρὸς ἀλλήλους εἰσί.

Κείσθω γὰρ τῷ Α ἴσος ὁ Δ. ἐπεὶ οἱ Α, Β πρῶτοι πρὸς ἀλλήλους εἰσίν, ἴσος δὲ ὁ Α τῷ Δ· καὶ οἱ Δ, Β ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσί· ἑκάτερος ἄρα τῶν Α, Δ πρὸς τὸν Β πρῶτος ἐστί. καὶ ὁ ἐκ τῶν Α, Δ ἄρα γινόμενος πρὸς τὸν Β πρῶτος ἔσται. ὁ δὲ ἐκ τῶν Α, Δ γινόμενος ἀριθμός ἐστιν ὁ Γ· οἱ Γ, Β ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

SInt duo numeri inter se primi Α, Β, & Α seipsum multiplicans faciat Γ: dico Β, Γ inter se primos esse.

Ponatur enim ipsi Α æqualis Δ. & quoniam Α, Β sunt primi inter se, æqualis autem Α ipsi Δ; & Δ, Β inter se primi erunt: uterque igitur ipsorum Α, Δ ad Β primus est: ergo & qui ex Α, Δ fit [per 26.7.] primus erit ad Β. sed qui fit ex Α, Δ est numerus Γ: quare Γ, Β inter se primi sunt. quod erat demonstrandum.

Α . .
Β . . .
Γ . . . .
Δ . .

ΠΡΟΤΑΣΙΣ κη'.

Ἐὰν δύο ἀριθμοὶ πρὸς δύο ἀριθμούς, ἀμφότεροι πρὸς ἑκάτερον, πρῶτοι ὦσι· καὶ οἱ ἐξ αὐτῶν γινόμενοι πρῶτοι πρὸς ἀλλήλους ἔσονται.

PROP. XXVIII. THEOR.

Si duo numeri ad duos numeros, uterque ad utrumque, primi fuerint; & qui fiunt ex ipsis inter se primi erunt.

Δύο γὰρ ἀριθμοὶ οἱ Α, Β πρὸς δύο ἀριθμοὺς τοὺς Γ, Δ, ἀμφότεροι πρὸς ἑκάτερον, πρῶτοι ἔστωσαν, καὶ ὁ μὲν Α τὸν Β πολλαπλασιάσας τὸν Ε ποιείτω, ὁ δὲ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω· λέγω ὅτι οἱ Ε, Ζ πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Ἐπεὶ γὰρ ἑκάτερος τῶν Α, Β πρὸς τὸν Γ πρῶτός ἐστι, καὶ ὁ ἐκ τῶν Α, Β ἄρα γινόμενος πρῶτός ἐστι πρὸς τὸν Γ. ὁ δὲ ἐκ τῶν Α, Β γινόμενος ἐστιν ὁ Ε· οἱ Ε, Γ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσί. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Ε, Δ πρῶτοι πρὸς ἀλλή-

DUO enim numeri Α, Β ad duos numeros Γ, Δ, uterque ad utrumque, primi sint; & Α quidem ipsum Β multiplicans faciat Ε; Γ vero multiplicans Δ faciat Ζ: dico Ε, Ζ inter se primos esse.

Quoniam enim uterque ipsorum Α, Β ad Γ primus est, & qui fit ex Α, Β [per 26.7.] ad Γ primus erit. qui autem fit ex Α, Β est Ε: ergo Ε, Γ primi inter se sunt. eadem ratione & Β, Δ primi sunt

Α . . . Β . . . . .
Ε . . . . . .
Γ . . Δ . . . .
Ζ . . . . . .

inter

inter ſe: uterque igitur ipſorum Γ, Δ ad E primus eſt: ac propterea [per 26. 7.] qui fit ex Γ, Δ primus erit ad E. qui vero ex Γ, Δ fit eſt numerus Z: ergo E, Z primi inter ſe erunt. quod erat demonſtrandum.

PROP. XXIX. THEOR.

Si duo numeri primi inter ſe fuerint, & uterque ſeipſum multiplicans faciat aliquos; facti ex ipſis primi inter ſe erunt: & ſi numeri à principio poſiti eos qui facti ſunt multiplicantes aliquos faciant; & ipſi inter ſe primi erunt: & ſemper circa extremos hoc continget.

SInt duo numeri inter ſe primi A, B, & A ſeipſum quidem multiplicans faciat Γ, multiplicans vero Γ faciat E; & B ſeipſum multiplicans faciat Δ, multiplicans autem Δ faciat ipſum Z: dico Γ, Δ & E, Z inter ſe primos eſſe.

Quoniam enim A, B primi inter ſe ſunt; & A ſeipſum multiplicans fecit Γ; erunt [per 27. 7.] Γ, B primi inter ſe. & quoniam Γ, B inter ſe primi ſunt, & B ſeipſum multiplicans fecit Δ; erunt Γ, Δ inter ſe primi. Rurſus quoniam A, B primi ſunt inter ſe, & B ſeipſum multiplicans fecit Δ; A, Δ inter ſe primi erunt: cum igitur duo numeri A, Γ ad duos numeros B, Δ uterque ad utrumque primi ſint; & qui ex A, Γ fit ad eum qui fit ex B, Δ [per 28. 7.] primus erit. ſed qui fit ex A, Γ eſt numerus E, qui vero ex B, Δ fit eſt Z: ergo E, Z primi inter ſe ſunt. quod erat demonſtrandum.

A . . B . . .
Γ . . . . Δ . . . . . .
E . . . . . Z . . . . . .

PROP. XXX. THEOR.

Si duo numeri primi inter ſe fuerint, & uterque ſimul ad utrumque ipſorum primus erit: quod ſi uterque ſimul ad unum aliquem ipſorum ſit primus, & numeri à principio poſiti inter ſe primi erunt.

COmponantur enim duo numeri inter ſe primi, AB, BΓ: dico & utrumque ſimul, videlicet AΓ, ad utrumque ipſorum AB, BΓ primum eſſe.

Si enim non ſint ΓA, AB inter ſe primi, metietur eos numerus aliquis. metiatur, & ſit Δ. quoniam igitur Δ metitur ipſos ΓA, AB; & reliquum BΓ metietur. metitur autem & BA: ergo Δ ipſos AB, BΓ metitur, primos inter ſe exiſtentes; quod fieri non poteſt: non igitur

A . . . . . B . . . . Γ
Δ ——

ΓA,

ΠΡΟΤΑΣΙΣ κθ'.

Εὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσι, καὶ πολλαπλασιάσας ἑκάτερος ἑαυτὸν ποιῇ τινα, οἱ γενόμενοι ἐξ αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ἔσονται· καὶ ἐξαρχῆς τοὺς γενομένους πολλαπλασιάσαντες ποιῶσί τινας, κἀκεῖνοι πρῶτοι πρὸς ἀλλήλους ἔσονται· καὶ ἀεὶ περὶ τοὺς ἄκρους τοῦτο συμβαίνει.

Ἔστωσαν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους οἱ A, B, καὶ ὁ A ἑαυτὸν πολλαπλασιάσας τὸν Γ ποιείτω, τὸν δὲ Γ πολλαπλασιάσας τὸν E ποιείτω, ὁ δὲ B ἑαυτὸν πολλαπλασιάσας τὸν Δ ποιείτω, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Z ποιείτω· λέγω ὅτι εἰσὶ Γ, Δ καὶ οἱ E, Z πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Ἐπεὶ γὰρ οἱ A, B πρῶτοι πρὸς ἀλλήλους εἰσὶ, καὶ ὁ A ἑαυτὸν πολλαπλασιάσας τὸν Γ πεποίηκεν· οἱ Γ, B ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσί. ἐπεὶ ἄρα οἱ Γ, B πρῶτοι πρὸς ἀλλήλους εἰσὶ, καὶ ὁ B ἑαυτὸν πολλαπλασιάσας τὸν Δ πεποίηκεν, οἱ Γ, Δ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσί. πάλιν, ἐπεὶ οἱ A, B πρῶτοι πρὸς ἀλλήλους εἰσὶ, καὶ ὁ B ἑαυτὸν πολλαπλασιάσας τὸν Δ πεποίηκεν· οἱ A, Δ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν· ἐπεὶ ἓν δύο ἀριθμοὶ οἱ A, Γ πρὸς δύο ἀριθμοὺς τοὺς B, Δ ἀμφότεροι πρὸς ἑκάτερον πρῶτοί εἰσι· καὶ ὁ ἐκ τῶν A, Γ ἄρα γινόμενος πρὸς τὸν ἐκ τῶν B, Δ πρῶτός ἐστι. καὶ ἔστιν ὁ μὲν ἐκ τῶν A, Γ ὁ E, ὁ δὲ ἐκ τῶν B, Δ ὁ Z· οἱ E, Z ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ λ'.

Εὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσι, καὶ συναμφότερος πρὸς ἑκάτερον αὐτῶν πρῶτος ἔσται· καὶ ἐὰν συναμφότερος πρός τινα αὐτῶν πρῶτος ᾖ, καὶ οἱ ἐξαρχῆς ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ἔσονται.

Συγκείσθωσαν γὰρ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους, οἱ AB, BΓ· λέγω ὅτι καὶ συναμφότερος ὁ AΓ πρὸς ἑκάτερον τῶν AB, BΓ πρῶτός ἐστιν.

Εἰ γὰρ μή εἰσιν οἱ ΓA, AB πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Δ. ἐπεὶ οὖν ὁ Δ τοὺς ΓA, AB μετρεῖ· καὶ λοιπὸν ἄρα τὸν BΓ μετρήσει. μετρεῖ δὲ καὶ τὸν BA· ὁ Δ ἄρα τοὺς AB, BΓ μετρεῖ, πρώτους ὄντας πρὸς ἀλλήλους, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς

ΓΑ, ΑΒ ἀριθμὸς ἀριθμός τις μετρήσει· οἱ ΑΒ, ΑΓ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν· ὁ ΓΑ ἄρα πρὸς ἑκάτερον τῶν ΑΒ, ΒΓ πρῶτός ἐστιν.

ΕΣΤΩΣΑΝ δὴ πάλιν οἱ ΓΑ, ΑΒ πρὸς ἀλλήλους πρῶτοι· λέγω ὅτι καὶ οἱ ΑΒ, ΒΓ πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰ γὰρ μή εἰσι πρῶτοι πρὸς ἀλλήλους οἱ ΑΒ, ΒΓ, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Δ. καὶ ἐπεὶ ὁ Δ ἑκάτερον τῶν ΑΒ, ΒΓ μετρεῖ, καὶ ὅλον ἄρα τὸν ΓΑ μετρήσει. μετρεῖ δὲ καὶ τὸν ΑΒ· ὁ Δ ἄρα τοὺς ΓΑ, ΑΒ μετρεῖ, πρώτους ὄντας πρὸς ἀλλήλους, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς ΑΒ, ΒΓ ἀριθμοὺς ἀριθμός τις μετρήσει· οἱ ΑΒ, ΒΓ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

ΓΑ, ΑΒ numeros numerus aliquis metietur; ac propterea ΑΒ, ΑΓ inter ſe primi ſunt: ergo ΓΑ ad utrumque ipſorum ΑΒ, Β, Γ eſt primus.

SINT rurſus ΓΑ, ΑΒ primi inter ſe: dico & ipſos ΑΒ, ΒΓ inter ſe primos eſſe.

Si enim ΑΒ, ΒΓ non ſint inter ſe primi, metietur eos aliquis numerus. metiatur, ſitque Δ. & quoniam Δ metitur utrumque ipſorum ΑΒ, ΒΓ, & totum ΓΑ metietur. metitur autem & ΑΒ: ergo Δ ipſos ΓΑ, ΑΒ metitur, primos inter ſe exiſtentes, quod fieri non poteſt: non igitur ipſos ΑΒ, ΒΓ numeros numerus aliquis metietur, ideoque ΑΒ, ΒΓ inter ſe primi ſunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λα'.

Πᾶς πρῶτος ἀριθμὸς πρὸς ἅπαντα ἀριθμόν, ὃν μὴ μετρεῖ, πρῶτός ἐστιν.

PROP. XXXI. THEOR.

Omnis primus numerus ad omnem numerum, quem non metitur, primus eſt.

ΕΣΤΩ πρῶτος ἀριθμὸς ὁ Α, καὶ τὸν Β μὴ μετρείτω· λέγω ὅτι οἱ Β, Α πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰ γὰρ μὴ εἰσιν οἱ Β, Α πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Γ· ὁ Γ ἄρα τὸν μὲν Α οὐ μετρεῖ· ὁ γὰρ Α μονάς ἐστιν· ὁ δὲ Γ τὸν Β μετρεῖ· ὁ Γ ἄρα τῷ Α οὐκ ἔστιν ὁ αὐτός. καὶ ἐπεὶ ὁ Γ τοὺς Β, Α μετρεῖ· καὶ τὸν Α ἄρα μετρεῖ πρῶτον ὄντα, μὴ ὢν αὐτῷ ὁ αὐτός, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς Β, Α μετρήσει τις ἀριθμός· οἱ Α, Β ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

SIT primus numerus Α, & numerum Β non metiatur: dico Β, Α inter ſe primos eſſe.

Si enim non ſint Β, Α inter ſe primi, metietur eos aliquis numerus. metiatur, & ſit Γ: ergo [per 11. def. 7.] Γ non eſt unitas. & quoniam Γ ipſum Β metitur, Α vero non metitur ipſum Β; non erit Γ idem qui Α. & quoniam Γ ipſos Β, Α metitur, & metietur ipſum Α primum exiſtentem, licet non ſit idem cum eo, quod fieri non poteſt: non igitur ipſos Β, Α numeros numerus aliquis metietur: quare Α, Β inter ſe primi ſunt. quod erat demonſtrandum.

Α ... Β .....
Γ ——

ΠΡΟΤΑΣΙΣ λβ'.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, τὸ δὲ γενόμενον ὑπ' αὐτῶν μετρῇ τις πρῶτος ἀριθμός· καὶ ἕνα τῶν ἐξ ἀρχῆς μετρήσει.

PROP. XXXII. THEOR.

Si duo numeri ſeſe multiplicantes aliquem faciant; eum vero, qui ex ipſis fit, metiatur aliquis numerus primus: & unum ipſorum, qui à principio poſiti ſunt, metietur.

ΔΥΟ γὰρ ἀριθμοὶ οἱ Α, Β πολλαπλασιάσαντες τὸν Γ ποιείτωσαν, τὸν δὲ Γ μετρείτω τις πρῶτος ἀριθμὸς ὁ Δ· λέγω ὅτι ὁ Δ ἕνα τῶν Α, Β μετρεῖ.

Τὸν γὰρ Α μὴ μετρείτω, καὶ ἔστι πρῶτος ὁ Δ· οἱ Α, Δ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσί. καὶ ὁσάκις ὁ Δ τὸν Γ μετρεῖ, τοσοῦται μονάδες ἔστωσαν ἐν τῷ Ε. ἐπεὶ οὖν ὁ Δ τὸν Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Ε μονάδας, ὁ Δ ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν Δ, Ε τῷ ἐκ τῶν Α, Β· ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Α οὕτως ὁ Β πρὸς τὸν Ε. οἱ δὲ Δ, Α πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὅ, τε μεῖζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα, τουτέστιν ὅ, τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ὁ Δ ἄρα τὸν Β

ΔΥΟ enim numeri Α, Β ſe invicem multiplicantes faciant Γ, ipſum vero Γ metiatur aliquis numerus primus, qui ſit Δ: dico Δ unum ipſorum Α, Β metiri.

Ipſum enim Α non metiatur, atque eſt Δ numerus primus: ergo [per 31. 7.] Α, Δ primi inter ſe ſunt. & quoties Δ ipſum Γ metitur, tot unitates ſint in Ε. quoniam igitur Δ metitur ipſum Γ per eas quæ ſunt in Ε unitates; numerus Δ ipſum Ε multiplicans fecit Γ. ſed & Α multiplicans Β ipſum Γ fecit: ergo qui fit ex Δ, Ε æqualis eſt ei qui ex Α, Β: eſt igitur [per 19. 7.] ut Δ ad Α ita Β ad Ε. & ſunt Δ, Α primi inter ſe; primi vero [per 23. 7.] ſunt & minimi, ſed [per 21. 7.] minimi eos qui eandem habent rationem æqualiter metiuntur, major majorem & minor minorem, hoc eſt antecedens antecedentem & conſequens conſequentem; ergo Δ ipſum Β metitur

Α .. Β ......
Γ .....
Δ ...
Ε ....

tur. Similiter demonſtrabimus ſi Δ non metiatur B, metiri ipſum A: quare Δ metitur unum ipſorum A, B. quod erat demonſtrandum.

μετρεῖ. ὁμοίως δὴ δείξομεν ὅτι κ᾽ ἐὰν ὁ Δ τὸν Β μὴ μετρῇ, τὸν Α μετρήσει· ὁ Δ ἄρα ἕνα τῶν Α, Β μετρεῖ. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXIII. Theor.

Omnem numerum compoſitum primus aliquis numerus metitur.

SIT compoſitus numerus A: dico primum aliquem numerum metiri ipſum A.

Quoniam enim A eſt compoſitus numerus, [per 13. def. 7.] metietur ipſum aliquis numerus. metiatur, & ſit B. & ſi quidem primus eſt B, manifeſtum eſt quod quæritur. ſi vero compoſitus, ipſum aliquis numerus metietur. metiatur, ſitque Γ. & quoniam Γ metitur ipſum B, B vero ipſum A; & Γ ipſum A metitur. & ſi quidem primus eſt Γ, manifeſtum eſt quod quæritur. ſi vero compoſitus, eum aliquis numerus metitur, & hac conſideratione facta relinquetur tandem aliquis numerus primus, & qui ipſum A metietur. ſi enim non relinquitur, metientur ipſum A infiniti numeri, quorum alter altero eſt minor, quod [per 2. def. 7.] in numeris fieri non poteſt; ergo relinquetur aliquis qui & præcedentem metietur & ipſum A.

A .....
B ....
Γ ..

Omnem igitur numerum compoſitum primus aliquis numerus metitur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λγ΄.

Απας σύνθετος ἀριθμὸς ὑπό τινος πρώτου ἀριθμοῦ μετρεῖται.

ΕΣτω σύνθετος ἀριθμὸς ὁ Α· λέγω ὅτι ὁ Α ὑπό τινος πρώτου ἀριθμοῦ μετρεῖται.

Ἐπεὶ γὰρ σύνθετός ἐστιν ὁ Α, μετρήσει τις αὐτὸν ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Β. καὶ εἰ μὲν πρῶτός ἐστιν ὁ Β, δῆλον ἂν εἴη τὸ ζητούμενον. εἰ δὲ σύνθετος, μετρήσῃ τις αὐτὸν ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Γ. καὶ ἐπεὶ ὁ Γ τὸν Β μετρεῖ, ὁ δὲ Β τὸν Α μετρεῖ· καὶ ὁ Γ ἄρα τὸν Α μετρεῖ. καὶ εἰ μὲν πρῶτός ἐστιν ὁ Γ, δῆλον ἂν εἴη τὸ ζητούμενον. εἰ δὲ σύνθετος μετρήσει τις αὐτὸν ἀριθμός, τοιαύτης δὴ γινομένης ἐπισκέψεως ληφθήσεταί τις πρῶτος ἀριθμός, ὃς μετρήσει τὸν πρὸ ἑαυτοῦ, ὃς καὶ τὸν Α μετρήσει. εἰ γὰρ οὐ ληφθήσεται, μετρήσουσι τὸν Α ἀριθμὸν ἄπειροι ἀριθμοί, ὧν ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων ἐστίν, ὅπερ ἐστὶν ἀδύνατον ἐν ἀριθμοῖς· ληφθήσεταί τις ἄρα, ὃς μετρήσει τὸν πρὸ ἑαυτοῦ, ὃς καὶ τὸν Α μετρήσει.

Απας ἄρα σύνθετος ἀριθμὸς ὑπό πρώτου τινὸς ἀριθμοῦ μετρεῖται. ὅπερ ἔδει δεῖξαι.

Aliter.

SIT compoſitus numerus A: dico primum aliquem numerum ipſum metiri.

Quoniam enim A compoſitus eſt [per 13. def. 7.] metietur ipſum aliquis numerus. ſit B minimus eorum, qui ipſum A metiuntur: dico B primum eſſe.

Si enim non; erit compoſitus: ergo eum aliquis numerus metietur. metiatur, ſitque Γ metiens ipſum: erit igitur Γ minor quam B. & quoniam Γ ipſum B metitur, ſed & B ipſum A; & Γ ipſum A metietur, minor exiſtens ipſo B, qui eſt minimus omnium qui metiuntur A, quod eſt abſurdum: igitur B non eſt compoſitus numerus: ergo eſt primus. quod erat demonſtrandum.

A .....
B ...
Γ --

Αλλως.

ΕΣΤΩ σύνθετος ἀριθμὸς ὁ Α· λέγω ὅτι ὑπό πρώτου τινὸς ἀριθμοῦ μετρεῖται.

Ἐπεὶ γὰρ σύνθετός ἐστιν ὁ Α, μετρηθήσεται ὑπό ἀριθμοῦ. καὶ ἔστω ἐλάχιστος τῶν μετρούντων αὐτὸν ὁ Β· λέγω ὅτι ὁ Β πρῶτός ἐστιν.

Εἰ γὰρ μή, συνθετός ἐστι· μετρηθήσεται ἄρα ὑπό ἀριθμοῦ τινος. μετρείσθω, καὶ ἔστω ὁ Γ ὁ μετρῶν αὐτόν· ὁ Γ ἄρα τοῦ Β ἐλάσσων ἐστί. καὶ ἐπεὶ ὁ Γ τὸν Β μετρεῖ, ἀλλὰ καὶ ὁ Β τὸν Α μετρεῖ· καὶ ὁ Γ ἄρα τὸν Α μετρεῖ, ἐλάσσων ὢν τοῦ Β, ἐλαχίστου ὄντος τῶν μετρούντων Α, ὅπερ ἄτοπον· οὐκ ἄρα ὁ Β συνθετός ἐστιν ἀριθμός· πρῶτος ἄρα. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXIV. Theor.

Omnis numerus vel primus eſt, vel eum primus aliquis numerus metitur.

SIT numerus A: dico A vel primum eſſe, vel primum aliquem numerum ipſum A metiri.

Si quidem igitur primus eſt, manifeſtum eſt quod quæritur. ſi vero compoſitus, [per 33. 7.] ipſum aliquis primus numerus metietur.

Omnis igitur numerus vel primus eſt, vel eum primus aliquis numerus metitur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λδ΄.

Απας ἀριθμὸς ἤτοι πρῶτός ἐστιν, ἢ ὑπό πρώτου τινὸς ἀριθμοῦ μετρεῖται.

ΕΣτω ἀριθμὸς ὁ Α· λέγω ὅτι ὁ Α ἤτοι πρῶτός ἐστιν, ἢ ὑπό πρώτου τινὸς ἀριθμοῦ μετρεῖται.

Εἰ μὲν οὖν πρῶτός ἐστιν ὁ Α, δῆλον ἂν εἴη τὸ ζητούμενον. εἰ δὲ σύνθετος, μετρήσῃ τις αὐτὸν πρῶτος ἀριθμός.

Απας ἄρα ἀριθμὸς ἤτοι πρῶτός ἐστιν, ἢ ὑπό πρώτου τινὸς ἀριθμοῦ μετρεῖται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ λε'.

Ἀριθμῶν δοθέντων ὁποσωνοῦν, εὑρεῖν τοὺς ἐλαχίστους τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Ἐστωσαν οἱ δοθέντες ὁποσοιοῦν ἀριθμοὶ, οἱ Α, Β, Γ· δεῖ δὴ εὑρεῖν τοὺς ἐλαχίστους τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Β, Γ.

Οἱ Α, Β, Γ ἄρα ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν, ἢ οὔ. εἰ μὲν οὖν οἱ Α, Β, Γ πρῶτοι πρὸς ἀλλήλους εἰσὶν, ἐλάχιστοί εἰσι τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Εἰ δὲ οὔ. εἰλήφθω τὸ Α, Β, Γ τὸ μέγιστον κοινὸν μέτρον ὁ Δ, καὶ ὁσάκις ὁ Δ ἑκαστον τῶν Α, Β, Γ μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν ἑκάστῳ τῶν Ε, Ζ, Η· ἕκαστος ἄρα τῶν Ε, Ζ, Η ἑκαστον τῶν Α, Β, Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· οἱ Ε, Ζ, Η ἄρα τοὺς Α, Β, Γ ἰσάκις μετροῦσιν· οἱ Ε, Ζ, Η ἄρα τοῖς Α, Β, Γ ἐν τῷ αὐτῷ λόγῳ εἰσί. λέγω δὴ ὅτι καὶ ἐλάχιστοι. εἰ γὰρ μὴ εἰσιν οἱ Ε, Ζ, Η ἐλάχιστοι τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς τοῖς Α, Β, Γ, ἔσονταί τινες τῶν Ε, Ζ, Η ἐλάσσονες ἀριθμοὶ ἐν τῷ αὐτῷ λόγῳ ὄντες τοῖς Α, Β, Γ. ἔστωσαν οἱ Θ, Κ, Λ· ἰσάκις ἄρα ὁ Θ τὸν Α μετρεῖ καὶ ἑκάτερος τῶν Κ, Λ ἑκάτερον τῶν Β, Γ. ὁσάκις δὲ ὁ Θ τὸν Α μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Μ· καὶ ἑκάτερος ἄρα τῶν Κ, Λ ἑκάτερον τῶν Β, Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Μ μονάδας. καὶ ἐπεὶ ὁ Θ τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Μ μονάδας· καὶ ὁ Μ ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Θ μονάδας. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Μ ἑκάτερον τῶν Β, Γ μετρεῖ κατὰ τὰς ἐν ἑκατέρῳ τῶν Κ, Λ μονάδας· ὁ Μ ἄρα τοὺς Α, Β, Γ μετρεῖ. καὶ ἐπεὶ ὁ Θ τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Μ μονάδας· ὁ Θ ἄρα τὸν Μ πολλαπλασιάσας τὸν Α πεποίηκε. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Ε τὸν Δ πολλαπλασιάσας τὸν Α πεποίηκεν· ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν Ε, Δ τῷ ἐκ τῶν Θ, Μ· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Θ οὕτως ὁ Μ πρὸς τὸν Δ. μείζων δὲ ὁ Ε τοῦ Θ· μείζων ἄρα καὶ ὁ Μ τοῦ Δ, καὶ μετρεῖ τοὺς Α, Β, Γ, ὅπερ ἐστὶν ἀδύνατον, ὑποκειται γὰρ ὁ Δ τῶν Α, Β, Γ τὸ μέγιστον κοινὸν μέτρον· οὐκ ἄρα ἔσονταί τινες τῶν Ε, Ζ, Η ἐλάσσονες ἀριθμοὶ ἐν τῷ αὐτῷ λόγῳ ὄντες τοῖς Α, Β, Γ· οἱ Ε, Ζ, Η ἄρα ἐλάχιστοί εἰσι τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Β, Γ. ὅπερ ἔδει δεῖξαι.



PROP. XXXV. PROBL.

Numeris quotcunque datis, invenire minimos omnium qui eandem cum ipsis rationem habeant.

Sint dati quotcunque numeri A, B, Γ: oportet invenire minimos omnium qui eandem cum ipsis A, B, Γ rationem habeant.

Vel igitur A, B, Γ primi inter se sunt, vel non. si quidem primi, & minimi erunt [per 23. 7.] omnium eandem cum ipsis rationem habentium.

Si vero non. sumatur [per 3. 7.] ipsorum A, B, Γ maxima communis mensura Δ, & quoties Δ unumquemque ipsorum A, B, Γ metitur, tot unitates sint in unoquoque horum E, Z, H: & unusquisque igitur ipsorum E, Z, H unumquemq; ipsorum A, B, Γ metitur per eas quæ sunt in Δ unitates: ergo E, Z, H ipsos A, B, Γ æqualiter metiuntur, ac propterea [per 18. 7.] E, Z, H in eadem sunt ratione in qua ipsi A, B, Γ. dico eos etiam minimos esse. si enim E, Z, H non sint minimi eandem cum ipsis A, B, Γ rationem habentium, erunt aliqui ipsis E, Z, H minores in eadem ratione in qua A, B, Γ. sint Θ, K, Λ: æqualiter igitur [per 21. 7.] Θ metitur ipsum A ac uterque ipsorum K, Λ utrumque B, Γ metitur. quoties autem Θ metitur ipsum A, tot unitates sint in M: & uterque igitur K, Λ utrumque B, Γ metitur per eas quæ sunt in M unitates. & quoniam Θ ipsum A metitur per unitates quæ sunt in M; & M ipsum A per unitates quæ sunt in Θ metietur. eadem ratione & M utrumque ipsorum B, Γ metietur per unitates quæ sunt in utroque K, Λ: ergo M ipsos A, B, Γ metitur. rursus, quoniam Θ ipsum A metitur per unitates quæ sunt in M; Θ ipsum M multiplicans fecit A. eadem ratione & E multiplicans Δ ipsum A fecit: ergo qui ex E, Δ fit ei qui fit ex Θ, M est æqualis: ut igitur E ad Θ ita [per 19. 7.] M ad Δ. major autem est E quam Θ: ergo & M quam Δ est major, & ipsos A, B, Γ metitur, quod fieri non potest; ponitur enim Δ ipsorum A, B, Γ maxima communis mensura: non igitur erunt aliqui numeri minores ipsis E, Z, H in eadem ratione in qua A, B, Γ: ergo E, Z, H minimi sunt eorum qui eandem cum ipsis A, B, Γ rationem habent. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Δύο ἀριθμῶν δοθέντων, εὑρεῖν τὸν ἐλάχιστον μετροῦσιν ἀριθμόν.

Ἐστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ, οἱ Α, Β· δεῖ δὴ εὑρεῖν τὸν ἐλάχιστον μετροῦσιν ἀριθμόν.

Οἱ Α, Β ἄρα ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν, ἢ οὔ. ἔστωσαν πρότερον οἱ Α, Β πρῶτοι πρὸς ἀλλήλους, καὶ ὁ τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω· καὶ ὁ Β ἄρα

PROP. XXXVI. PROBL.

Duobus numeris datis, invenire minimum numerum quem metiantur.

Sint dati duo numeri A, B: oportet invenire minimum numerum quem metiantur.

Numeri enim A, B vel primi inter se sunt, vel non. sint primum A, B inter se primi, & A ipsum B multiplicans faciat Γ; ergo [per 16. 7.]

7.] & B multiplicans A ipſum Γ fecit; ac propterea numeri A, B ipſum Γ metiuntur. dico etiam Γ minimum eſſe. ſi enim non ita ſit, metientur A, B numerum aliquem minorem quam Γ. metiantur ipſum Δ. & quoties A ipſum Δ metitur tot unitates ſint in E, quoties autem B metitur Δ tot unitates ſint in Z: ergo A quidem ipſum B multiplicans fecit Δ; B vero multiplicans Z ipſum Δ fecit: quare numerus qui ex A, E fit eſt æqualis ei qui fit ex B, Z: ut igitur A ad B ita eſt [per 19. 7.] Z ad E. & ſunt A, B primi, primi autem [per 23. 7.] & minimi: ſed [per 21. 7.] minimi eos qui eandem habent rationem æqualiter metiuntur, major majorem & minor minorem: ergo B ipſum E metitur, conſequens conſequentem. & quoniam A numeros B, E multiplicans fecit Γ, Δ, erit [per 18. 7.] ut B ad E ita Γ ad Δ. metitur autem B ipſum E: ergo & Γ ipſum Δ metitur, major minorem, quod fieri non poteſt: non igitur A, B metiuntur aliquem numerum minorem ipſo Γ, quando A, B primi inter ſe fuerint: ergo numerus Γ eſt minimus quem A, B metiantur.



Sed non ſint A, B primi inter ſe; & ſumantur [per 35. 7.] minimi numeri eandem quam A, B rationem habentium, qui ſint Z, E: æqualis igitur eſt [per 19. 7.] qui ex A, E fit ei qui ex B, Z. & A ipſum E multiplicans faciat Γ: ergo & B multiplicans Z ipſum Γ fecit: quare A, B ipſum Γ metiuntur. dico & minimum eſſe. niſi enim ita ſit, metientur A, B aliquem numerum minorem quam Γ. metiantur ipſum Δ. & quoties A ipſum Δ metitur tot unitates ſint in H, quoties autem B metitur Δ tot unitates ſint in Θ: ergo A quidem ipſum H multiplicans fecit Δ, B vero multiplicans Θ ipſum Δ fecit: qui igitur ex A, H fit eſt æqualis ei qui fit ex B, Θ: ut igitur A ad B ita [per 19. 7.] Θ ad H. ſed ut A ad B ita Z ad E: ergo & ut Z ad E ita Θ ad H. & [per conſtr.] ſunt Z, E minimi; minimi vero eos qui eandem habent rationem æqualiter metiuntur, [per 21. 7.] major majorem & minor minorem: quare E ipſum H metitur. & quoniam A numeros E, H multiplicans ipſos Γ, Δ fecit, ut E ad H ita erit [per 17. 7.] Γ ad Δ. ſed E metitur ipſum H: ergo [per 20. def. 7.] & Γ ipſum Δ metitur, major minorem, quod fieri non poteſt: non igitur metiuntur A, B aliquem numerum minorem quam Γ: ergo Γ eſt minimus quem A, B metiantur. quod erat demonſtrandum.



Prop. XXXVII. Theor.

Si duo numeri metiantur numerum aliquem, & minimus quem illi metiuntur eundem metietur.

DUO enim numeri A, B numerum aliquem Γ Δ metiantur, minimum autem ipſum E: dico & E ipſum Γ Δ metiri.

τὸν Α πολλαπλασιάσας τὸν Γ πεποίηκεν· οἱ Α, Β ἄρα τὸν Γ μετροῦσι. λέγω δὴ ὅτι καὶ ἐλάχιστον. εἰ γὰρ μή, μετρήσουσί τινα ἀριθμὸν οἱ Α, Β ἐλάσσονα ὄντα τοῦ Γ. μετρείτωσαν τὸν Δ. καὶ ὁσάκις ὁ Α τὸν Δ μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Ε. ὁσάκις δὴ ὁ Β τὸν Δ μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Ζ· ὁ μὲν Α ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ δὲ Β τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν Α, Ε τῷ ἐκ τῶν Β, Ζ· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Ζ πρὸς τὸν Ε. οἱ δὲ Α, Β πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὁ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα· ὁ Β ἄρα τὸν Ε μετρεῖ, ὡς ἐπόμβυος ἐπόμβυον. καὶ ἐπεὶ ὁ Α τοὺς Β, Ε πολλαπλασιάσας τοὺς Γ, Δ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Β πρὸς τὸν Ε οὕτως ὁ Γ πρὸς τὸν Δ· μετρεῖ δὲ ὁ Β τὸν Ε· μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ, ὁ μείζων τὸν ἐλάσσονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα οἱ Α, Β μετροῦσί τινα ἀριθμὸν ἐλάσσονα ὄντα τοῦ Γ, ὅπερ οἱ Α, Β πρῶτοι πρὸς ἀλλήλους ὦσιν· ὁ Γ ἄρα ἐλάχιστος ὢν ὑπὸ τῶν Α, Β μετρεῖται.

Μὴ ἔστωσαν δὴ οἱ Α, Β πρῶτοι πρὸς ἀλλήλους, καὶ εἰλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Β, οἱ Ζ, Ε· ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν Α, Ε τῷ ἐκ τῶν Β, Ζ. εἰ δὲ ὁ Α τὸν Ε πολλαπλασιάσας τὸν Γ ποιείτω· καὶ ὁ Β ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Γ πεποίηκεν· οἱ Α, Β ἄρα τὸν Γ μετροῦσι. λέγω δὴ ὅτι καὶ ἐλάχιστον. εἰ γὰρ μή, μετρήσουσί τινα ἀριθμὸν οἱ Α, Β, ἐλάσσονα ὄντα τοῦ Γ. μετρείτωσαν τὸν Δ. καὶ ὁσάκις μὲν ὁ Α τὸν Δ μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Η, ὁσάκις δὲ ὁ Β τὸν Δ μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Θ· ὁ μὲν Α ἄρα τὸν Η πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ δὲ Β τὸν Θ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν Α, Η τῷ ἐκ τῶν Β, Θ· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Θ πρὸς τὸν Η. ὡς δὲ ὁ Α πρὸς τὸν Β οὕτως ὁ Ζ πρὸς τὸν Ε· καὶ ὡς ἄρα ὁ Ζ πρὸς τὸν Ε οὕτως ὁ Θ πρὸς τὸν Η. οἱ δὲ Ζ, Ε ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὅ, τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα· ὁ Ε ἄρα τὸν Η μετρεῖ. καὶ ἐπεὶ ὁ Α τοὺς Ε, Η πολλαπλασιάσας τοὺς Γ, Δ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Η οὕτως ὁ Γ πρὸς τὸν Δ. ὁ δὲ Ε τὸν Η μετρεῖ· καὶ ὁ Γ ἄρα τὸν Δ μετρεῖ, ὁ μείζων τὸν ἐλάσσονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα οἱ Α, Β μετροῦσί τινα ἀριθμὸν ἐλάσσονα τοῦ Γ· ὁ Γ ἄρα ἐλάχιστος ὢν ὑπὸ τῶν Α, Β μετρεῖται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ λζ'.

Ἐὰν δύο ἀριθμοὶ ἀριθμόν τινα μετρῶσι, καὶ ὁ ἐλάχιστος ὑπ' αὐτῶν μετρούμενος τὸν αὐτὸν μετρήσει.

ΔΥΟ γὰρ ἀριθμοὶ οἱ Α, Β ἀριθμόν τινα τὸν Γ Δ μετρείτωσαν, ἐλάχιστον δὲ τὸν Ε· λέγω ὅτι καὶ ὁ Ε τὸν Γ Δ μετρεῖ. Εἰ

Εἰ γὰρ ὁ Ε μετρεῖ τὸν Γ Δ, ὁ Ε τὸν Ζ Δ μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν Γ Ζ. καὶ ἐπεὶ οἱ Α, Β τὸν Ε μετροῦσιν, ὁ δὲ Ε τὸν Δ Ζ μετρεῖ· καὶ οἱ Α, Β ἄρα τὸ Δ Ζ μετρήσουσι. μετροῦσι δὲ καὶ ὅλον τὸν Γ Δ· καὶ λοιπὸν ἄρα τὸν Γ Ζ μετρήσουσιν, ἐλάσσονα ὄντα τοῦ Ε, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ὁ μετρεῖ ὁ Ε τὸν Γ Δ, μετρεῖ ἄρα. ὅπερ ἔδει δεῖξαι.

Si enim E non metitur Γ Δ, E metiens Z Δ relinquat seipso minorem Γ Z. & quoniam A, B ipsum E metiuntur, E vero ipsum Δ Z, & A, B metientur Δ Z. sed & metiuntur totum Γ Δ: ergo & reliquum Γ Z minorem ipso E metientur, quod [ex hyp.] fieri non potest: non igitur E non metitur ipsum Γ Δ, metitur igitur. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λη'.

Τελῶν ἀριθμῶν δοθέντων, εὑρεῖν τὸν ἐλάχιστον μετροῦσιν ἀριθμόν.

Prop. XXXVIII. Probl.

Tribus numeris datis, invenire minimum numerum quem metiantur.

Ἔστωσαν οἱ δοθέντες ἀριθμοὶ οἱ Α, Β, Γ· δεῖ δὴ εὑρεῖν τὸν ἐλάχιστον μετροῦσιν ἀριθμόν.

Εἰλήφθω γὰρ τοῦ δύο τῶν Α, Β ἐλάχιστος μετρούμενος ὁ Δ. ὁ δὴ Γ τὸν Δ ἤτοι μετρεῖ, ἢ οὐ μετρεῖ. μετρείτω πρότερον. μετροῦσι δὴ καὶ οἱ Α, Β τὸν Δ· οἱ ἄρα Α, Β, Γ τὸν Δ μετροῦσι. λέγω ὅτι καὶ ἐλάχιστον. εἰ γὰρ μή, μετρήσουσί τινα ἀριθμὸν οἱ Α, Β, Γ, ἐλάσσονα ὄντα τοῦ Δ. μετρείτωσαν τὸν Ε. ἐπεὶ οὖν οἱ Α, Β, Γ τὸν Ε μετροῦσι, καὶ οἱ Α, Β ἄρα τὸν Ε μετροῦσι· καὶ ὁ ἐλάχιστος ἄρα τοῦ τὰ Α, Β μετρούμενος τὸν Ε μετρήσει. ἐλάχιστος δὴ τοῦ τὰ Α, Β μετρούμενός ἐστιν ὁ Δ· ὁ Δ ἄρα τὸν Ε μετρεῖ, ὁ μείζων τὸν ἐλάσσονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα οἱ Α, Β, Γ μετροῦσί τινα ἀριθμὸν ἐλάσσονα ὄντα τοῦ Δ· οἱ Α, Β, Γ ἄρα ἐλάχιστον τὸν Δ μετροῦσι.

Sumatur enim [per 36. 7.] numerus Δ minimus quem duo A, B metiuntur. itaque Γ vel metitur Δ, vel non metitur. metiatur primum. sed & A, B metiuntur ipsum Δ: ergo A, B, Γ ipsum Δ metientur. dico illum esse minimum. si enim non, metientur A, B, Γ quendam numerum minorem ipso Δ. metiantur E. quoniam igitur A, B, Γ metiuntur ipsum E, & A, B ipsum E metiuntur: ergo [per 37. 7.] & minimus quem metiuntur A, B ipsum E metietur. minimus autem quem metiuntur A, B est Δ: quare Δ metitur ipsum E, major minorem, quod fieri non potest: non igitur A, B, Γ metiuntur aliquem numerum ipso Δ minorem: ergo Δ est minimus quem A, B, Γ metiuntur.

Μὴ μετρείτω δὴ πάλιν ὁ Γ τὸν Δ, καὶ εἰλήφθω τοῦ τῶν Γ, Δ ἐλάχιστος μετρούμενος ἀριθμὸς, ὁ Ε. ἐπεὶ οὖν οἱ Α, Β τὸν Δ μετροῦσιν, ὁ δὲ Δ τὸν Ε μετρεῖ· καὶ οἱ Α, Β ἄρα τὸν Ε μετροῦσι. μετρεῖ δὲ καὶ ὁ Γ τὸν Ε· καὶ οἱ Α, Β, Γ ἄρα τὸν Ε μετροῦσι. λέγω ἔτι καὶ ἐλάχιστον. εἰ γὰρ μή, μετρήσουσί τινα οἱ Α, Β, Γ, ἐλάσσονα ὄντα τοῦ Ε. μετρείτωσαν τὸν Ζ. καὶ ἐπεὶ οἱ Α, Β, Γ τὸν Ζ μετροῦσι· καὶ οἱ Α, Β ἄρα τὸν Ζ μετροῦσι· καὶ ὁ ἐλάχιστος ἄρα τοῦ τὰ Α, Β μετρούμενος τὸ Ζ μετρήσει. ἐλάχιστος δὴ τοῦ τὰ Α, Β μετρούμενός ἐστιν ὁ Δ· ὁ Δ ἄρα τὸν Ζ μετρεῖ. μετρεῖ δὲ καὶ ὁ Γ τὸν Ζ· οἱ Δ, Γ ἄρα τὸν Ζ μετροῦσι· ὥστε καὶ ὁ ἐλάχιστος τοῦ τὰ Δ, Γ μετρούμενος μετρήσει τὸν Ζ. ὁ δὲ ἐλάχιστος τοῦ τὰ Δ, Γ μετρούμενός ἐστιν ὁ Ε· ὁ Ε ἄρα τὸν Ζ μετρεῖ, ὁ μείζων τὸν ἐλάσσονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα οἱ Α, Β, Γ μετροῦσί τινα ἀριθμὸν ἐλάσσονα ὄντα τοῦ Ε· ὁ Ε ἄρα ἐλάχιστος ὢν τοῦ τὰ Α, Β, Γ μετρεῖ. ὅπερ ἔδει δεῖξαι.

Non metiatur autem Γ ipsum Δ, & sumatur [per 36. 7.] minimus numerus E, quem Γ, Δ metiantur. itaque quoniam A, B metiuntur ipsum Δ, Δ vero ipsum E; & A, B ipsum E metientur. metitur autem & Γ ipsum E: ergo A, B, Γ ipsum E metiuntur. dico illum etiam esse minimum. si enim non, metientur A, B, Γ numerum minorem ipso E. metiantur Z. & quoniam A, B, Γ metiuntur Z, & A, B ipsum Z metientur: ergo [per 37. 7.] & minimus quem A, B metiuntur metietur ipsum Z. minimus autem quem A, B metiuntur est Δ: quare Δ ipsum Z metitur. sed & Γ metitur ipsum Z: ergo Δ, Γ ipsum Z metiuntur; ac propterea minimus quem metiuntur Δ, Γ metietur & Z. sed [per constr.] minimus quem metiuntur Δ, Γ, est E: ergo E ipsum Z metitur, major minorem, quod fieri non potest: non igitur A, B, Γ metiuntur aliquem numerum minorem ipso E: ergo numerus E est minimus quem ipsi A, B, Γ metiuntur. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λθ'.

Ἐὰν ἀριθμὸς τοῦ τινος ἀριθμοῦ μερῆται, ὁ μετρούμενος ὁμώνυμον μέρος ἕξει τῷ μερῶντι.

Prop. XXXIX. Theor.

Si numerum numerus aliquis metiatur, ille quem metitur partem habebit à metiente denominatam.

Ἀριθμὸς γὰρ ὁ Α τοῦ τινος ἀριθμοῦ τοῦ Β μετρείσθω· λέγω ὅτι ὁ Α ὁμώνυμον μέρος ἔχει τῷ Β.

Numerum enim A numerus aliquis B metiatur: dico A partem habere ab ipso B denominatam.

Quoties enim B ipſum A metitur, tot unitates ſint in Γ: & quoniam B metitur ipſum A per eas quæ ſunt in Γ unitates; metitur autem & unitas Δ ipſum Γ per unitates quæ in ipſo ſunt: & Δ unitas ipſum Γ numerum æqualiter metietur atque B ipſum A: quare permutando [per 15. 7.] unitas Δ ipſum B numerum æqualiter metietur atque Γ ipſum A: quæ igitur pars eſt unitas Δ ipſius B numeri, eadem pars eſt & Γ ipſius A. ſed unitas Δ ipſius B numeri pars eſt ab eo denominata: ergo & Γ ipſius A pars eſt denominata ab ipſo B: quare A partem habet ſc. Γ ab ipſo B denominatam. quod erat demonſtrandum.

A . . . . . .
B . . .
Γ . . . . .
Δ .

Οσάκις γὰρ ὁ Β τὸν Α μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Γ· καὶ ἐπεὶ ὁ Β τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Γ μονάδας, μετρεῖ δὲ καὶ ἡ Δ μονὰς τὸν Γ ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Δ μονὰς τὸν Γ ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Α· ἐναλλὰξ ἄρα ἰσάκις ἡ Δ μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Γ τὸν Α· ὁ ἄρα μέρος ἐστὶν ἡ Δ μονὰς τοῦ Β ἀριθμοῦ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Α. ἡ δὲ Δ μονὰς τοῦ Β ἀριθμοῦ μέρος ἐστὶν ὁμώνυμον αὐτοῦ· καὶ ὁ Γ ἄρα τοῦ Α μέρος ἐστὶν ὁμώνυμον τῷ Β· ὥστε ὁ Α μέρος ἔχει τὸ Γ ὁμώνυμον ὄντα τῷ Β. ὅπερ ἔδει δεῖξαι.

Prop. XL. Theor.

Si numerus partem quamcumque habeat, eum numerus à parte denominatus metietur.

NUmerus enim A partem habeat quamcumque B, & ab ipſa parte B denominatus ſit numerus Γ: dico Γ ipſum A metiri

Quoniam enim B ipſius A pars eſt & denominata ab ipſo Γ, eſt autem & unitas Δ ipſius Γ numeri pars ab ipſo denominata: quæ igitur pars eſt unitas Δ ipſius Γ numeri eadem pars eſt & B ipſius A: ergo unitas Δ æqualiter metitur ipſum Γ numerum atque B ipſum A; & permutando [per 15. 7.] unitas Δ ipſum B numerum æqualiter metitur atque Γ ipſum A: ergo Γ ipſum A metitur. quod erat demonſtrandum.

A . . . . . .
B . .
Γ . . . . . .
Δ .

ΠΡΟΤΑΣΙΣ μ'.

Ἐὰν ἀριθμὸς μέρος ἔχῃ ὁποιονοῦν, τοῦτο ὁμωνύμου ἀριθμοῦ μετρηθήσεται τῷ μέρει.

Ἀριθμὸς γὰρ ὁ Α μέρος ἐχέτω ὁποιονοῦν τὸ Β, καὶ τῷ Β μέρει ὁμώνυμος ἔστω ἀριθμὸς ὁ Γ· λέγω ὅτι ὁ Γ τὸν Α μετρεῖ.

Ἐπεὶ γὰρ ὁ Β τοῦ Α μέρος ἐστὶ καὶ ὁμώνυμον τῷ Γ, ἔστι δὲ καὶ ἡ Δ μονὰς τοῦ Γ μέρος ὁμώνυμον αὐτοῦ· ὁ ἄρα μέρος ἐστὶν ἡ Δ μονὰς τοῦ Γ ἀριθμοῦ τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Β τοῦ Α· ἰσάκις ἄρα ἡ Δ μονὰς τὸν Γ ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Α· ἐναλλὰξ ἄρα ἰσάκις ἡ Δ μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Γ τὸν Α· ὁ Γ ἄρα τὸν Α μετρεῖ. ὅπερ ἔδει δεῖξαι.

Prop. XLI. Probl.

Numerum invenire, qui minimus cum ſit datas partes habeat.

SInt datæ partes A, B, Γ: oportet numerum invenire, qui cum minimus ſit habeat datas partes A, B, Γ.

Sint ab ipſis A, B, Γ partibus denominati numeri Δ, E, Z, & ſumatur [per 38. 7.] minimus numerus H, quem ipſi Δ, E, Z metiuntur. quoniam igitur Δ, E, Z metiuntur ipſum H; habebit [per 39. 7.] H partes ab ipſis Δ, E, Z denominatas. partes autem denominatæ ab ipſis Δ, E, Z [per conſtr.] ſunt A, B, Γ; ergo H partes A, B, Γ habet. dico & minimum eſſe. ſi enim H non ſit minimus, partes habens A, B, Γ, erit numerus aliquis minor ipſo H, qui eaſdem partes habeat. ſit Θ. quoniam igitur Θ partes habet A, B, Γ; eum [per 40. 7.] metientur numeri ab ipſis A, B, Γ partibus denominati. ſunt autem hi numeri Δ, E, Z: ergo Δ, E, Z ipſum Θ metientur minorem ipſo H, quod [per conſtr.] fieri non poteſt: non igitur erit aliquis numerus minor ipſo H, qui partes A, B, Γ habeat. quod erat demonſtrandum.

A 1/2
B 1/3
Γ 1/4
H . . . . . .
Θ ----------

ΠΡΟΤΑΣΙΣ μα'.

Ἀριθμὸν εὑρεῖν, ὃς ἐλάχιστος ὢν ἕξει τὰ δοθέντα μέρη.

Ἔστω τὰ δοθέντα μέρη τὰ Α, Β, Γ· δεῖ δὴ ἀριθμὸν εὑρεῖν, ὃς ἐλάχιστος ὢν ἕξει τὰ δοθέντα μέρη τὰ Α, Β, Γ.

Ἐστωσαν τοῖς Α, Β, Γ μέρεσιν ὁμώνυμοι ἀριθμοί, οἱ Δ, Ε, Ζ, καὶ εἰλήφθω ὁ τοῦ τῶν Δ, Ε, Ζ ἐλάχιστος μετρούμενος ἀριθμός, ὁ Η. ἐπεὶ οὖν ὁ Η τοῦ τῶν Δ, Ε, Ζ μετρεῖται, ὁ Η ὁμώνυμα μέρη ἔχει τοῖς Δ, Ε, Ζ. τοῖς δὲ Δ, Ε, Ζ ὁμώνυμα μέρη ἐστὶ τὰ Α, Β, Γ· ὁ Η ἄρα ἔχει τὰ Α, Β, Γ μέρη. λέγω δὴ ὅτι ἐλάχιστος ὤν. εἰ γὰρ μὴ ὁ Η ἐλάχιστος ὢν ἔχει τὰ Α, Β, Γ μέρη, ἔσται δή τις Η ἐλάσσων ἀριθμὸς ὃς ἕξει τὰ Α, Β, Γ μέρη. ἔστω ὁ Θ. ἐπεὶ ὁ Θ ἔχει τὰ Α, Β, Γ μέρη· ὁ Θ ἄρα τοῦ ὁμωνύμων ἀριθμῶν μετρηθήσεται τοῖς Α, Β, Γ μέρεσι. τοῖς δὲ Α, Β, Γ μέρεσιν ὁμώνυμοι ἀριθμοί εἰσιν οἱ Δ, Ε, Ζ· ὁ Θ ἄρα τοῦ τῶν Δ, Ε, Ζ μετρεῖται, καὶ ἔστιν ἐλάσσων ὁ Η, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἔσται τις τοῦ Η ἐλάσσων ἀριθμὸς, ὃς ἕξει τὰ Α, Β, Γ μέρη. ὅπερ ἔδει δεῖξαι.

ΕΥΚΛΕΙ-

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

EUCLIDIS
ELEMENTORUM
LIBER OCTAVUS.

ΠΡΟΤΑΣΙΣ α'.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, οἱ δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν· ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

ΕΣΤΩΣΑΝ ὁποσοιῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, οἱ Α, Β, Γ, Δ, οἱ δὲ ἄκροι αὐτῶν οἱ Α, Δ πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν· λέγω ὅτι οἱ Α, Β, Γ, Δ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Εἰ γὰρ μή, ἔστωσαν ἐλάττονες τῶν Α, Β, Γ, Δ οἱ Ε, Ζ, Η, Θ ἐν τῷ αὐτῷ λόγῳ ὄντες αὐτοῖς. καὶ ἐπεὶ οἱ Α, Β, Γ, Δ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ τοῖς Ε, Ζ, Η, Θ, καὶ ἔστιν ἴσον τὸ πλῆθος τῶν

Α, Β, Γ, Δ τῷ πλήθει τῶν Ε,	Α, *8.	Β, 12.	Γ, 18.	Δ, 27.
Ζ, Η, Θ· δίστε ἄρα ἐστὶν ὡς ὁ Α	Ε —	Ζ —	Η —	Θ —

πρὸς τὸν Δ οὕτως ὁ Ε πρὸς τὸν Θ.

οἱ δὲ Α, Δ πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὅ τε ἡγούμενος τὸν ἡγούμενον, καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Α τὸν Ε, ὁ μείζων τὸν ἐλάσσονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα οἱ Ε, Ζ, Η, Θ ἐλάσσονες ὄντες τῶν Α, Β, Γ, Δ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶν αὐτοῖς· οἱ Α, Β, Γ, Δ ἄρα ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς. ὅπερ ἔδει δεῖξαι.

Prop. I. Theor.

Si ſint quotcunque numeri deinceps proportionales, quorum extremi ſint inter ſe primi; minimi erunt omnium eandem cum ipſis rationem habentium.

SINT quotcunque numeri deinceps proportionales A, B, Γ, Δ, quorum extremi A, Δ primi inter ſe ſint: dico A, B, Γ, Δ minimos eſſe omnium eandem cum ipſis rationem habentium.

Si enim non, ſint minores ipſis A, B, Γ, Δ numeri E, Z, H, Θ & in eadem ratione. & quoniam A, B, Γ, Δ ſunt in eadem ratione in qua E, Z, H, Θ, atque eſt ipſorum A, B, Γ, Δ multitudo æqualis multitudini ipſorum E, Z, H, Θ: erit ex æquo [per 14. 7.] ut A ad Δ ita E ad Θ. & ſunt A, Δ primi; primi autem & minimi numeri æqualiter metiuntur eos qui eandem rationem habent, [per 21. 7.] antecedens antecedentem & conſequens conſequentem: ergo A ipſum E metitur, major minorem, quod fieri non poteſt: non igitur E, Z, H, Θ minores ipſis A, B, Γ, Δ exiſtentes in eadem ſunt ratione cum ipſis: ac propterea A, B, Γ, Δ minimi ſunt omnium eandem cum ipſis rationem habentium. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ β'.

Ἀριθμοὺς εὑρεῖν ἐξῆς ἀνάλογον ἐλαχίστους, ὁσουσδηποτοῦν ὑπὸ τοσούτων, ἐν τῷ δοθέντι λόγῳ.

ΕΣΤΩ ὁ δοθεὶς λόγος ἐν ἐλαχίστοις ἀριθμοῖς, ὁ ὃν Α πρὸς τὸν Β· δεῖ δὴ ἀριθμοὺς εὑρεῖν ἐξῆς

Prop. II. Probl.

Numeros invenire deinceps proportionales minimos, quotcunque quis imperaverit, in data ratione.

SIT data ratio in minimis numeris, ea ſc. quam habet A ad B: oportet numeros invenire dein-

* *In hoc & ſequenti libro Literis adjecimus numeros illis reſpondentes; ne ingens punctorum multitudo, quandoque ex neceſſitate adhibenda, moleſtiam crearet lectoribus.*

ceps

ceps proportionales minimos, quotcumque quis imperaverit, in ratione A ad B.

Imperentur quatuor, & A ſeipſum multiplicans faciat Γ, multiplicans vero B faciat Δ, & B ſeipſum multiplicans faciat E; & adhuc A multiplicans Γ, Δ, E ipſos Z, H, Θ faciat, B vero multiplicans E faciat K.

Quoniam igitur A ſeipſum multiplicans fecit Γ, multiplicans vero B ipſum Δ fecit, numerus A duos numeros A, B multiplicans fecit Γ, Δ: eſt igitur [per 17. 7.] ut A ad B ita Γ ad Δ. rurſus, quoniam A ipſum B multiplicans fecit Δ, & B ſeipſum multiplicans fecit E; uterque ipſorum A, B multiplicans B utrumque ipſorum Δ, E fecit: ut igitur A ad B ita [per 18. 7.] Δ ad E. ſed ut A ad B, ita Γ ad Δ: ergo & ut Γ ad Δ ita Δ ad E. & quoniam A numeros Γ, Δ multiplicans ipſos Z, H fecit: ut Γ ad Δ ita erit Z ad H. ut autem Γ ad Δ ita erat A ad B: & igitur ut A ad B ita Z ad H. rurſus, quoniam A numeros Δ, E multiplicans fecit H, Θ: erit ut Δ ad E ita H ad Θ. ſed ut Δ ad E ita A ad B: ergo & ut A ad B ita H ad Θ. & quoniam A, B ipſum E multiplicantes fecerunt Θ, K; erit ut A ad B ita Θ ad K. oſtenſum autem eſt & ut A ad B ita eſſe & Z ad H & H ad Θ: ergo ut Z ad H ita H ad Θ & Θ ad K: numeri igitur Γ, Δ, E & etiam Z, H, Θ, K proportionales ſunt in ratione quam habet A ad B. dico etiam & minimos eſſe. quoniam enim [ex hyp.] A, B minimi ſunt omnium eandem cum ipſis rationem habentium; minimi vero eandem cum ipſis rationem habentium [per 23. 7.] & primi ſunt inter ſe: erunt ipſi A, B inter ſe primi. & uterque quidem ipſorum A, B ſeipſum multiplicans utrumque Γ, E fecit; utrumque vero Γ, E multiplicans fecit utrumque Z, K: ergo [per 29. 7.] Γ, E & Z, K primi inter ſe ſunt. ſi autem ſint quotcunque numeri deinceps proportionales, & eorum extremi ſint inter ſe primi; [per 1. 8.] minimi erunt omnium eandem cum ipſis rationem habentium: ergo & Γ, Δ, E & etiam Z, H, Θ, K minimi ſunt omnium eandem cum ipſis A, B rationem habentium. quod erat demonſtrandum.

A, 2.	B, 3.		
Γ, 4.	Δ, 6.	E, 9.	
Z, 8.	H, 12.	Θ. 18.	K, 27.

Corollarium.

Ex hoc manifeſtum eſt, ſi tres numeri deinceps proportionales minimi fuerint omnium eandem cum ipſis rationem habentium, extremos eorum quadratos eſſe; ſi vero quatuor, eſſe cubos.

PROP. III. THEOR.

Si ſint quotcunque numeri deinceps pro-

ἀνάλογον ἐλαχίστοι, ὅσοι ἄν τις ὑπαρίθμῳ, ἐν τῷ δοθέντι τῶν A πρὸς τὸν B λόγῳ.

Ἐπιτεταχθωσαν δὴ πλείονες τῶν δύο ἀριθμοὶ ἐξῆς ἀνάλογον οἱ A, B, Γ, Δ, E ἐλάχιστοι τοσοῦτοι ὄντες ὅσοι ἐπιτέτακται ἐν τῷ δοθέντι λόγῳ τῶν A πρὸς τὸν B· λέγω ὅτι οἱ A, B, Γ, Δ, E τοῦ αὐτοῦ λόγου ἐλάχιστοί εἰσι τοσοῦτοι ὄντες ὅσοι ἐπιτέτακται ἐν τῷ δοθέντι λόγῳ τῶν A πρὸς τὸν B.

Εἰλήφθωσαν γὰρ τρεῖς μὲν ἀριθμοὶ ἐξῆς ἀνάλογον οἱ Z, H, Θ ἐλάχιστοι τοῦ αὐτοῦ λόγου ὄντες τοῖς A, B, ὥστε τὸν μὲν A τὸν ἑαυτὸν πολλαπλασιάσαντα τὸν Γ ποιεῖν, τὸν δὲ B πολλαπλασιάσαντα τὸν Δ ποιεῖν, καὶ ἔτι τὸν B ἑαυτὸν πολλαπλασιάσαντα τὸν E ποιεῖν, καὶ ἔτι τὸν A τοὺς Γ, Δ, E πολλαπλασιάσαντας τοὺς Z, H, Θ ποιεῖν, τὸν δὲ B τὸν E πολλαπλασιάσαντα τὸν K ποιεῖν.

Καὶ ἐπεὶ ὁ A ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Γ πεποίηκε, τὸν δὲ B πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ἀριθμὸς δὴ ὁ A δύο τοὺς A, B πολλαπλασιάσας τοὺς Γ, Δ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ Γ πρὸς τὸν Δ. πάλιν, ἐπεὶ ὁ A τὸν B πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ δὲ B ἑαυτὸν πολλαπλασιάσας τὸν E πεποίηκεν· ἑκάτερος ἄρα τῶν A, B τὸν B πολλαπλασιάσας ἑκάτερον τῶν Δ, E πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ Δ πρὸς τὸν E. ἀλλ' ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Δ πρὸς τὸν E. Καὶ ἐπεὶ ὁ A τοὺς Γ, Δ πολλαπλασιάσας τοὺς Z, H πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Z πρὸς τὸν H. ὡς δὲ ὁ Γ πρὸς τὸν Δ οὕτως ἐδείχθη ὁ A πρὸς τὸν B· καὶ ὡς ἄρα ὁ A πρὸς τὸν B οὕτως ὁ Z πρὸς τὸν H. πάλιν, ἐπεὶ ὁ A τοὺς Δ, E πολλαπλασιάσας τοὺς H, Θ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν E οὕτως ὁ H πρὸς τὸν Θ. ἀλλ' ὡς ὁ Δ πρὸς τὸν E οὕτως ὁ A πρὸς τὸν B· καὶ ὡς ἄρα ὁ A πρὸς τὸν B οὕτως ὁ H πρὸς τὸν Θ. καὶ ἐπεὶ οἱ A, B τὸν E πολλαπλασιάσαντες τοὺς Θ, K πεποιήκασιν· ἔστιν ἄρα ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ Θ πρὸς τὸν K. ἐδείχθη δὲ καὶ ὡς ὁ A πρὸς τὸν B οὕτως ὅ, τε Z πρὸς τὸν H καὶ ὁ H πρὸς τὸν Θ· καὶ ὡς ἄρα ὁ Z πρὸς τὸν H οὕτως ὅ, τε H πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν K· οἱ Γ, Δ, E ἄρα καὶ οἱ Z, H, Θ, K ἀνάλογόν εἰσιν, ἐν τῷ δοθέντι τῶν A πρὸς τὸν B λόγῳ. λέγω δὴ ὅτι καὶ ἐλάχιστοι. ἐπεὶ γὰρ οἱ A, B ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ δὲ ἐλάχιστοι τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς πρῶτοι πρὸς ἀλλήλους εἰσίν· οἱ A, B ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἑκάτερος μὲν τῶν A, B ἑαυτὸν πολλαπλασιάσας ἑκάτερον τῶν Γ, E πεποίηκεν, ἑκάτερον δὲ τῶν Γ, E πολλαπλασιάσας ἑκάτερον τῶν Z, K πεποιήκεν· οἱ Γ, E ἄρα καὶ οἱ Z, K πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐὰν δὲ ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, οἱ δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· οἱ Γ, Δ, E ἄρα καὶ οἱ Z, H, Θ, K ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς A, B. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν τρεῖς ἀριθμοὶ ἐξῆς ἀνάλογον ἐλάχιστοι ὦσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ ἄκροι αὐτῶν τετράγωνοί εἰσιν· ἐὰν δὲ τέσσαρες, κύβοι.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, ἐλάχιστοι

ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγων ἐχόντων αὐτοῖς· οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

portionales, minimi omnium eandem cum ipſis rationem habentium; eorum extremi primi inter ſe erunt.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ Α, Β, Γ, Δ· λέγω ὅτι οἱ ἄκροι αὐτῶν οἱ Α, Δ πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰλήφθωσαν γὰρ δύο ἀριθμοὶ μὲν ἐλάχιστοι ἐν τῷ τῶν Α, Β, Γ, Δ λόγῳ, οἱ Ε, Ζ, τρεῖς δὲ οἱ Η, Θ, Κ, καὶ αἰεὶ ἑξῆς ἑνὶ πλείους, ἕως ὃ τὸ λαμβανόμενον πλῆθος ἴσον γένηται τῷ πλήθει τῶν Α, Β, Γ, Δ. εἰλήφθωσαν, καὶ ἔστωσαν οἱ Λ, Μ, Ν, Ξ.

Sint quotcunque numeri deinceps proportionales Α, Β, Γ, Δ, minimi omnium eandem cum ipſis rationem habentium: dico eorum extremos Α, Δ inter ſe primos eſſe.

Sumantur enim [per 2. 8.] duo numeri minimi in ratione ipſorum Α, Β, Γ, Δ, qui ſint Ε, Ζ, tres vero Η, Θ, Κ, & ſemper deinceps uno plures, quoad aſſumpta multitudo æqualis fuerit multitudini ipſorum Α, Β, Γ, Δ. ſumantur & ſint Λ, Μ, Ν, Ξ.

Α, 8. Β, 12. Γ, 18. Δ, 27.
Ε, 2. Ζ, 3.
Η, 4. Θ, 6.
Κ, 9.
Λ, 8. Μ, 12. Ν. 18. Ξ, 27.

Οἱ ἄρα ἄκροι αὐτῶν οἱ Λ, Ξ πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐπεὶ γὰρ οἱ Ε, Ζ πρῶτοί εἰσιν, ἑκάτερος δὲ αὐτῶν ἑαυτὸν πολλαπλασιάσας ἑκάτερον τῶν Η, Κ πεποίηκεν, ἑκάτερον δὲ τῶν Η, Κ πολλαπλασιάσας τὸν ἕτερον τῶν Λ, Ξ πεποίηκεν· οἱ Η, Κ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσὶ καὶ οἱ Λ, Ξ. καὶ ἐπεὶ οἱ Α, Β, Γ, Δ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, εἰσὶ δὲ καὶ οἱ Λ, Μ, Ν, Ξ ἐλάχιστοι ἐν τῷ αὐτῷ λόγῳ ὄντες τοῖς Α, Β, Γ, Δ, καὶ ἔστιν ἴσον τὸ πλῆθος τῶν Α, Β, Γ, Δ τῷ πλήθει τῶν Λ, Μ, Ν, Ξ· ἕκαστος ἄρα τῶν Α, Β, Γ, Δ ἑκάστῳ τῶν Λ, Μ, Ν, Ξ ἴσος ἐστίν· ἴσος ἄρα ἐστὶν ὁ μὲν Α τῷ Λ, ὁ δὲ Δ τῷ Ξ. καὶ ἐπεὶ οἱ Λ, Ξ πρῶτοι πρὸς ἀλλήλους εἰσίν, ἴσος δὲ ὁ μὲν Λ τῷ Α, ὁ δὲ Ξ τῷ Δ· καὶ οἱ Α, Δ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

Extremi igitur ipſorum Α, Ξ primi inter ſe ſunt. quoniam enim Ε, Ζ primi inter ſe ſunt, & uterque ipſorum ſeipſum multiplicans utrumque Η, Κ fecit; utrumque vero Η, Κ multiplicans fecit utrumque Λ, Ξ: erunt [per 29. 7.] & Η, Κ & Λ, Ξ primi. & quoniam Α, Β, Γ, Δ minimi ſunt eorum eandem cum ipſis rationem habentium; ſunt autem & Λ, Μ, Ν, Ξ minimi in eadem ratione in qua Α, Β, Γ, Δ; eſtque ipſorum Α, Β, Γ, Δ multitudo æqualis multitudini ipſorum Λ, Μ, Ν, Ξ: erit unuſquiſque ipſorum Α, Β, Γ, Δ unicuique ipſorum Λ, Μ, Ν, Ξ æqualis: ergo Α quidem eſt æqualis Λ, & Δ ipſi Ξ. & quoniam Λ, Ξ primi ſunt inter ſe, Λ vero ipſi Α æqualis, & Ξ ipſi Δ; & Α, Δ inter ſe primi erunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ δ'.

Λόγων δοθέντων ὁποσωνοῦν ἐν ἐλαχίστοις ἀριθμοῖς, ἀριθμοὺς εὑρεῖν ἑξῆς ἐλαχίστους ἐν τοῖς δοθεῖσι λόγοις.

PROP. IV. PROBL.

Rationibus datis quotcunque in minimis numeris, numeros invenire deinceps minimos in datis rationibus.

Ἔστωσαν οἱ δοθέντες λόγοι ἐν ἐλαχίστοις ἀριθμοῖς, ὅ τε τοῦ Α πρὸς τὸν Β, καὶ ὁ τοῦ Γ πρὸς τὸν Δ, καὶ ἔτι ὁ τοῦ Ε πρὸς τὸν Ζ· δεῖ δὴ ἀριθμοὺς εὑρεῖν ἑξῆς ἐλαχίστους, ἔντα τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ, καὶ ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ, καὶ ἔτι ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ.

Sint datæ rationes in minimis numeris, videlicet ratio Α ad Β, & ratio Γ ad Δ, & ratio Ε ad Ζ: oportet numeros invenire deinceps minimos in ratione Α ad Β, & in ratione Γ ad Δ; & adhuc in ratione Ε ad Ζ.

Εἰλήφθω γὰρ ὁ τῶν τοῦ Β, Γ ἐλάχιστος μετρούμενος ἀριθμὸς, ὁ Η. καὶ ὁσάκις μὲν ὁ Β τὸν Η μετρεῖ τοσαυτάκις ὁ Α τὸν Θ μετρείτω, ὁσάκις δὲ ὁ Γ τὸν Η μετρεῖ τοσαυτάκις ὁ Δ τὸν Κ μετρείτω· ὁ δὲ Ε τὸν Κ ἤτοι μετρεῖ, ἢ οὐ μετρεῖ. μετρείτω πρότερον. καὶ ὁσάκις ὁ Ε τὸν Κ μετρεῖ τοσαυτάκις καὶ ὁ Ζ τὸν Λ μετρείτω. καὶ ἐπεὶ ὁσάκις ὁ Α τὸν Θ μετρεῖ καὶ ὁ Β τὸν Η· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Θ πρὸς τὸν Η. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Η πρὸς τὸν Κ, καὶ ἔτι ὡς ὁ Ε πρὸς τὸν Ζ οὕτως ὁ Κ πρὸς τὸν Λ· οἱ Θ, Η, Κ, Λ ἄρα ἑξῆς εἰσιν ἔντα τῷ τοῦ Α πρὸς τὸν Β, καὶ ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ, καὶ ἔτι ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγῳ. λέγω δὴ ὅτι καὶ ἐλάχιστοι.

Sumatur enim [per 36. 7.] minimus numerus, quem Β, Γ metiuntur; ſitque Η. & quoties Β metitur Η toties Α ipſum Θ metiatur: quoties vero Γ ipſum Η metitur toties & Δ metiatur Κ: itaque Ε ipſum Κ vel metitur, vel non metitur. metiatur primum. & quoties Ε metitur Κ, toties Ζ ipſum Λ metiatur. & quoniam Α æqualiter metitur Θ atque Β ipſum Η; erit [per 13. 7.] ut Α ad Β ita Θ ad Η. eadem ratione & ut Γ ad Δ ita Η ad Κ, & adhuc ut Ε ad Ζ ita Κ ad Λ: ergo Θ, Η, Κ, Λ deinceps proportionales ſunt in ratione Α ad Β, & in ratione Γ ad Δ, & adhuc in ratione Ε ad Ζ. dico etiam minimos eſſe. ſi

Α, 2. Β, 5. Γ, 3. Δ, 4. Ε, 5, Ζ, 6.
Θ, 6. Η, 15. Κ, 20. Λ, 24.
Ν --- Ξ —— Μ —— Ο ——

enim non ſint Θ, H, K, Λ deinceps minimi in rationibus A ad B, & Γ ad Δ, & E ad Z; erunt aliqui numeri minores ipſis Θ, H, K, Λ deinceps minimi in rationibus A ad B, & Γ ad Δ, & E ad Z. ſint N, Ξ, M, O. & quoniam eſt ut A ad B ita N ad Ξ; & ſunt A, B minimi; minimi autem eos qui eandem habent rationem [per 21. 7.] æqualiter metiuntur, major majorem & minor minorem, hoc eſt antecedens antecedentem & conſequens conſequentem: metietur B ipſum Ξ. eadem ratione & Γ ipſum Ξ metietur: quare B, Γ metiuntur Ξ: ac propterea [per 37. 7.] minimus, quem metiuntur B, Γ, ipſum Ξ metietur. minimus autem quem metiuntur B, Γ [ex hyp.] eſt H: ergo H metietur Ξ, major minorem, quod fieri non poteſt: non igitur erunt aliqui numeri minores ipſis Θ, H, K, Λ deinceps minimi in rationibus A ad B, & Γ ad Δ, & E ad Z.

A, 2.	B, 3.	Γ, 3.	Δ, 4.	E, 3.	Z, 6.
Θ, 6.	H, 15.	K, 20.	Λ, 24.
N —	Ξ ——	M ——	O ———

Sed non metiatur E ipſum K. & ſumatur [per 36. 7.] minimus numerus, quem ipſi B, K metiuntur; ſitque M. quoties autem K metitur M toties & uterque ipſorum Θ, H utrumque N, Ξ metiatur, & quoties E metitur M toties & Z metiatur O. quoniam igitur Θ ipſum N æqualiter metitur atque H ipſum Ξ; erit [per 13. 7.] ut Θ ad H ita N ad Ξ. ut autem Θ ad H ita A ad B: & igitur ut A ad B ita N ad Ξ. eadem ratione & ut Γ ad Δ ita Ξ ad M. rurſus, quoniam E ipſum M æqualiter metitur atque Z ipſum O; erit ut E ad Z ita M ad O: quare N, Ξ, M, O deinceps proportionales ſunt in rationibus A ad B, & Γ ad Δ, & E ad Z. dico minimos quoque eſſe. ſi enim non ſint N, Ξ, M, O deinceps minimi in rationibus A ad B, & Γ ad Δ, & E ad Z, erunt aliqui numeri minores ipſis N, Ξ, M, O deinceps minimi in rationibus A ad B, & Γ ad Δ, & E ad Z. ſint Π, P, Σ, T. & cum ſit ut Π ad P ita A ad B; ſintque A, B minimi; minimi vero eos qui eandem habent rationem [per 21. 7.] æqualiter metiuntur, antecedens antecedentem & conſequens conſequentem: numerus B ipſum P metietur. eadem ratione & Γ metietur ipſum P: ergo B, Γ ipſum P metiuntur: & ob id [per 37. 7.] minimus, quem metiuntur B, Γ, ipſum P metietur. minimus autem, quem metiuntur B, Γ, eſt H: ergo H metitur ipſum P. atque eſt [per 13. 7.] ut H ad P ita K ad Σ: quare [per 20. def. 7.] & K ipſum Σ metitur. metitur autem & E ipſum Σ; ideoque E, K ipſum Σ metiuntur: & minimus igitur, quem metiuntur E, K, metietur ipſum Σ. ſed minimus, quem metiuntur E, K, [ex hyp.] eſt M: ergo M ipſum Σ metietur, major minorem, quod fieri non poteſt: non

A 4.	B, 5.	Γ, 2.	Δ, 3.	E, 4.	Z, 3.
Θ, 8.	H, 10.	K, 15.
N, 32.	Ξ, 40.	M, 60.	O, 45.
Π —	P —	Σ —	T —

εἰ γὰρ μή εἰσιν οἱ Θ, H, K, Λ ἑξῆς ἐλάχιστοι, ἔστω τοῖς τὸ Α πρὸς τὸν Β, καὶ τὸ Γ πρὸς τὸν Δ, καὶ ἔτι τὸ Ε πρὸς τὸν Ζ λόγοις, ἔσονταί τινες τῶν Θ, H, K, Λ ἐλάσσονες ἀριθμοὶ ἐν τοῖς τὸ Α πρὸς τὸν Β, καὶ τὸ Γ πρὸς τὸν Δ, καὶ ἔτι τὸ Ε πρὸς τὸν Ζ λόγοις. ἔστωσαν οἱ N, Ξ, M, O. καὶ ἐπεί ἐστιν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ N πρὸς τὸν Ξ, οἱ δὲ Α, Β ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὅ, τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάττων τὸν ἐλάττονα, τουτέστιν ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ὁ Β ἄρα τὸν Ξ μετρεῖ. Διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν Ξ μετρεῖ· οἱ Β, Γ ἄρα τὸν Ξ μετροῦσιν, καὶ ὁ ἐλάχιστος ἄρα τῶν τὸν αὐτὸν Β, Γ μετρούμενος τὸ Ξ μετρήσει. ἐλάχιστος δὲ τῶν τὸν Β, Γ μετρούμενός ἐστιν ὁ H· ὁ H ἄρα τὸν Ξ μετρεῖ, ὁ μείζων τὸ ἐλάττονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἔσονταί τινες τῶν Θ, H, K, Λ ἐλάσσονες ἀριθμοὶ ἐν τοῖς τὸ Α πρὸς τὸν Β, καὶ ἐν τῷ τὸ Γ πρὸς τὸν Δ, καὶ ἔτι ἐν τῷ τὸ Ε πρὸς τὸν Ζ λόγῳ.

Μὴ μετρείτω δὴ ὁ Ε τὸν K. καὶ εἰλήφθω ὁ τῶν τὸν Ε, K ἐλάχιστος μετρούμενος ἀριθμὸς, ὁ M. καὶ ὁσάκις μὲν ὁ K τὸν M μετρεῖ τοσαυτάκις καὶ ἑκάτερος τῶν Θ, H ἑκάτερον τῶν N, Ξ μετρείτω, ὁσάκις δὲ ὁ Ε τὸν M μετρεῖ τοσαυτάκις καὶ ὁ Ζ τὸν O μετρείτω. καὶ ἐπεὶ ἰσάκις ὁ Θ τὸν N μετρεῖ καὶ ὁ H τὸν Ξ· ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν H οὕτως ὁ N πρὸς τὸν Ξ. ὡς δὲ ὁ Θ πρὸς τὸν H οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β οὕτως ὁ N πρὸς τὸν Ξ. Διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Ξ πρὸς τὸν M. πάλιν, ἐπεὶ ἰσάκις ὁ Ε τὸν M μετρεῖ καὶ ὁ Ζ τὸν O, ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸ Ζ οὕτως ὁ M πρὸς τὸν O· οἱ N, Ξ, M, O ἄρα ἑξῆς εἰσιν ἐν τοῖς τὸ Α πρὸς τὸν Β, καὶ τὸ Γ πρὸς τὸν Δ, καὶ τὸ Ε πρὸς τὸν Ζ λόγοις. λέγω δὴ ὅτι καὶ ἐλάχιστοι. εἰ γὰρ μή εἰσιν οἱ N, Ξ, M, O ἑξῆς ἐλάχιστοι ἐν τοῖς Α, Β, Γ, Δ, Ε, Ζ λόγοις, ἔσονταί τινες τῶν N, Ξ, M, O ἐλάττονες ἀριθμοὶ ἑξῆς ἐν τοῖς Α, Β, Γ, Δ, Ε, Ζ λόγοις. ἔστωσαν οἱ Π, P, Σ, T. καὶ ἐπεί ἐστιν ὡς ὁ Π πρὸς τὸν P οὕτως ὁ Α πρὸς τὸν Β, οἱ δὲ Α, Β ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις, ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ὁ Β ἄρα τὸν P μετρεῖ. Διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν P μετρεῖ· οἱ Β, Γ ἄρα τὸν P μετροῦσι· καὶ ὁ ἐλάχιστος ἄρα τῶν τὸν Β, Γ μετρούμενος τὸν P μετρήσει. ἐλάχιστος δὲ τῶν τὸν Β, Γ μετρούμενός ἐστιν ὁ H· ὁ H ἄρα τὸν P μετρεῖ. καί ἐστιν ὡς ὁ H πρὸς τὸν P οὕτως ὁ K πρὸς τὸν Σ· καὶ ὁ K ἄρα τὸν Σ μετρεῖ. μετρεῖ δὲ καὶ ὁ Ε τὸν Σ· οἱ Ε, K ἄρα τὸν Σ μετροῦσι· καὶ ὁ ἐλάχιστος ἄρα τῶν τὸν Ε, K μετρούμενος τὸν Σ μετρήσει. ἐλάχιστος δὲ τῶν τὸν Ε, K μετρούμενός ἐστιν ὁ M· ὁ M ἄρα τὸν Σ μετρεῖ, ὁ μείζων τὸν ἐλάττονα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ

ἄρα

ἄρα ἔσονταί τινες τῶν N, Ξ, M, O ἐλάσσονες ἀριθμοὶ ἐξῆς ἐν τοῖς Δ πρὸς τὸν B καὶ Δ Γ πρὸς τὸν Δ καὶ ἐν τῷ E πρὸς τὸν Z λόγοις· οἱ N, Ξ, M, O ἄρα ἐξῆς ἐλάχιστοί εἰσιν ἐν τοῖς A, B, Γ, Δ, E, Z λόγοις. ὅπερ ἔδει δεῖξαι.

igitur erunt aliqui numeri minores ipſis N, Ξ, M, O deinceps minimi in rationibus A ad B & Γ ad Δ & E ad Z; ergo N, Ξ, M, O deinceps minimi ſunt in rationibus A ad B & Γ ad Δ & E ad Z. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ε'.

Οἱ ἐπίπεδοι ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσιν, ὃν τετράγωνος πρὸς τετράγωνον.

PROP. V. THEOR.

Plani numeri inter ſe rationem habent * ex lateribus compoſitam.

Ἔστωσαν ἐπίπεδοι ἀριθμοὶ οἱ A, B, καὶ τοῦ μὲν A πλευραὶ ἔστωσαν οἱ Γ, Δ ἀριθμοί, τοῦ δὲ B οἱ E, Z· λέγω ὅτι ὁ A πρὸς τὸν B λόγον ἔχει ὃν τετράγωνος πρὸς τετράγωνον.

Λόγων γὰρ δοθέντων, τοῦτον ὃν ἔχει ὁ Γ πρὸς τὸν E καὶ ὁ Δ πρὸς τὸν Z, εἰλήφθωσαν ἀριθμοὶ ἐξῆς ἐλάχιστοι ἐν τοῖς Γ, E, Δ, Z λόγοις, οἱ H, Θ, K, ὥστε εἶναι ὡς μὲν τὸν Γ πρὸς τὸν E οὕτως τὸν H πρὸς τὸν Θ, ὡς δὲ τὸν Δ πρὸς τὸν Z οὕτως τὸν Θ πρὸς τὸν K. [† οἱ ἄρα H, Θ, K πρὸς ἀλλήλους ἔχουσι τοὺς τῶν πλευρῶν λόγους. ἀλλ' ὁ τοῦ H πρὸς τὸν K λόγος σύγκειται ἔκ τε τοῦ τοῦ H πρὸς τὸν Θ καὶ τοῦ τοῦ Θ πρὸς τὸν K· ὁ H ἄρα πρὸς τὸν K λόγον ἔχει τὸν συγκείμενον ἔκ τῶν πλευρῶν· λέγω δή, ὅτι ἐστὶν ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ H πρὸς τὸν K.] ὁ Δ γὰρ τὸν E πολλαπλασιάσας τὸν Λ ποιείτω. καὶ ἐπεὶ ὁ Δ τὸν μὲν Γ πολλαπλασιάσας τὸν A πεποίηκε, τὸν δὲ E πολλαπλασιάσας τὸν Λ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν E οὕτως ὁ A πρὸς τὸν Λ. ὡς δὲ ὁ Γ πρὸς τὸν E οὕτως ὁ H πρὸς τὸν Θ· καὶ ὡς ἄρα ὁ H πρὸς τὸν Θ οὕτως ὁ A πρὸς τὸν Λ. πάλιν, ἐπεὶ ὁ E τὸν Δ πολλαπλασιάσας τὸν Λ πεποίηκεν, ἀλλὰ μὴν καὶ τὸν Z πολλαπλασιάσας τὸν B πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Z οὕτως ὁ Λ πρὸς τὸν B. ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Z οὕτως ὁ Θ πρὸς τὸν K· καὶ ὡς ἄρα ὁ Θ πρὸς τὸν K οὕτως ὁ Λ πρὸς τὸν B. ἐδείχθη δὲ καὶ ὡς ὁ H πρὸς τὸν Θ οὕτως ὁ A πρὸς τὸν Λ· δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ H πρὸς τὸν K οὕτως ὁ A πρὸς τὸν B. ὁ δὲ H πρὸς τὸν K λόγον ἔχει τὸν συγκείμενον ἔκ τῶν πλευρῶν· καὶ ὁ A ἄρα πρὸς τὸν B λόγον ἔχει τὸν συγκείμενον ἔκ τῶν πλευρῶν. ὅπερ ἔδει δεῖξαι.

SInt plani numeri A, B, & ipſius quidem A latera ſint Γ, Δ numeri: ipſius vero B latera ſint E, Z: dico A ad B rationem habere ex lateribus compoſitam.

Rationibus enim datis, videlicet quam habet Γ ad E & quam Δ ad Z, ſumantur [per 4. 8.] numeri deinceps minimi H, Θ, K in rationibus Γ ad E & Δ ad Z, ſitque ut Γ ad E ita H ad Θ: ut autem Δ ad Z ita Θ ad K. [ergo H, Θ, K inter ſe rationes habent laterum. ſed [per 5. def. 6.] ratio H ad K compoſita eſt ex ratione H ad Θ & ratione Θ ad K: quare H ad K rationem habet ex lateribus compoſitam: dico igitur ut A ad B ita eſſe H ad K.] numerus Δ ipſum E multiplicans faciat Λ. & quoniam [per 16. def. 7.] Δ multiplicans Γ ipſum A fecit, multiplicans vero E fecit Λ: erit [per 17. 7.] ut Γ ad E ita A ad Λ. ut autem Γ ad E ita [per conſtr.] H ad Θ: ergo & ut H ad Θ ita A ad Λ. rurſus, quoniam E ipſum quidem Δ multiplicans fecit Λ, multiplicans vero Z ipſum B fecit; ut Δ ad Z ita erit Λ ad B. ſed ut Δ ad Z ita eſt Θ ad K: & igitur ut Θ ad K ita Λ ad B. oſtenſum autem eſt & ut H ad Θ ita A ad Λ: quare ex æquo [per 14. 7.] ut H ad K ita A ad B. ſed [per 5. def. 6.] H ad K rationem habet compoſitam ex lateribus: ergo & A ad B rationem habebit ex lateribus compoſitam. quod erat demonſtrandum.

A, 6. B, 20. Λ, 12. Γ, 2. Δ, 3. E, 4. Z, 5. H, 3. Θ, 6. K, 10.

ΠΡΟΤΑΣΙΣ ς'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, ὁ δὲ πρῶτος τὸν δεύτερον μὴ μετρεῖ· οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει.

PROP. VI. THEOR.

Si fuerint quotcunque numeri deinceps proportionales, primus autem ſecundum non metiatur: neque alius aliquis ullum metietur.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, οἱ A, B, Γ, Δ, E, ὁ δὲ A τὸν B μὴ μετρείτω· λέγω ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει.

SInt quotcunque numeri deinceps proportionales A, B, Γ, Δ, E, & A ipſum B non metiatur. dico neque alium aliquem ullum metiri.

* Rectius ex laterum rationibus. † Quæ uncis incluſa dedimus in quibuſdam exemplaribus deſiderantur: & commode quidem abeſſe poſſunt. Deinde eadem exemplaria pro ὁ Δ καὶ τὸν habent ἐπεὶ ὁ Δ τὸν &c.

Et quidem numeros A, B, Γ, Δ, E deinceps ſeſe non metiri, perſpicuum eſt. neque enim A ipſum B metitur. dico neque alium aliquem ullum metiri. dico enim A, ex. gr. non metiri ipſum Γ. nam quot ſunt A, B, Γ,
tot ſumantur [per 35. 7.] A, 16. B, 24. Γ, 36. Δ, 54. E, 81.
minimi numeri eandem Z, 4. H, 6. Θ, 9.
cum ipſis A, B, Γ rationem habentes, & ſint Z, H, Θ. quoniam igitur Z, H, Θ in eadem ſunt ratione in qua A, B, Γ, atque eſt ipſorum A, B, Γ multitudo æqualis multitudini ipſorum Z, H, Θ; erit ex æquo [per 14. 7.] ut A ad Γ ita Z ad Θ. & quoniam eſt ut A ad B ita Z ad H, non metitur autem A ipſum B, neque [per 20. def. 7.] Z ipſum H metietur: non igitur Z unitas eſt; unitas enim [per 1. def. 7.] omnem numerum metitur, & ſunt Z, Θ primi inter ſe: ergo [per 12. def. 7.] neque Z metitur ipſum Θ. atque eſt ut Z ad Θ ita A ad Γ: neque igitur A ipſum Γ metietur. ſimiliter demonſtrabimus neque alium ullum aliquem metiri. quod erat demonſtrandum.

Οτι μὴν οὐκ ἔστιν οἱ A, B, Γ, Δ, E ἑξῆς ἀλλήλους ἀ μετροῦσι, φανερόν. οὐδὲ γὰρ ὁ A τὸν B μετρεῖ. λέγω δὴ ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει. λέγω γὰρ ὅτι ὁ μετρεῖ ὁ A τὸν Γ. ὅσοι γάρ εἰσιν οἱ A, B, Γ τοσοῦτοι ἀλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τὸν αὐτὸν λόγον ἐχόντων τοῖς A, B, Γ, οἱ Z, H, Θ. καὶ ἐπεὶ οἱ Z, H, Θ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ τοῖς A, B Γ, ἔστιν ἴσον τὸ πλῆθος τῶν A, B, Γ τῷ πλήθει τῶν Z, H, Θ· δίσου ἄρα ἐστὶν ὡς ὁ A πρὸς τὸν Γ οὕτως ὁ Z πρὸς τὸν Θ. καί ἐστιν ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ Z πρὸς τὸν H, ὁ μετρεῖ δὲ ὁ A τὸν B· ὁ μετρεῖ ἄρα καὶ ὁ Z τὸν H· οὐκ ἄρα μονὰς ἐστιν ὁ Z, ἡ γὰρ μονὰς πάντα μετρεῖ ἀριθμόν, καί εἰσιν οἱ Z, Θ πρῶτοι πρὸς ἀλλήλους· οὐδὲ ὁ Z ἄρα τὸν Θ μετρεῖ. καί ἐστιν ὡς ὁ Z πρὸς τὸν Θ οὕτως ὁ A πρὸς τὸν Γ· οὐδὲ ὁ A ἄρα τὸν Γ μετρεῖ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρεῖ. ὅπερ ἔδει δεῖξαι.

Prop. VII. Theor.

Si fuerint quotcunque numeri deinceps proportionales, primus autem metiatur extremum; & ſecundum metietur.

ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ὁ δὲ πρῶτος τὸν ἔσχατον μετρεῖ· καὶ τὸν δεύτερον μετρήσει.

SInt quotcunque numeri deinceps proportionales A, B, Γ, Δ, & A ipſum Δ metiatur: dico A ipſum quoque B metiri.

Si enim A non metitur ipſum B [per 6. 8.] neque alius aliquis ullum metietur, quod eſt abſurdum: ponitur enim A ipſum Δ metiri. metitur autem A ipſum Δ: ergo & A ipſum B metietur. quod erat demonſtrandum.

A, 2. B, 4. Γ, 8. Δ, 16.

Ἑστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ A, B, Γ, Δ, ὁ δὲ A τὸν Δ μετρείτω· λέγω ὅτι καὶ ὁ A τὸν B μετρεῖ.

Εἰ γὰρ μὴ μετρεῖ ὁ A τὸν B, οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει, ὅπερ ἄτοπον· ὑποκείται γὰρ ὁ A τὸν Δ μετρῶν. μετρεῖ δὲ ὁ A τὸν Δ· μετρεῖ ἄρα καὶ ὁ A τὸν B. ὅπερ ἔδει δεῖξαι.

Prop. VIII. Theor.

Si inter duos numeros numeri deinceps proportionales ceciderint; quot inter eos cadunt numeri deinceps proportionales, totidem & inter alios eandem cum ipſis rationem habentes cadent.

ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν δύο ἀριθμῶν μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί· ὅσοι εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

INter duos numeros A, B cadant numeri deinceps proportionales Γ, Δ; & fiat ut A ad B ita E ad Z: dico quot numeri deinceps proportionales cadunt inter A, B, totidem & inter B, Z deinceps proportionales cadere.

Quot enim numeri ſunt A, Γ, Δ, B, totidem ſumantur [per 35. 7.] minimi numeri eandem cum ipſis A, Γ, Δ, B rationem habentium H, Θ, K, Λ: ergo [per 3. 8.] extremi ipſorum H, Λ primi inter ſe ſunt. & quoniam A, Γ, Δ, B

Δύο γὰρ ἀριθμῶν τῶν A, B μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν ἀριθμοί, οἱ Γ, Δ, καὶ πεποιήσθω ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ E πρὸς τὸν Z· λέγω ὅτι ὅσοι εἰς τοὺς A, B μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς E, Z μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Ὅσοι γάρ εἰσι τῷ πλήθει οἱ A, Γ, Δ, B, τοσοῦτοι εἰλήφθωσαν οἱ ἐλάχιστοι ἀριθμοὶ τῶν αὐτὸν λόγον ἐχόντων τοῖς A, Γ, Δ, B, οἱ H, Θ, K, Λ· οἱ ἄρα ἄκροι αὐτῶν οἱ H, Λ πρῶτοι πρὸς ἀλλήλους εἰσί. καὶ ἐπεὶ οἱ A, Γ, Δ, B

Α, Γ, Δ, Β τοῖς Η, Θ, Κ, Λ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ, καὶ ἔστιν ἴσον τὸ πλῆθος τῶν Α, Γ, Β, Δ τῷ πλήθει τῶν Η, Θ, Κ, Λ· δύσις ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β ἕτως ὁ Η πρὸς τὸν Λ. ὡς δὲ ὁ Α πρὸς τὸν Β ἕτως ὁ Ε πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Η πρὸς τὸν Λ ἕτως ὁ Ε πρὸς τὸν Ζ. οἱ δὲ Η, Λ πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὅ, τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα· ἰσάκις ἄρα τὸν Ε μετρεῖ ὁ Η καὶ ὁ Λ τὸν Ζ. ὁσάκις δὲ ὁ Η τὸν Ε μετρεῖ τοσαυτάκις καὶ ἑκάτερος τῶν Θ, Κ ἑκάτερον τῶν Μ, Ν μετρείτω· οἱ Η, Θ, Κ, Λ ἄρα τοὺς Ε, Μ, Ν, Ζ ἰσάκις μετροῦσιν· οἱ Η, Θ, Κ, Λ ἄρα τοῖς Ε, Μ, Ν, Ζ ἐν τῷ αὐτῷ λόγῳ εἰσίν. ἀλλὰ οἱ Η, Θ, Κ, Λ τοῖς Α, Γ, Δ, Β ἐν τῷ αὐτῷ λόγῳ εἰσίν· οἱ Α, Γ, Δ, Β ἄρα τοῖς Ε, Μ, Ν, Ζ ἐν τῷ αὐτῷ λόγῳ εἰσίν. οἱ δὲ Α, Γ, Δ, Β ἑξῆς ἀνάλογόν εἰσι· καὶ οἱ Ε, Μ, Ν, Ζ ἄρα ἀνάλογόν εἰσιν ἑξῆς· ὅσοι ἄρα εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοὶ, τοσοῦτοι καὶ εἰς τοὺς Ε, Ζ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται ἀριθμοί. ὅπερ ἔδει δεῖξαι.

Α, 2.	Γ, 4.	
Η, 1.	Θ, 2.	
Ε, 3.	Μ, 6.	

ad ipſos Η, Θ, Κ, Λ in eadem ſunt ratione, atque eſt ipſorum Α, Γ, Δ, Β multitudo æqualis multitudini ipſorum Η, Θ, Κ, Λ; erit ex æquo [per 14. 7.] ut Α ad Β ita Η ad Λ. ut autem Α ad Β ita Ε ad Ζ: & igitur ut Η ad Λ ita Ε ad Ζ. & ſunt Η, Λ primi; ſed primi [per 23. 7.] ſunt & minimi; minimi vero eos qui eandem rationem habent [per 21. 7.] æqualiter metiuntur, major majorem & minor minorem: ergo Η æqualiter metitur ipſum Ε atque Λ ipſum Ζ. quoties autem Η metitur ipſum Ε toties & uterque ipſorum Θ, Κ utrumque Μ, Ν metiatur: numeri igitur Η, Θ, Κ, Λ ipſos Ε, Μ, Ν, Ζ æqualiter metiuntur: ideoque [per 20. def. 7.] Η, Θ, Κ, Λ in eadem ſunt ratione in qua ipſi Ε, Μ, Ν, Ζ. at Η, Θ, Κ, Λ ſimiliter in eadem ſunt ratione in qua Α, Γ, Δ, Β: ergo Α, Γ, Δ, Β in eadem ratione erunt in qua Ε, Μ, Ν, Ζ. ſed [ex hyp.] Α, Γ, Δ, Β ſunt deinceps proportionales: ergo & Ε, Μ, Ν, Ζ deinceps proportionales erunt: quot igitur deinceps proportionales cadunt inter Α, Β, totidem deinceps proportionales & inter Ε, Ζ cadent. quod erat demonſtrandum.

Α, 8.	Γ, 12.	
Δ, 18.	Β, 27.	
Η, 3.	Β, 1.	
Λ, 9.	Ζ, 2.	
Ζ, 18.	Ο, 27.	
Θ, 4.	Κ, 6.	
Μ, 8.	Ν, 12.	

ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσι, καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί· ὅσοι εἰς αὐτοὺς μεταξὺ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοὶ, τοσοῦτοι καὶ ἑκατέρου αὐτῶν καὶ μονάδος ἑξῆς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Prop. IX. Theor.

Si duo numeri inter ſe primi fuerint, & inter ipſos numeri deinceps proportionales ceciderint; quot inter ipſos cadunt numeri deinceps proportionales, totidem & inter utrumque ipſorum & unitatem deinceps proportionales cadent.

Ἐστωσαν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους, οἱ Α, Β, καὶ εἰς αὐτοὺς κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν οἱ Γ, Δ, καὶ ἐκκείσθω ἡ Ε μονάς· λέγω ὅτι ὅσοι εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοὶ, τοσοῦτοι καὶ ἑκατέρου τῶν Α, Β καὶ τῆς Ε μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Sint duo numeri inter ſe primi Α, Β, & inter ipſos deinceps proportionales cadant Γ, Δ; exponaturque unitas Ε: dico quot numeri deinceps proportionales cadunt inter ipſos Α, Β, totidem & inter utrumque ipſorum Α, Β & unitatem Ε numeros deinceps proportionales cadere.

Εἰλήφθωσαν γὰρ δύο μὲν ἐλάχιστοι ἐν τῷ τῶν Α, Γ, Δ, Β λόγῳ ὄντες, οἱ Ζ, Η, τρεῖς δὲ οἱ Θ, Κ, Λ, καὶ ἀεὶ ἑξῆς ἑνὶ πλείους ἕως ἂν ἴσον γένηται τὸ πλῆθος αὐτῶν τῷ πλήθει τῶν Α, Γ, Δ, Β, εἰλήφθωσαν, καὶ ἔστωσαν οἱ Μ, Ν, Ξ, Ο· φανερὸν δὴ ὅτι ὁ μὲν Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Θ πεποίηκε, τὸν δὲ Θ πολλαπλασιάσας τὸν Μ πεποίηκε, καὶ ὁ Η ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Λ πεποίηκε, τὸν δὲ Λ πολλαπλασιάσας τὸν Ο πεποίηκε. καὶ ἐπεὶ οἱ Μ, Ν, Ξ, Ο ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Ζ, Η, εἰσὶ δὲ καὶ οἱ Α, Γ, Δ, Β ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Ζ, Η, καὶ ἔστιν ἴσον τὸ πλῆθος τῶν Μ, Ν, Ξ, Ο τῷ πλήθει τῶν

Sumantur enim [per 2. 8.] duo quidem numeri minimi Ζ, Η in eadem ratione in qua ſunt Α, Γ, Δ, Β; tres vero Θ, Κ, Λ, & ſemper deinceps uno plures, quoad fiat ipſorum multitudo æqualis multitudini ipſorum Α, Γ, Δ, Β, ſumantur, & ſint Μ, Ν, Ξ, Ο: itaque manifeſtum eſt [per conſtr. 2. 8.] Ζ ſeipſum quidem multiplicantem feciſſe Θ, multiplicantem vero Θ feciſſe Μ, & Η ſeipſum multiplicantem feciſſe Λ, multiplicantem vero Λ feciſſe Ο. & quoniam Μ, Ν, Ξ, Ο minimi ſunt eandem cum ipſis Ζ, Η rationem habentium; ſunt autem & Α, Γ, Δ, Β minimi eandem quam Ζ, Η rationem habentium; atque eſt ipſorum Μ, Ν, Ξ, Ο multitudo æqualis

multitudini ipſorum A, Γ, Δ, B: erit unuſquiſque ipſorum M, N, Ξ, O unicuique ipſorum A, Γ, Δ, B æqualis: æqualis igitur eſt M ipſi A & O ipſi B. & quoniam Z ſeipſum multiplicans fecit Θ, metitur Z ipſum Θ per unitates quæ ſunt in Z. metitur autem & E unitas numerum Z per unitates quæ in ipſo ſunt: ergo E unitas numerum Z æqualiter metitur atque Z ipſum Θ: eſt igitur [per 20. def. 7.] ut E unitas ad numerum Z ita Z ad Θ. rurſus, quoniam Z multiplicans Θ fecit M; metitur Θ ipſum M per unitates quæ ſunt in Z. metitur autem & E unitas numerum Z per unitates quæ in ipſo ſunt: æqualiter igitur E unitas numerum Z metitur atque Θ ipſum M: ergo ut E unitas ad numerum Z ita Θ ad M. oſtenſum eſt autem & ut E unitas ad numerum Z ita eſſe Z ad Θ: & igitur ut E unitas ad numerum Z ita Z ad Θ & Θ ad M. ſed M eſt æqualis ipſi A: quare ut E unitas ad numerum Z ita Z ad Θ & Θ ad A. eadem ratione & ut E unitas ad numerum H ita H ad Λ & Λ ad B: quot igitur numeri deinceps proportionales cadunt inter A, B totidem & inter utrumque ipſorum A, B & unitatem E numeri deinceps proportionales cadent. quod erat demonſtrandum.

A, 8. Γ, 12. E, 1.
Z, 2. Θ, 4. K, 6.
M, 8. N, 12.

Α, Γ, Δ, Β ἑκαστος ἄρα τῶν Μ, Ν, Ξ, Ο ἑκάστῳ τῶν Α, Γ, Δ, Β ἴσος ἐστίν· ἴσος ἄρα ἐστὶν ὁ μὲν Μ τῷ Α, ὁ δὲ Ο τῷ Β. καὶ ἐπεὶ ὁ Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Θ πεποίηκεν· ὁ Ζ ἄρα τὸν Θ μετρεῖ κατὰ τὰς ἐν τῷ Ζ μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Ζ κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Ζ ἀριθμὸν μετρεῖ καὶ ὁ Ζ τὸν Θ· ἔστιν ἄρα ὡς ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμὸν οὕτως ὁ Ζ πρὸς τὸν Θ. πάλιν, ἐπεὶ ὁ Ζ πρὸς τὸν Θ πολλαπλασιάσας τὸν Μ πεποίηκεν· ὁ Θ ἄρα τὸν Μ μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Ζ ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Ζ ἀριθμὸν μετρεῖ καὶ ὁ Θ τὸν Μ· ἔστιν ἄρα ὡς ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμὸν οὕτως ὁ Θ πρὸς τὸν Μ. ἐδείχθη δὲ καὶ ὡς ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμὸν οὕτως ὁ Ζ πρὸς τὸν Θ· καὶ ὡς ἄρα ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμὸν οὕτως ὁ Ζ πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Μ. ὁ δὲ Μ τῷ Α ἴσος ἐστίν· ἔστιν ἄρα ὡς ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμὸν οὕτως ὁ Ζ πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Α. Διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ Ε μονὰς πρὸς τὸν Η ἀριθμὸν οὕτως ὁ Η πρὸς τὸν Λ καὶ ὁ Λ πρὸς τὸν Β· ὅσοι ἄρα εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπλώκασιν ἀριθμοί, τοσοῦτοι καὶ ἑκατέρου τῶν Α, Β καὶ μονάδος τῆς Ε μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπλώκασιν ἀριθμοί. ὅπερ ἔδει δεῖξαι.

A, 8. K, 12. Λ, 18. B, 27.
E, 4. Θ, 6. H, 9.
Δ, 2. Z, 3.
Γ, 1.

Prop. X. Theor.

Si inter duos numeros & unitatem deinceps proportionales numeri cecideriſ; quot inter utrumque ipſorum & unitatem cadunt numeri deinceps proportionales, totidem & inter ipſos numeri proportionales cadent.

Inter duos enim numeros A, B & unitatem Γ numeri deinceps proportionales cadant Δ, E & Z, H: dico quot inter utrumque ipſorum A, B & unitatem Γ cadunt numeri deinceps proportionales, totidem & inter ipſos A, B numeros deinceps proportionales cadere.

Numerus enim Δ ipſum Z multiplicans faciat Θ: uterque autem ipſorum Δ, Z ipſum Θ multiplicans faciat utrumque K, Λ.

Et quoniam eſt ut Γ unitas ad numerum Δ ita Δ ad E, unitas Γ ipſum Δ numerum æqualiter metietur atque Δ ipſum E. ſed unitas Γ numerum Δ metitur per unitates quæ ſunt in Δ: ergo & numerus Δ ipſum E per unitates quæ ſunt in Δ metitur: ac propterea numerus Δ ſeipſum multiplicans fecit E. rurſus, quoniam ut unitas Γ ad Δ numerum ita eſt E ad A; unitas Γ ipſum Δ nu-

ΠΡΟΤΑΣΙΣ ι'.

Ἐὰν δύο ἀριθμῶν καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπλωσιν ἀριθμοί· ὅσοι ἑκατέρου αὐτῶν καὶ μονάδος ἑξῆς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπλωσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Δύο γὰρ ἀριθμῶν τῶν Α, Β καὶ μονάδος τῆς Γ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπλάτωσαν ἀριθμοὶ οἱ Δ, Ε καὶ οἱ Ζ, Η· λέγω ὅτι ὅσοι ἑκατέρου τῶν Α, Β καὶ μονάδος τῆς Γ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπλώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Ὁ Δ γὰρ τὸν Ζ πολλαπλασιάσας τὸν Θ ποιείτω, ἑκάτερος δὲ τῶν Δ, Ζ τὸν Θ πολλαπλασιάσας ἑκάτερον τῶν Κ, Λ ποιείτω.

Καὶ ἐπεί ἐστιν ὡς ἡ Γ μονὰς πρὸς τὸν Δ ἀριθμὸν οὕτως ὁ Δ πρὸς τὸν Ε, ἰσάκις ἄρα ἡ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν Ε. ἡ δὲ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· καὶ ὁ Δ ἄρα τὸν Ε μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Δ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκε. πάλιν, ἐπεί ἐστιν ὡς ἡ Γ μονὰς πρὸς τὸν Δ ἀριθμὸν οὕτως ὁ Ε πρὸς τὸν Α· ἰσάκις ἄρα ἡ Γ μονὰς τὸν Δ ἀριθμὸν

μετρεῖ

μετρεῖ ϗ ὁ Ε τὸν Α. ἡ δὲ Γ μονὰς τ̃ Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· καὶ ὁ Ε ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Δ ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Α πεποίηκε. Διὰ τὰ αὐτὰ δὴ καὶ ὁ μὲν Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Η πεποίηκε, τὸν δὲ Η πολλαπλασιάσας τ̃ Β πεποίηκε, ϗ ἐπεὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας τ̃ Ε πεποίηκε, τὸν δὲ Ζ πολλαπλασιάσας τὸν Θ· ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ οὕτως ὁ Ε πρὸς τ̃ Θ. Διὰ τὰ αὐτὰ δὴ ϗ ὡς ὁ Δ πρὸς τὸν Ζ οὕτως ὁ Θ πρὸς τὸν Η. καὶ ὡς ἄρα ὁ Ε πρὸς τ̃ Θ οὕτως ὁ Θ πρὸς τ̃ Η. πάλιν, ἐπεὶ ὁ Δ ἑκάτερον τ̃ Ε, Θ πολλαπλασιάσας ἑκάτερον τ̃ Α, Κ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Θ οὕτως ὁ Α πρὸς τὸν Κ. ἀλλ' ὡς ὁ Ε πρὸς τὸν Θ οὕτως ὁ Δ πρὸς τ̃ Ζ· ϗ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ οὕτως ὁ Α πρὸς τὸν Κ. πάλιν, ἐπεὶ ἑκάτερος τῶν Δ, Ζ τὸν Θ πολλαπλασιάσας ἑκάτερον τ̃ Κ, Λ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τ̃ Ζ οὕτως ὁ Κ πρὸς τ̃ Λ. ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ζ οὕτως ὁ Α πρὸς τὸν Κ· ὡς ἄρα ὁ Α πρὸς τὸν Κ οὕτως ὁ Κ πρὸς τὸν Λ. ἔτι ἐπεὶ ὁ Ζ ἑκάτερον τ̃ Η, Θ πολλαπλασιάσας ἑκάτερον τ̃ Λ, Β πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν Η οὕτως ὁ Λ πρὸς τὸν Β. ὡς δὲ ὁ Θ πρὸς τὸν Η οὕτως ὁ Δ πρὸς τὸν Ζ· ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ οὕτως ὁ Λ πρὸς τὸν Β. ἐδείχθη δὲ ϗ ὡς ὁ Δ πρὸς τὸν Ζ οὕτως ὁ, τε Α πρὸς τὸν Κ, ϗ ὁ Κ πρὸς τ̃ Λ, ϗ ὁ Λ πρὸς τὸν Β· οἱ Α, Κ, Λ, Β ἄρα κατὰ τὸ συνεχὲς ἐξῆς εἰσιν ἀνάλογον· ὅσοι ἄρα ἑκατέρᾳ τ̃ Α, Β καὶ τῆς Γ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι ϗ εἰς τὰς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται. ὅπερ ἔδει δεῖξαι.

merum æqualiter metitur atque Ε ipſum Α. ſed unitas Γ ipſum Δ numerum metitur per unitates quæ ſunt in Δ: quare & Ε ipſum Α per unitates quæ ſunt in Δ metitur: ideoque Δ ipſum Ε multiplicans fecit Α. eadem ratione & Ζ ſeipſum multiplicans fecit Η, multiplicans vero Η ipſum Β fecit, & quoniam Δ ſeipſum multiplicans fecit Ε, multiplicans vero Ζ fecit Θ; erit [per 17. 7.] ut Δ ad Ζ ita Ε ad Θ. & ob eandem cauſam ut Δ ad Ζ ita Θ ad Η. ut igitur Ε ad Θ ita Θ ad Η. rurſus, quoniam Δ utrumque ipſorum Ε, Θ multiplicans fecit utrumque Α, Κ, erit [per 17.7.] ut Ε ad Θ ita Α ad Κ. ſed ut Ε ad Θ ita Δ ad Ζ: & igitur ut Δ ad Ζ ita Α ad Κ. rurſus, quoniam uterque Δ, Ζ ipſum Θ multiplicans utrumque Κ, Λ fecit; [per 18. 7.] ut Δ ad Ζ ita eſt Κ ad Λ. ut autem Δ ad Ζ ita eſt Α ad Κ: & igitur ut Α ad Κ ita Κ ad Λ. præterea cum Ζ utrumque Θ, Η multiplicans utrumque Λ, Β faciat, erit ut Θ ad Η ita Λ ad Β. ſed ut Θ ad Η ita Δ ad Ζ: ergo & ut Δ ad Ζ ita Λ ad Β. oſtenſum autem eſt & ut Δ ad Ζ ita Α ad Κ & Κ ad Λ & Λ ad Β: quare Α, Κ, Λ, Β numeri deinceps proportionales ſunt: quot igitur inter utrumque ipſorum Α, Β & unitatem Γ cadunt numeri deinceps proportionales, totidem & inter Α, Β numeri deinceps proportionales cadent. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ια'.

Δύο τετραγώνων ἀριθμῶν εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός, ϗ ὁ τετράγωνος πρὸς τ̃ τετράγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ πλευρὰ πρὸς τὴν πλευράν.

Prop. XI. Theor.

Inter duos numeros quadratos unus medius proportionalis cadit; & quadratus ad quadratum duplicatam rationem habet ejus quam latus habet ad latus.

Ἑστωσαν τετράγωνοι ἀριθμοὶ οἱ Α, Β, ϗ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω ὅτι τῶν Α, Β εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός, ϗ ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τ̃ Δ.

Ο Γ γὰρ τὸν Δ πολλαπλασιάσας τὸν Ε ποιείτω. καὶ ἐπεὶ τετράγωνός ἐστιν ἀριθμὸς ὁ Α, πλευρὰ δὲ αὐτοῦ ἐστιν ὁ Γ· ὁ Γ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Α πεποίηκε. Διὰ τὰ αὐτὰ δὴ ϗ ὁ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκε· ἐπεὶ οὖν ὁ Γ ἑκάτερον τ̃ Γ, Δ πολλαπλασιάσας ἑκάτερον τ̃ Α, Ε πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Α πρὸς τὸν Ε. πάλιν, ἐπεὶ ὁ Γ τὸν Δ πολλαπλασιάσας τ̃ Ε πεποίηκεν, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκε, δύο δὴ ἀριθμοὶ οἱ Γ, Δ ἕνα ἀριθμὸν ϗ τὸν αὐτὸν τ̃ Δ πολλαπλασιάσαντες τοὺς Ε, Β πεποιήκασιν· ἔστιν ἄρα

Α, 4. Ε, 6. Β, 9. Γ, 2. Δ, 3.

Sint quadrati numeri Α, Β & ipſius quidem Α latus ſit Γ, ipſius vero Β latus Δ: dico inter ipſos Α, Β unum medium proportionalem cadere, & Α ad Β duplicatam rationem habere ejus quam habet Γ ad Δ.

Numerus enim Γ multiplicans Δ faciat Ε. & quoniam Α numerus quadratus eſt cujus latus Γ; [per 18. def. 7.] numerus Γ ſeipſum multiplicans fecit Α. eadem ratione & Δ ſeipſum multiplicans fecit Β: quoniam igitur Γ utrumque ipſorum Γ, Δ multiplicans utrumque Α, Ε fecit, ut Γ ad Δ ita erit [per 17. 7.] Α ad Ε. rurſus, quoniam Γ multiplicans Δ ipſum Ε fecit, & Δ ſeipſum multiplicans fecit Β; duo numeri Γ, Δ unum & eundem numerum Δ multiplicantes ipſos Ε, Β fecerunt: eſt igitur [per 18. 7.] ut Γ

ad

ad Δ ita E ad B. ſed ut Γ ad Δ ita eſt A ad E: ergo & ut A ad E ita E ad B. inter numeros igitur A, B unus medius proportionalis E cadit.

Dico etiam A ad B duplicatam habere rationem ejus quam habet Γ ad Δ. quoniam enim tres numeri proportionales ſunt A, E, B, habebit A ad B duplicatam rationem ejus quam habet A ad E. ut autem A ad E ita Γ ad Δ: ergo A ad B duplicatam rationem habet ejus quam latus Γ habet ad latus Δ. quod erat demonſtrandum.

A, 4. E, 6. B, 9.
Γ, 2. Δ, 3.

Prop. XII. Theor.

Inter duos numeros cubos duo medii proportionales cadunt; & cubus ad cubum triplicatam habet rationem ejus quam latus habet ad latus.

SInt numeri cubi A, B; & ipſius quidem A latus ſit Γ, ipſius vero B latus Δ: dico inter ipſos A, B duos numeros medios proportionales cadere; & A ad B triplicatam habere rationem ejus quam Γ habet ad Δ.

Numerus enim Γ ſeipſum multiplicans faciat E, multiplicans vero Δ ipſum Z faciat; & Δ ſeipſum multiplicans faciat H, & uterque ipſorum Γ, Δ multiplicans Z utrumque Θ, K faciat.

Quoniam igitur A cubus eſt, & ejus latus Γ, numerus Γ ſeipſum multiplicans fecit E; multiplicans vero E [per 19. def. 7.] ipſum A fecit. ſimiliter & Δ ſeipſum multiplicans fecit H, multiplicans vero H fecit ipſum B. & quoniam Γ utrumque ipſorum Γ, Δ multiplicans utrumque E, Z fecit, [per 17. 7.] ut Γ ad Δ ita eſt E ad Z. eadem ratione & ut Γ ad Δ ita Z ad H. rurſus, quoniam Γ utrumque ipſorum E, Z multiplicans fecit utrumque A, Θ, erit ut E ad Z ita A ad Θ. ut autem E ad Z ita Γ ad Δ; & igitur ut Γ ad Δ ita A ad Θ. rurſus, quoniam uterque ipſorum Γ, Δ multiplicans Z utrumque Θ, K fecit, [per 18. 7.] ut Γ ad Δ ita erit Θ ad K. rurſus, quoniam Δ utrumque Z, H multiplicans fecit utrumque K, B, erit ut Z ad H ita K ad B. ut autem Z ad H ita Γ ad Δ: & igitur ut Γ ad Δ ita K ad B. oſtenſum autem eſt ut Γ ad Δ ita eſſe A ad Θ & Θ ad K & K ad B: ac propterea inter ipſos numeros A, B duo numeri medii proportionales Θ, K cadunt.

A, 8. Θ, 12. K, 18. B, 27.
E, 4. Z, 6. H, 9.
Γ, 2. Δ, 3.

Dico etiam A ad B triplicatam rationem habere ejus quam habet Γ ad Δ. quoniam enim quatuor numeri A, Θ, K, B proportionales ſunt, habe-

ΠΡΟΤΑΣΙΣ ιϛ'.

Δύο κύβων ἀριθμῶν δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί, καὶ ὁ κύβος πρὸς τὸν κύβον τριπλασίονα λόγον ἔχει ἥπερ ἡ πλευρὰ πρὸς τὴν πλευράν.

Ἐστωσαν κύβοι ἀριθμοὶ, οἱ Α, Β, καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω ὅτι τῶν Α, Β δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοὶ, καὶ ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Γ πρὸς τὸν Δ.

Ὁ γὰρ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε ποιείτω, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η ποιείτω, ἑκάτερος ἄρα τῶν Γ, Δ τὸν Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Θ, Κ ποιείτω.

Καὶ ἐπεὶ κύβος ἐστὶν ὁ Α, πλευρὰ δὲ αὐτοῦ ὁ Γ· ὁ Γ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκε, τὸν δὲ Ε πολλαπλασιάσας τὸν Α πεποίηκε. Διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Η πεποίηκε, τὸν δὲ Η πολλαπλασιάσας τὸν Β πεποίηκε. καὶ ἐπεὶ ὁ Γ ἑκάτερον τῶν Γ, Δ πολλαπλασιάσας ἑκάτερον τῶν Ε, Ζ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Ε πρὸς τὸν Ζ. Διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Ζ πρὸς τὸν Η. πάλιν, ἐπεὶ ὁ Γ ἑκάτερον τῶν Ε, Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Α, Θ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ οὕτως ὁ Α πρὸς τὸν Θ. ὡς δὲ ὁ Ε πρὸς τὸν Ζ οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Α πρὸς τὸν Θ. πάλιν, ἐπεὶ ἑκάτερος τῶν Γ, Δ τὸν Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Θ, Κ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Θ πρὸς τὸν Κ. πάλιν, ἐπεὶ ὁ Δ ἑκάτερον τῶν Ζ, Η πολλαπλασιάσας ἑκάτερον τῶν Κ, Β πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Ζ πρὸς τὸν Η οὕτως ὁ Κ πρὸς τὸν Β. ὡς δὲ ὁ Ζ πρὸς τὸν Η οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Κ πρὸς τὸν Β. ἐδείχθη δὲ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὅ, τε Α πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Κ καὶ ὁ Κ πρὸς τὸν Β· τῶν Α, Β ἄρα δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοὶ, οἱ Θ, Κ.

Λέγω δὴ ὅτι καὶ ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Γ πρὸς τὸν Δ. ἐπεὶ γὰρ τέσσαρες ἀριθμοὶ ἀνάλογόν εἰσιν, οἱ Α, Θ, Κ, Β· ὁ Α ἄρα

πρὸς

πρὸς τὴν B τριπλασίονα λόγον ἔχει ἥπερ ὁ A πρὸς τὴν Θ. ὡς δὲ ὁ A πρὸς τὸν Θ ἕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὁ A ἄρα πρὸς τὸν B τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Γ πρὸς τὸν Δ. ὅπερ ἔδει δεῖξαι.

bit A ad B triplicatam rationem ejus quam habet A ad Θ. ut autem A ad Θ ita Γ ad Δ: ergo A ad B triplicatam habet rationem ejus quam Γ habet ad Δ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Ἐὰν ὦσιν ὁποσοιδηποτοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, καὶ πολλαπλασιάσας ἕκαστος ἑαυτὸν ποιῇ τινας, οἱ γενόμενοι ἐξ αὐτῶν ἀνάλογον ἔσονται· καὶ ἐὰν οἱ ἐξ ἀρχῆς τοὺς γενομένους πολλαπλασιάσαντες ποιῶσί τινας, καὶ αὐτοὶ ἀνάλογον ἔσονται, καὶ ἀεὶ περὶ τὰς ἄκρους τοῦτο συμβαίνει.

Prop. XIII. Theor.

Si ſint quotcunque numeri deinceps proportionales, & unuſquiſque ſeipſum multiplicans faciat aliquos, facti ex ipſis proportionales erunt: & ſi poſiti à principio numeri factos multiplicantes alios faciant, & ipſi proportionales erunt; & ſemper circa extremos hoc contingit.

Ἔστωσαν ὁποσοιδηποτοῦν ἀριθμοὶ ἀνάλογον, οἱ A, B, Γ, ὡς ὁ A πρὸς τὸν B ἕτως ὁ B πρὸς τὸν Γ, καὶ οἱ A, B, Γ ἑαυτοὺς μὲν πολλαπλασιάσαντες τοὺς Δ, E, Z ποιείτωσαν, τοὺς δὲ Δ, E, Z πολλαπλασιάσαντες τοὺς H, Θ, K ποιείτωσαν· λέγω ὅτι οἵτε Δ, E, Z καὶ οἱ H, Θ, K ἐξῆς ἀνάλογόν εἰσιν.

Ὁ μὲν γὰρ A τὸν B πολλαπλασιάσας τὸν Λ ποιείτω· ἑκάτερος δὲ τῶν A, B τὸν Λ πολλαπλασιάσας ἑκάτερον τῶν M, N ποιείτω. καὶ πάλιν, ὁ μὲν B τὸν Γ πολλαπλασιάσας τὸν Ξ ποιείτω, ἑκάτερος δὲ τῶν B, Γ τὸν Ξ πολλαπλασιάσας ἑκάτερον τῶν O, Π ποιείτω.

			A, 2.	B, 4.	Γ, 8.			
	Δ, 4.		Λ, 8.	E, 16.	Ξ, 32.	Z, 64.		
H, 8.	M, 16.	N, 32.	Θ, 64.	O, 128.	Π, 256.	K. 512.		

Ὁμοίως δὴ τοῖς ἐπάνω δείξομεν ὅτι οἱ Δ, Λ, E καὶ οἱ H, M, N, Θ ἐξῆς ἀνάλογόν εἰσιν ἐν τῷ διπλασίονι τοῦ A πρὸς τὸν B λόγου, καὶ ἔτι οἱ E, Ξ, Z καὶ οἱ Θ, O, Π, K ἐξῆς εἰσιν ἐν τῷ διπλασίονι τοῦ B πρὸς τὸν Γ λόγου. ἔστιν ὡς ὁ A πρὸς τὸν B ἕτως ὁ B πρὸς τὸν Γ· ἔστι καὶ οἱ Δ, Λ, E ἄρα τοῖς E, Ξ, Z ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ, καὶ ἔτι οἱ H, M, N, Θ τοῖς Θ, O, Π, K. καὶ ἔστιν ἴσον τὸ μὲν τῶν Δ, Λ, E πλῆθος τῷ τῶν E, Ξ, Z πλήθει. τὸ δὲ τῶν H, M, N, Θ τῷ τῶν Θ, O, Π, K· ἐστὶν ἄρα ἐστὶν ὡς μὲν ὁ Δ πρὸς τὸν E ἕτως ὁ E πρὸς τὸν Z, ὡς δὲ ὁ H πρὸς τὸν Θ ἕτως ὁ Θ πρὸς τὸν K. ὅπερ ἔδει δεῖξαι.

ΑΡιθμὸς γὰρ ὁ Α τὸν ἥμισυ ἐχέτω περισσόν· λέγω ὅτι ὁ Α ἀρτιάκις περισσός ἐστι μόνον.

Οτι μὲν οὖν ἀρτιάκις περισσός ἐστι, φανερόν· ὁ γὰρ ἥμισυς αὐτοῦ περισσὸς ὢν μετρεῖ αὐτὸν ἀρτιάκις. λέγω δὴ ὅτι καὶ μόνον. εἰ γὰρ ἔστιν ὁ Α καὶ ἀρτιάκις ἄρτιος, [*ὁ ἥμισυς αὐτοῦ ἄρτιός ἐστι, καὶ] μετρηθήσεται ὑπὸ ἀρτίου κατὰ ἄρτιον ἀριθμόν· ὥστε καὶ ὁ ἥμισυς αὐτοῦ μετρηθήσεται ὑπὸ ἀρτίου ἀριθμοῦ, περισσὸς ὤν, ὅπερ ἐστὶν ἄτοπον· ὁ Α ἄρα ἀρτιάκις περισσός ἐστι μόνον. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXIV. Theor.

Si par numerus neque ſit à binario duplatus, neque dimidium imparem habeat; pariter par eſt & pariter impar.

NUmerus enim A neque ſit à binario duplatus, neque dimidium imparem habeat: dico A & pariter parem & pariter imparem eſſe.

At vero A pariter parem eſſe [per 8. def. 7.] manifeſtum eſt; A . . . . . dimidium enim imparem non habet. dico etiam pariter imparem eſſe. nam ſi A bifariam ſecemus, & dimidium ipſius bifariam, & hoc ſemper faciamus, tandem incidemus in aliquem imparem qui ipſum A per numerum parem metietur. ſi enim non incidemus in aliquem imparem qui ipſum A per numerum parem metietur, incidemus in binarium, atque erit A à binario duplatus; quod non ponitur: quare A pariter impar eſt. oſtenſum autem eſt & pariter eſſe parem: eſt igitur A & pariter par & pariter impar. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λδ'.

Ἐὰν ἄρτιος ἀριθμὸς μήτε τῶν ἀπὸ διπλασιαζομένων ᾖ, μήτε τὸ ἥμισυ ἔχῃ περισσόν· ἀρτιάκις τε ἄρτιός ἐστι, καὶ ἀρτιάκις περισσός.

ΑΡιθμὸς γὰρ ὁ Α μήτε τῶν ἀπὸ διπλασιαζομένων ἔστω, μήτε τὸ ἥμισυν ἐχέτω περισσόν· λέγω ὅτι ὁ Α ἀρτιάκις τε ἐστὶν ἄρτιος, καὶ ἀρτιάκις περισσός.

Οτι μὲν οὖν ὁ Α ἀρτιάκις ἐστὶν ἄρτιος, φανερόν· τὸν γὰρ ἥμισυν οὐκ ἔχει περισσόν. λέγω δὴ ὅτι καὶ ἀρτιάκις ἐστὶ περισσός. ἐὰν γὰρ τὸ Α πολλαπλασιάσω δύο, καὶ τὸν ἥμισυν αὐτοῦ δύο, καὶ τοῦτο ἀεὶ ποιῶμεν, καταντήσομεν εἴς τινα περισσόν, ὃς μετρήσει τὸ Α κατὰ ἄρτιον ἀριθμόν. εἰ γὰρ οὐ καταντήσομεν εἴς τινα περισσὸν ὃς μετρήσει τὸ Α κατὰ ἄρτιον ἀριθμόν, καταντήσομεν εἰς δυάδα, καὶ ἔσται ὁ Α τῶν ἀπὸ διπλασιαζομένων, ὅπερ οὐχ ὑπόκειται· ὥστε ὁ Α καὶ ἀρτιάκις περισσός ἐστιν. ἐδείχθη δὲ καὶ ἀρτιάκις ἄρτιος· ὁ Α ἄρα ἀρτιάκις τε ἄρτιός ἐστι, καὶ ἀρτιάκις περισσός. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXV. Theor.

Si ſint quotcunque numeri deinceps proportionales, auferantur autem à ſecundo & ultimo æquales primo; erit ut ſecundi exceſſus ad primum ita ul-

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, ἀφαιρεθῶσι δὲ ἀπό τε τοῦ δευτέρου καὶ τοῦ ἐσχάτου ἴσοι τῷ πρώτῳ· ἔσται ὡς ἡ τοῦ δευτέρου ὑπερο-

* Illa uncis inclusa non agnoscunt Codd. MSS. & rectius quidem abesse possunt.

timi excessus ad omnes ipsum antecedentes.

ΕΣτωσαν ὁποσοιδηποτοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον οἱ Α, ΒΓ, Δ, ΕΖ, ἀρχόμενοι ἀπὸ ἐλαχίστου τοῦ Α, καὶ ἀφῃρήσθω ἀπὸ μὲν ΒΓ τῷ ΕΖ τῷ Α ἴσος, ἑκάτερος τῶν ΗΓ, ΖΘ· λέγω ὅτι ἐστὶν ὡς ὁ ΒΗ πρὸς τὸν Α οὕτως ὁ ΕΘ πρὸς τοὺς Α, ΒΓ, Δ.

SInt quotcunque numeri deinceps proportionales Α, ΒΓ, Δ, ΕΖ incipientes à minimo Α, & auferatur ab ipso ΒΓ & ab ΕΖ æqualis ipsi Α, videlicet ΗΓ, ΖΘ: dico ut ΒΗ ad Α ita esse ΕΘ ad Α, ΒΓ, Δ.

Κείσθω γὰρ τῷ μὲν ΒΓ ἴσος ὁ ΖΚ, τῷ δὲ Δ ἴσος ὁ ΖΛ. καὶ ἐπεὶ ὁ ΖΚ τῷ ΒΓ ἴσος ἐστίν, ὧν ὁ ΖΘ τῷ ΗΓ ἴσος· λοιπὸς ἄρα ὁ ΘΚ λοιπῷ τῷ ΗΒ ἐστὶν ἴσος. καὶ ἐπεὶ ἐστὶν ὡς ὁ ΕΖ πρὸς τὸ Δ οὕτως ὁ Δ πρὸς τὸ ΒΓ καὶ ὁ ΒΓ πρὸς τὸ Α, ἴσος δὲ ὁ μὲν Δ τῷ ΖΛ, ὁ δὲ ΒΓ τῷ ΖΚ, ὁ δὲ Α τῷ ΖΘ· ἔστιν ἄρα ὡς ὁ ΕΖ πρὸς τὸ ΛΖ οὕτως ὁ ΛΖ πρὸς τὸ ΖΚ, καὶ ὁ ΖΚ πρὸς τὸ ΖΘ· διελόντι, ὡς ὁ ΕΛ πρὸς τὸ ΛΖ οὕτως ὁ ΛΚ πρὸς τὸ ΖΚ, καὶ ὁ ΚΘ πρὸς τὸ ΖΘ· ἔστιν ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ὁ ΚΘ πρὸς τὸ ΖΘ οὕτως οἱ ΕΛ, ΛΚ, ΚΘ πρὸς τοὺς ΛΖ, ΚΖ, ΘΖ. ἴσος δὲ ὁ μὲν ΚΘ τῷ ΒΗ, ὁ δὲ ΖΘ τῷ Α, οἱ δὲ ΛΖ, ΚΖ, ΘΖ τοῖς Δ, ΒΓ, Α· ἔστιν ἄρα ὡς ὁ ΒΗ πρὸς τὸ Α οὕτως ὁ ΕΘ πρὸς τὸ Δ, ΒΓ, Α· ἔστιν ἄρα ὡς ἡ ἀφ' ἑνὸς ὑπεροχὴ πρὸς τὸ πρῶτον οὕτως ἡ τοῦ ἐσχάτου ὑπεροχὴ πρὸς τοὺς πρὸ ἑαυτοῦ πάντας. ὅπερ ἔδει δεῖξαι.

Ponatur enim ipsi quidem ΒΓ æqualis ΖΚ; ipsi vero Δ æqualis ΖΛ. quoniam igitur ΖΚ est æqualis ipsi ΒΓ, quorum ΖΘ est æqualis ΗΓ; erit reliquus ΘΚ reliquo ΗΒ æqualis. & quoniam est ut ΕΖ ad Δ ita Δ ad ΒΓ & ΒΓ ad Α; æqualis autem est Δ ipsi ΖΛ, & ΒΓ ipsi ΖΚ, & Α ipsi ΖΘ: erit ut ΕΖ ad ΛΖ ita ΛΖ ad ΖΚ & ΖΚ ad ΖΘ: quare dividendo ut ΕΛ ad ΛΖ ita ΛΚ ad ΖΚ & ΚΘ ad ΖΘ, & ut unus antecedentium ad unum consequentium ita [per 12. 7.] omnes antecedentes ad omnes consequentes: est igitur ut ΚΘ ad ΖΘ ita ΕΛ, ΛΚ, ΚΘ ad ΛΖ, ΚΖ, ΘΖ. atque est ΚΘ quidem æqualis ΒΗ; ΖΘ vero ipsi Α, & ΛΖ, ΚΖ, ΘΖ æquales ipsis Δ, ΒΓ, Α: ergo ut ΒΗ ad Α ita est ΕΘ ad Δ, ΒΓ, Α: est igitur ut secundi excessus ad primum ita excessus ultimi ad omnes ipsum antecedentes. quod erat demonstrandum.



ΠΡΟΤΑΣΙΣ λϛ'.

Εὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἐξῆς ἀνατεθῶσιν ἐν τῇ διπλασίονι ἀναλογίᾳ, ἕως οὗ ὁ σύμπας συντεθεὶς πρῶτος γένῃ, καὶ ὁ σύμπας ὁπόσιν τὸν ἔσχατον πολλαπλασιασθεὶς ποιῇ τινα· ὁ γενόμενος τέλειος ἔσται.

PROP. XXXVI. THEOR.

Si ab unitate quotcunque numeri deinceps proportionales exponantur in dupla analogia, quoad totus compositus primus fiat, & totus in ultimum multiplicatus faciat aliquem; factus perfectus erit.

ΑΠΟ γὰρ μονάδος ἐκκείσθωσαν ὁποσοιοῦν ἀριθμοὶ ἐν τῇ διπλασίονι ἀναλογίᾳ, ἕως οὗ ὁ σύμπας συντεθεὶς πρῶτος γένῃ, οἱ Α, Β, Γ, Δ, καὶ τῷ σύμπαντι ἴσος ἔστω ὁ Ε, καὶ ὁ Ε τὸν Δ πολλαπλασιάσας τὸν ΖΗ ποιείτω· λέγω ὅτι ὁ ΖΗ τέλειός ἐστιν.

AB unitate enim exponantur quotcunque numeri deinceps proportionales in dupla analogia, sc. Α, Β, Γ, Δ, quoad totus compositus primus fiat, & toti æqualis sit Ε, & Ε ipsum Δ multiplicans faciat ΖΗ: dico ΖΗ perfectum esse.



Ὅσοι γάρ εἰσιν οἱ Α, Β, Γ, Δ τῷ πλήθει τοσοῦτοι ἀπὸ τοῦ Ε ειλήφθωσαν ἐν τῇ διπλασίονι ἀναλογίᾳ, οἱ Ε, ΘΚ, Λ, Μ· ἴσοι ἄρα εἰσὶν ὡς ὁ Α πρὸς τὸν Δ οὕτως ὁ Ε πρὸς τὸν Μ· ὁ ἄρα ἐκ τῶν Ε, Δ ἴσος ἐστὶ τῷ ἐκ τοῦ Α, Μ. καὶ ἔστιν ὁ ἐκ τῶν Ε, Δ ὁ ΖΗ· καὶ ὁ ἐκ τοῦ Α, Μ ἄρα ἐστὶν ὁ ΖΗ· ὁ Α ἄρα τὸν Μ πολλαπλασιάσας τὸν ΖΗ πεποίηκεν· ὁ Μ ἄρα τὸν ΖΗ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. καὶ ἔστι δυὰς ὁ Α· διπλάσιος ἄρα ἐστὶν ὁ ΖΗ τοῦ Μ. εἰσὶ δὲ καὶ οἱ Μ, Λ, ΘΚ, Ε ἐξῆς διπλάσιοι ἀλλήλων

Quot enim sunt Α, Β, Γ, Δ multitudine tot sumantur ab ipso Ε in dupla analogia, qui sint Ε, Θ Κ, Λ, Μ: ergo ex æquo ut Α ad Δ ita erit Ε ad Μ: ac propterea [per 19. 7.] qui fit ex Ε, Δ est æqualis ei qui ex Α, Μ. est autem qui ex Ε, Δ ipse ΖΗ: quare ΖΗ est qui fit ex Α, Μ: multiplicans igitur Α ipsum Μ fecit ΖΗ: & Μ metitur ΖΗ per unitates quæ sunt in Α. atque est Α binarius: duplus igitur est ΖΗ ipsius Μ. sunt autem & Μ, Λ, Θ Κ, Ε deinceps dupli

inter ſe: ergo E, ΘK, Λ, M, ZH deinceps proportionales ſunt in dupla analogia. auferatur à ſecundo ΘK, & ab ultimo ZH ipſi primo E æqualis uterque ΘN, ZΞ: eſt igitur [per 35. 9.] ut ſecundi numeri exceſſus ad primum ita exceſſus ultimi ad omnes ipſum antecedentes: quare ut NK ad E ita ΞH ad M, Λ, ΘK, E. atque eſt [per conſtruct.] NK ipſi E æqualis: ergo & ΞH eſt æqualis ipſis M, Λ, ΘK, E. eſt autem [per conſtr.] ZΞ æqualis ipſi E; atque E ipſis A, B, Γ, Δ & unitati æqualis: totus igitur ZH æqualis eſt [per 2. ax.] & ipſis E, ΘK, Λ, M & ipſis A, B, Γ, Δ & unitati, omneſque [per 11. 9.] ipſum ZH metiuntur. dico nullum alium metiri ZH præter ipſos A, B, Γ, Δ, E, ΘK, Λ, M, & unitatem. ſi enim fieri poteſt, metiatur aliquis numerus ipſum ZH, qui ſit O: ſitque O nulli ipſorum A, B, Γ, Δ, E, ΘK, Λ, M idem. & quoties O ipſum ZH metitur tot unitates ſint in Π: ergo Π ipſum O multiplicans fecit ZH. ſed [per conſtr.] & E multiplicans Δ ipſum ZH fecit: eſt igitur [per 19. 7.] ut E ad Π ita O ad Δ. & quoniam ab unitate deinceps proportionales ſunt A, B, Γ, Δ, & qui unitatem ſequitur A primus eſt; non metietur ipſum Δ aliquis alius numerus præter ipſos A, B, Γ [per 13. 9.]: & ponitur O nulli ipſorum A, B, Γ idem: non igitur O ipſum Δ metietur. ut autem O ad Δ ita E ad Π: ergo [per 20. def. 7.] neque E metietur ipſum Π. atque [ex hyp.] eſt E primus, omnis autem primus numerus ad omnem numerum quem non metitur [per 31. 7.] primus eſt: quare E, Π primi inter ſe ſunt. ſed [per 23. 7.] primi etiam & minimi, minimi vero eos qui eandem quam ipſi rationem habent æqualiter metiuntur, [per 21. 7.] antecedens antecedentem & conſequens conſequentem, atque eſt ut E ad Π ita O ad Δ: ergo E æqualiter metitur ipſum O atque Π ipſum Δ. ſed nullus alius metitur numerum Δ præter ipſos A, B, Γ: quare Π idem eſt qui unus ipſorum A, B, Γ. ſit idem qui B, & quot ſunt B, Γ, Δ multitudine tot ab ipſo E ſumantur E, ΘK, Λ: ſuntque [per conſtr.] E, ΘK, Λ in eadem ratione in qua B, Γ, Δ: ex æquo igitur ut B ad Δ ita eſt E ad Λ; ergo [per 19. 7.] qui fit ex B, Λ eſt æqualis ei qui ex Δ, E. ſed qui fit ex Δ, E eſt æqualis ei qui ex Π, O: qui igitur fit ex Π, O ei qui ex B, Λ æqualis erit: quare [per 19. 7.] ut Π ad B ita eſt Λ ad O. eſtque Π idem qui B: ergo & Λ idem erit qui O, quod fieri non poteſt, etenim O nulli ipſorum expoſitorum idem ponitur: non igitur ipſum ZH metitur aliquis numerus præter ipſos A, B, Γ, Δ, E, ΘK, Λ, M, & unitatem. atque oſtenſus eſt ZH æqualis ipſis A, B, Γ, Δ, E, ΘK, Λ, M, & unitati, perfectus autem numerus eſt [per 22. def. 7.] qui ſuis ipſius partibus eſt æqualis: ergo ZH perfectus eſt. quod erat demonſtrandum.



λων· οἱ E, ΘK, Λ, M, ZH ἄρα ἐξῆς ἀνάλογόν εἰσιν ἐν τῇ διπλασίονι ἀναλογίᾳ. ἀφῃρήσθω δὴ ἀπὸ τοῦ δευτέρου τοῦ ΘK καὶ τῷ ἐσχάτῳ τῷ ZH τῷ πρώτῳ τῷ E ἴσος, ἑκάτερος τῶν ΘN, ZΞ· ἔστιν ἄρα ὡς ἡ τοῦ δευτέρου ἀριθμοῦ ὑπεροχὴ πρὸς τὸν πρῶτον οὕτως ἡ τοῦ ἐσχάτου ὑπεροχὴ πρὸς τοὺς πρὸ ἑαυτοῦ πάντας· ἔστιν ἄρα ὡς ὁ NK πρὸς τὸν E οὕτως ὁ ΞH πρὸς τοὺς M, Λ, ΘK, E. καὶ ἔστιν ὁ NK ἴσος τῷ E· καὶ ὁ ΞH ἄρα ἴσος ἐστὶ τοῖς M, Λ, ΘK, E. ἔστι δὲ καὶ ὁ ZΞ τῷ E ἴσος, ὁ δὲ E τοῖς A, B, Γ, Δ καὶ τῇ μονάδι· ὅλος ἄρα ὁ ZH ἴσος ἐστὶ τοῖς τε E, ΘK, Λ, M καὶ τοῖς A, B, Γ, Δ καὶ τῇ μονάδι, καὶ μετροῦσιν αὐτὸν. λέγω ὅτι ὁ ZH οὐκ ἄλλος τις μετρηθήσεται παρὲξ τοὺς A, B, Γ, Δ, E, ΘK, Λ, M καὶ τῆς μονάδος. εἰ γὰρ δυνατὸν μετρείτω τις τὸν ZH ὁ O, καὶ ὁ O μηδενὶ τῶν A, B, Γ, Δ, E, ΘK, Λ, M ἔστω ὁ αὐτός. καὶ ὁσάκις ὁ O τὸν ZH μετρεῖ τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Π· ὁ Π ἄρα τὸν O πολλαπλασιάσας τὸν ZH πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ E τὸν Δ πολλαπλασιάσας τὸν ZH πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ E πρὸς τὸν Π οὕτως ὁ O πρὸς τὸν Δ. καὶ ἐπεὶ ἀπὸ μονάδος ἐξῆς ἀνάλογόν εἰσιν οἱ A, B, Γ, Δ, ὁ δὲ μετρῶν τὸν μονάδα ὁ A πρῶτός ἐστιν· ὁ Δ ἄρα οὐκ ἄλλος τις ἀριθμὸς μετρηθήσεται παρὲξ τοὺς A, B, Γ, καὶ ὑποκείσθω ὁ O μηδενὶ τῶν A, B, Γ ὁ αὐτός· οὐκ ἄρα μετρήσει ὁ O τὸν Δ. ἀλλ' ὡς ὁ O πρὸς τὸν Δ οὕτως ὁ E πρὸς τὸν Π· οὐδὲ ὁ E ἄρα τὸν Π μετρεῖ. καὶ ἔστιν ὁ E πρῶτος, πᾶς δὲ πρῶτος ἀριθμὸς πρὸς ἅπαντα ἀριθμὸν ὃν μὴ μετρεῖ πρῶτός ἐστιν· οἱ E, Π ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις, ὅ, τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον, καὶ ἔστιν ὡς ὁ E πρὸς τὸν Π οὕτως ὁ O πρὸς τὸν Δ· ἰσάκις ἄρα ὁ E τὸν O μετρεῖ καὶ ὁ Π τὸν Δ. ὁ δὲ Δ οὐκ ἄλλος τις μετρεῖται παρὲξ τοὺς A, B, Γ· ὁ Π ἄρα ἑνὶ τῶν A, B, Γ ἐστιν ὁ αὐτός. ἔστω τῷ B ὁ αὐτός. καὶ ὅσοι εἰσὶν οἱ B, Γ, Δ τῷ πλήθει τοσοῦτοι εἰλήφθωσαν ἀπὸ τοῦ E, οἱ E, ΘK, Λ, καί εἰσιν οἱ E, ΘK, Λ τοῖς B, Γ, Δ ἐν τῷ αὐτῷ λόγῳ· δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ B πρὸς τὸν Δ οὕτως ὁ E πρὸς τὸν Λ· ὁ ἄρα σὺν τοὺς B, Λ ἴσος ἐστὶ τῷ σὺν τοὺς Δ, E. ἀλλ' ὁ σὺν τοὺς Δ, E ἴσος ἐστὶ τῷ σὺν τῶν Π, O· καὶ ὁ σὺν τῶν Π, O ἄρα ἴσος ἐστὶ τῷ σὺν τοὺς B, Λ· ἔστιν ἄρα ὡς ὁ Π πρὸς τὸν B οὕτως ὁ Λ πρὸς τὸν O. καὶ ἔστιν ὁ Π τῷ B ὁ αὐτός· καὶ ὁ Λ ἄρα τῷ O ἐστιν ὁ αὐτός, ὅπερ ἀδύνατον, ὁ γὰρ O ὑποκείσθω μηδενὶ τῶν σκιμμάτων ὁ αὐτός· οὐκ ἄρα τὸν ZH μετρεῖ τις ἀριθμὸς παρὲξ τῶν A, B, Γ, Δ, E, ΘK, Λ, M καὶ τὴν μονάδος. καὶ ἐδείχθη ὁ ZH τοῖς A, B, Γ, Δ, E, ΘK, Λ, M, καὶ τῇ μονάδι ἴσος, τέλειος δὲ ἀριθμός ἐστιν ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν· τέλειος ἄρα ἐστὶν ὁ ZH. ὅπερ ἔδει δεῖξαι.

ΕΥΚΛΕΙ-

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΩΝ ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

EUCLIDIS ELEMENTORUM LIBER DECIMUS.

ΟΡΟΙ.

α'. Σύμμετρα μεγέθη λέγεται, τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα.

β'. Ἀσύμμετρα δέ, ὧν μηδὲν ἐνδέχεται κοινὸν μέτρον γενέσθαι.

γ'. Εὐθεῖαι δυνάμει σύμμετροί εἰσιν, ὅταν τὰ ἀπ' αὐτῶν τετράγωνα τῷ αὐτῷ χωρίῳ μετρῆται.

δ'. Ἀσύμμετροι δέ, ὅταν τοῖς ἀπ' αὐτῶν τετραγώνοις μηδὲν ἐνδέχηται χωρίον κοινὸν μέτρον γενέσθαι.

ε'. Τούτων ὑποκειμένων, δείκνυται ὅτι τῇ προτεθείσῃ εὐθείᾳ ὑπάρχουσιν εὐθεῖαι πλήθει ἄπειροι σύμμετροί τε καὶ ἀσύμμετροι, αἱ μὲν μήκει καὶ δυνάμει, αἱ δὲ δυνάμει μόνον. καλείσθω δὴ ἡ μὲν προτεθεῖσα εὐθεῖα, ῥητή.

ς'. Καὶ αἱ ταύτῃ σύμμετροι, εἴτε μήκει καὶ δυνάμει εἴτε δυνάμει μόνον, ῥηταί.

ζ'. Αἱ δὲ ταύτῃ ἀσύμμετροι ἄλογοι καλείσθωσαν.

η'. Καὶ τὸ μὲν ἀπὸ τῆς προτεθείσης εὐθείας τετράγωνον, ῥητόν.

θ'. Καὶ τὰ τούτῳ σύμμετρα, ῥητά.

ι'. Τὰ δὲ τούτῳ ἀσύμμετρα, ἄλογα καλείσθω.

ια'. Καὶ αἱ δυνάμεναι αὐτά, ἄλογοι· εἰ μὲν τετράγωνα εἴη, αὐταὶ αἱ πλευραί·

DEFINITIONES.

1. Commensurabiles magnitudines dicuntur, quas eadem mensura metitur.

2. Incommensurabiles autem, quarum nullam esse communem mensuram contingit.

3. Rectæ lineæ potentia commensurabiles sunt, cum ea quæ ab ipsis fiunt quadrata idem spatium metitur.

4. Incommensurabiles autem, cum quadrata quæ ab ipsis fiunt nullum commune spatium metiri contingit.

5. His positis ostenditur, cuicunque rectæ lineæ propositæ rectas lineas multitudine infinitas & commensurabiles esse & incommensurabiles, alias quidem longitudine & potentia, alias vero potentia solum. vocetur autem proposita recta linea, rationalis.

6. Et huic commensurabiles, sive longitudine & potentia sive potentia solum, rationales.

7. Incommensurabiles vero irrationales vocentur.

8. Et quadratum quod à recta linea proposita fit, dicatur rationale.

9. Et huic commensurabilia quidem, rationalia.

10. Incommensurabilia vero dicantur irrationalia.

11. Et lineæ, quæ incommensurabilia possunt, vocentur irrationales: si quidem ea quadrata sint, ipsorum latera;

tera; ſi vero alia quæpiam rectilinea, ipſæ à quibus æqualia quadrata deſcribuntur.

εἰ δὲ ἕτερά τινα εὐθύγραμμα, αἱ ἴσαι αὐτοῖς τετράγωνα ἀναγράφουσι.

PROP. I. THEOR.

Duabus magnitudinibus inæqualibus expoſitis, ſi à majori auferatur majus quam dimidium, & ab eo quod reliquum eſt rurſus auferatur majus quam dimidium, & hoc ſemper fiat; relinquetur tandem quædam magnitudo, quæ minori magnitudine expoſita minor erit.

ΠΡΟΤΑΣΙΣ α'.

Δύο μεγεθῶν ἀνίσων ἐκκειμένων, ἐὰν ἀπὸ τοῦ μείζονος ἀφαιρεθῇ μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦ καταλειπομένου μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦτο ἀεὶ ἀεὶ γίγνηται· λειφθήσεταί τι μέγεθος, ὃ ἔσται ἔλασσον ἐκκειμένου ἐλάσσονος μεγέθους.

SInt duæ magnitudines inæquales A B, Γ, quarum major A B: dico ſi ab ipſa A B auferatur majus quam dimidium, & ab eo quod reliquum eſt rurſus auferatur majus quam dimidium, atque hoc ſemper fiat; relinqui tandem magnitudinem quandam quæ magnitudine Γ minor erit.

Etenim Γ multiplicata fiet aliquando major magnitudine A B. multiplicetur, & ſit Δ E ipſius quidem Γ multiplex, major autem quam A B, dividaturque Δ E in partes ipſi Γ æquales Δ Z, Z H, H E, & ab ipſa A B auferatur majus quam dimidium B Θ, ab ipſa vero A Θ rurſus majus quam dimidium auferatur Θ K, atque hoc ſemper fiat quoad diviſiones quæ ſunt in A B multitudine æquales fiant diviſionibus quæ in Δ E: ſint igitur diviſiones A K, K Θ, Θ B diviſionibus Δ Z, Z H, H E multitudine æquales.



Et quoniam major eſt Δ E quam A B, & ablatum eſt ab ipſa quidem Δ E minus quam dimidium, ſc. E H, ab ipſa vero A B majus quam dimidium, ſc. B Θ; erit reliquum H Δ reliquo Θ A majus. rurſus, quoniam major eſt H Δ quam Θ A, & ablatum eſt ab ipſa quidem H Δ dimidium H Z, ab ipſa vero Θ A majus quam dimidium Θ K; reliquum Δ Z reliquo A K majus erit. eſtque Δ Z æqualis ipſi Γ: ergo Γ quam A K eſt major. minor igitur eſt A K quam Γ: ergo ex magnitudine A B relicta eſt magnitudo A K expoſita minori magnitudine Γ minor. quod erat demonſtrandum.

Similiter autem demonſtrabitur, etiam ſi dimidia ablata fuerint.

Ἔστω δύο μεγέθη ἄνισα τὰ A B, Γ, ὧν μεῖζον τὸ A B· λέγω ὅτι ἐὰν ἀπὸ τοῦ A B ἀφαιρεθῇ μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦ καταλειπομένου μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦτο ἀεὶ γίγνηται, λειφθήσεταί τι μέγεθος ὃ ἔστιν ἔλασσον τοῦ Γ μεγέθους.

Τὸ γὰρ Γ πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ A B μεῖζον. πεπολλαπλασιάσθω, καὶ ἔστω τὸ Δ E τοῦ μὲν Γ πολλαπλάσιον, τοῦ δὲ A B μεῖζον, καὶ διῃρήσθω τὸ Δ E εἰς τὰ τῷ Γ ἴσα τὰ Δ Z, Z H, H E, καὶ ἀφῃρήσθω ἀπὸ μὲν τοῦ A B μεῖζον ἢ τὸ ἥμισυ τὸ B Θ, ἀπὸ δὲ τοῦ A Θ μεῖζον ἢ τὸ ἥμισυ τὸ Θ K, καὶ τοῦτο ἀεὶ γινέσθω ἕως ἂν αἱ ἐν τῷ A B διαιρέσεις ἰσοπληθεῖς γένωνται ταῖς ἐν τῷ Δ E διαιρέσεσιν· ἔστωσαν οὖν αἱ A K, K Θ, Θ B διαιρέσεις ἰσοπληθεῖς οὖσαι τοῖς Δ Z, Z H, H E.

Καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ Δ E τοῦ A B, ᾧ ἀφῄρηται ἀπὸ μὲν τοῦ Δ E ἔλασσον ἢ ἥμισυ τὸ E H, ἀπὸ δὲ τοῦ A B μεῖζον τοῦ ἡμίσεος τὸ B Θ· λοιπὸν ἄρα τὸ H Δ λοιποῦ τοῦ Θ A μεῖζόν ἐστιν. καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ H Δ τοῦ Θ A, καὶ ἀφῄρηται τοῦ μὲν H Δ ἥμισυ τὸ H Z, ἀπὸ δὲ τοῦ Θ A μεῖζον τοῦ ἡμίσεος τὸ Θ K· λοιπὸν ἄρα τὸ Δ Z λοιποῦ τοῦ A K μεῖζόν ἐστιν. ἴσον δὲ τὸ Δ Z τῷ Γ· καὶ τὸ Γ ἄρα τοῦ A K μεῖζόν ἐστιν. ἔλασσον ἄρα τὸ A K τοῦ Γ· καταλείπεται ἄρα ἀπὸ τοῦ A B μεγέθους τὸ A K μέγεθος ἔλασσον ὂν τοῦ ἐκκειμένου ἐλάσσονος μεγέθους τοῦ Γ. ὅπερ ἔδει δεῖξαι.

Ομοίως δὲ δειχθήσεται, κἂν ἡμίσεια ᾖ τὰ ἀφαιρέμενα.

ALITER.

Exponantur duæ magnitudines inæquales A B, Γ, ſitque Γ minor; & quoniam minor eſt Γ, multiplicata erit aliquando magnitudine A B major. fiat ut Z M, dividaturque in partes ipſi Γ æquales M Θ, Θ H, H Z; & ab ipſa A B auferatur majus quam dimidium B E, & ab E A majus quam dimidium E Δ; atque hoc ſemper fiat, quoad diviſiones quæ ſunt in A B numero æquales fiant diviſionibus quæ in Z M. fiant igitur ut B E, E Δ, Δ A, & ipſi Δ A una-

ΑΛΛΩΣ.

Ἐκκείσθω δύο μεγέθη ἄνισα τὰ A B, Γ, ἔστω δὲ τὸ Γ ἔλασσον, καὶ ἐπεὶ ἔλασσόν ἐστι τὸ Γ, πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ A B μεῖζον. γεγονέτω ὡς τὸ Z M, καὶ διῃρήσθω εἰς τὰ ἴσα τῷ Γ τὰ M Θ, Θ H, H Z, καὶ ἀπὸ τοῦ A B ἀφῃρήσθω μεῖζον ἢ τὸ ἥμισυ τὸ B E, καὶ ἀπὸ τοῦ E A μεῖζον ἢ τὸ ἥμισυ τὸ E Δ, καὶ τοῦτο ἀεὶ γινέσθω ἕως αἱ ἐν τῷ A B διαιρέσεις ἴσαι γένωνται ταῖς ἐν τῷ Z M διαιρέσεσι. γεγονέτωσαν ὡς αἱ B E, E Δ, Δ A, καὶ τῷ Δ A ἔκα-

ςον

ςων τ̃ ΚΛ, ΛΝ, ΝΞ ἴσῳ ἴσον, καὶ τοῦτο πολλαπλασιάζω ἕως ἂν αἱ διαιρέσεις τῆς ΚΞ ἴσας γένωνται τοῖς τοῦ ΖΜ.

Καὶ ἐπεὶ τὸ ΒΕ μεῖζόν ἐστι τοῦ ἡμίσεος τοῦ ΑΒ, τὸ ΒΕ μεῖζόν ἐστι τοῦ ΕΑ· πολλῷ ἄρα μεῖζόν ἐστι τοῦ ΔΑ. ἀλλὰ τῷ ΔΑ ἴσον ἐστὶ τὸ ΞΝ· τὸ ΒΕ ἄρα μεῖζόν ἐστι τοῦ ΞΝ. πάλιν, ἐπεὶ τὸ ΕΔ μεῖζον ἢ τὸ ἥμισύ ἐστι τοῦ ΕΑ, μεῖζόν ἐστι τοῦ ΔΑ. ἀλλὰ τῷ ΔΑ ἴσον ἐστὶ τὸ ΝΛ· τὸ ΕΔ ἄρα μεῖζόν ἐστι τοῦ ΝΛ· ὅλον ἄρα τὸ ΔΒ μεῖζόν ἐστι τοῦ ΞΛ. ἀλλὰ καὶ τῷ ΔΑ ἴσον ἐστὶ τὸ ΛΚ· ὅλον ἄρα τὸ ΑΒ μεῖζόν ἐστιν ὅλου τοῦ ΞΚ. ἀλλὰ τοῦ ΒΑ μεῖζόν ἐστι τὸ ΜΖ· πολλῷ ἄρα τὸ ΜΖ μεῖζόν ἐστι τοῦ ΞΚ. καὶ ἐπεὶ τοῦ ΞΝ, ΝΛ, ΛΚ ἴσοι ἀλλήλοις εἰσὶν, ἔστι δὲ καὶ τοῦ ΜΘ, ΘΗ, ΗΖ ἴσοι ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν ἐν τῷ ΜΖ τῷ πλήθει τῶν ἐν τῷ ΞΚ· ἔστιν ἄρα ὡς τὸ ΚΛ πρὸς τὸ ΖΗ οὕτως τὸ ΞΚ πρὸς τὸ ΖΜ. μεῖζον δὲ τὸ ΖΜ τοῦ ΞΚ· μεῖζον ἄρα καὶ τὸ ΖΗ τοῦ ΛΚ. καί ἐστι τὸ μὲν ΖΗ ἴσον τῷ Γ, τὸ δὲ ΚΛ τῷ ΑΔ· τὸ Γ ἄρα μεῖζόν ἐστι τοῦ ΑΔ. ὅπερ ἔδει δεῖξαι.





quæque ipſarum ΚΛ, ΛΝ, ΝΞ ſit æqualis, atque hoc fiat quoad diviſiones ipſius ΚΞ numero æquales ſint diviſionibus ipſius ΖΜ.

Et quoniam ΒΕ major eſt quam dimidium ipſius ΑΒ, erit ΒΕ major quam ΕΑ: multo igitur major eſt ΒΕ quam ΔΑ. ſed ipſi ΔΑ æqualis eſt ΞΝ: ergo ΒΕ major eſt quam ΞΝ. rurſus, quoniam ΕΔ major eſt quam dimidium ΕΑ, erit ΕΔ major quam ΔΑ. ſed ipſi ΔΑ eſt æqualis ΝΛ: quare ΕΔ quam ΝΛ eſt major: tota igitur ΔΒ major eſt quam ΞΛ. ipſi vero ΔΑ æqualis eſt ΛΚ: quare tota ΑΒ quam tota ΞΚ major erit. ſed ΜΖ major eſt quam ΒΑ: multo igitur ΜΖ quam ΞΚ eſt major. & quoniam ΞΝ, ΝΛ, ΛΚ inter ſe æquales ſunt; ſunt autem & ΜΘ, ΘΗ, ΗΖ inter ſe æquales, atque eſt multitudo earum quæ ſunt in ΜΖ æqualis multitudini ipſarum quæ in ΞΚ: erit [per 12. 5.] ut ΚΛ ad ΖΗ ita ΞΚ ad ΖΜ. major autem eſt ΖΜ quam ΞΚ: ergo [per 14. 5.] & ΖΗ quam ΛΚ eſt major. atque eſt ΖΗ ipſi Γ æqualis; & ΚΛ æqualis ipſi ΑΔ: ergo Γ quam ΑΔ major erit. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν δύο μεγεθῶν ἐκκειμένων ἀνίσων, ἀνθυφαιρούμενον ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος, τὸ καταλειπόμενον μηδέποτε καταμετρῇ τὸ πρὸ ἑαυτοῦ· ἀσύμμετρα ἔσται τὰ μεγέθη.

Δύο γὰρ μεγεθῶν ἐκκειμένων ἀνίσων τῶν ΑΒ, ΓΔ, καὶ ὄντος ἐλάσσονος τοῦ ΑΒ, ἀνθυφαιρούμενον ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος, τὸ καταλειπόμενον μηδέποτε καταμετρείτω τὸ πρὸ ἑαυτοῦ· λέγω ὅτι ἀσύμμετρά ἐστι τὰ ΑΒ, ΓΔ μεγέθη.

Εἰ γὰρ ἔστι σύμμετρα, μετρήσει τι αὐτὰ μέγεθος. μετρείτω εἰ δυνατὸν, καὶ ἔστω τὸ Ε, καὶ τὸ μὲν ΑΒ τὸ ΔΖ καταμετροῦν λειπέτω ἑαυτοῦ ἔλασσον τὸ ΓΖ, τὸ δὲ ΓΖ τὸ ΒΗ καταμετροῦν λειπέτω ἑαυτοῦ ἔλασσον τὸ ΑΗ, καὶ τοῦτο ἀεὶ γινέσθω, ἕως οὗ λειφθῇ τι μέγεθος, ὅ ἐστιν ἔλασσον τοῦ Ε. γεγονέτω, καὶ λελείφθω τὸ ΑΗ ἔλασσον τοῦ Ε. ἐπεὶ οὖν τὸ Ε τὸ ΑΒ μετρεῖ, ἀλλὰ τὸ ΑΒ τὸ ΔΖ μετρεῖ· καὶ τὸ Ε ἄρα τὸ ΔΖ μετρήσει. μετρεῖ δὲ καὶ ὅλον τὸ ΓΔ· καὶ λοιπὸν ἄρα τὸ ΓΖ μετρήσει. ἀλλὰ τὸ ΓΖ τὸ ΒΗ μετρεῖ· καὶ τὸ Β ἄρα τὸ ΒΗ μετρεῖ. μετρεῖ δὲ καὶ ὅλον τὸ ΑΒ· καὶ λοιπὸν ἄρα τὸ ΑΗ μετρήσει, τὸ μεῖζον τὸ ἔλασσον, ὅπερ ἀδύνατον· οὐκ ἄρα τὰ ΑΒ, ΓΔ μεγέθη μετρήσῃ τι μέγεθος· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ΑΒ, ΓΔ μεγέθη.



PROP. II. THEOR.

Si duabus magnitudinibus inæqualibus expoſitis, detracta ſemper minore de majore, reliqua minime præcedentem metiatur; magnitudines incommenſurabiles erunt.

DUabus enim magnitudinibus inæqualibus expoſitis ΑΒ, ΓΔ, quarum minor ſit ΑΒ, & detracta ſemper minore de majore, reliqua minime metiatur præcedentem: dico magnitudines ΑΒ, ΓΔ incommenſurabiles eſſe.

Si enim commenſurabiles ſint, eas magnitudo quædam metietur. metiatur, ſi fieri poteſt; ſitque Ε; & ΑΒ quidem metiens ΔΖ relinquat ſeipſa minorem ΓΖ; ΓΖ vero metiens ΒΗ relinquat ſeipſa minorem ΑΗ; & hoc ſemper fiat quoad relinquatur quædam magnitudo quæ ſit minor ipſa Ε. itaque fiat, & relinquatur ΑΗ ipſa Ε minor. quoniam igitur Ε metitur ΑΒ, ΑΒ vero metitur ΔΖ; & Ε ipſam ΔΖ metitur. ſed & metitur totam ΓΔ: ergo & reliquam ΓΖ metietur. at ΓΖ metitur ΒΗ: quare & Β ipſam ΒΗ metitur. metitur autem & totam ΑΒ: & reliquam igitur ΑΗ metietur, major minorem, quod fieri non poteſt: non igitur magnitudines ΑΒ, ΓΔ aliqua magnitudo metietur: ergo ΑΒ, ΓΔ magnitudines incommenſurabiles erunt.

Si

Si igitur duabus magnitudinibus inæqualibus expositis, detracta semper minore de majore, reliqua minime præcedentem metiatur; magnitudines incommensurabiles erunt. quod erat demonstrandum.

Prop. III. Probl.

Duabus magnitudinibus commensurabilibus datis, maximam earum communem mensuram invenire.

SInt datæ duæ magnitudines commensurabiles AB, ΓΔ, quarum minor AB: oportet ipsarum AB, ΓΔ maximam communem mensuram invenire.

Vel igitur AB metitur ΓΔ, vel non metitur. & si quidem AB metitur ΓΔ, metitur autem & seipsam; erit AB ipsarum AB, ΓΔ communis mensura. & perspicuum est maximam esse; magnitudo enim major magnitudine AB ipsam AB non metietur.

Si vero AB non metitur ΓΔ; detracta semper minore de majore, relinquetur tandem [per 2. 10.] quædam magnitudo quæ præcedentem metietur, propterea quod AB, ΓΔ non sint incommensurabiles; & AB quidem metiens ΓΔ relinquat seipsa minorem EΓ, EΓ vero metiens ZB relinquat seipsa minorem AZ; & AZ ipsam ΓE metiatur.

Quoniam igitur AZ metitur ΓE, sed ΓE metitur ZB: & AZ ipsam ZB metitur. metitur autem & seipsam: & totam igitur AB metietur. sed AB metitur ΔE: ergo AZ ipsam ΔE metitur. metitur autem & ΓE; & totam igitur ΓΔ metietur: ergo AZ ipsas AB, ΓΔ metitur: ac propterea AZ ipsarum AB, ΓΔ est communis mensura. dico & maximam esse. nisi enim ita sit, erit aliqua magnitudo major ipsa AZ quæ ipsas AB, ΓΔ metietur. itaque metiatur, & sit H. & quoniam H metitur AB, AB vero metitur EΔ; & H ipsam EΔ metitur. metitur autem & totam ΓΔ: ergo & reliquam ΓE metietur. sed ΓB metitur ZB: quare H ipsam ZB metitur. metitur autem & totam AB: & reliquam igitur AZ metietur, major minorem, quod fieri non potest: non igitur magnitudo quædam major ipsa AZ magnitudines AB, ΓΔ metietur: ergo AZ ipsarum AB, ΓΔ maxima erit communis mensura.



Duabus igitur magnitudinibus commensurabilibus datis AB, ΓΔ, maxima ipsarum communis mensura AZ inventa est. quod erat faciendum.

Corollarium.

Ex hoc manifestum est, si magnitudo duas magnitudines metiatur, & maximam ipsarum communem mensuram metiri.

Ἐὰν ἄρα δύο μεγεθῶν ἐκκειμένων ἀνίσων, ἀνθυφαιρεμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος, τὸ καταλειπόμενον μηδέποτε καταμετρῇ τὸ πρὸ ἑαυτοῦ· ἀσύμμετρα ἔσται τὰ μεγέθη. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ γ'.

Δύο μεγεθῶν συμμέτρων δοθέντων, τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Ἔστω τὰ δοθέντα δύο σύμμετρα μεγέθη τὰ AB, ΓΔ, ὧν ἔλασσον τὸ AB· δεῖ δὴ τῶν AB, ΓΔ τὸ μέγιστον κοινὸν μέτρον εὑρεῖν.

Τὸ AB δὴ ἤτοι μετρεῖ τὸ ΓΔ ἢ οὔ. εἰ μὲν οὖν τὸ AB τὸ ΓΔ μετρεῖ, μετρεῖ δὲ καὶ ἑαυτό· τὸ AB ἄρα κοινὸν μέτρον ἐστὶ τῶν AB, ΓΔ. καὶ φανερὸν ὅτι μέτρον ἐστὶ μέγιστον· μεῖζων γὰρ ὁ AB μεγέθους τὸ AB οὐ μετρήσει.

Μὴ μετρείτω δὴ τὸ AB τὸ ΓΔ· ἀνθυφαιρουμένου ἄρα τοῦ ἐλάσσονος ἀεὶ ἀπὸ τοῦ μείζονος, τὸ καταλειπόμενον μετρήσει τὸ πρὸ ἑαυτοῦ, ἕως τὸ μὴ εἶναι ἀσύμμετρα τὰ AB, ΓΔ, καὶ τὸ μὲν AB τὸ ΓΔ καταμετροῦν λειπέτω ἑαυτοῦ ἔλασσον τὸ EΓ, τὸ δὲ EΓ τὸ ZB καταμετροῦν λειπέτω ἑαυτοῦ ἔλασσον τὸ AZ, τὸ δὲ AZ τὸ ΓE μετρείτω.

Ἐπεὶ οὖν τὸ AZ τὸ ΓE μετρεῖ, ἀλλὰ τὸ ΓE τὸ ZB μετρεῖ· καὶ τὸ AZ ἄρα τὸ ZB μετρήσει. μετρεῖ δὲ καὶ ἑαυτό· καὶ ὅλον ἄρα τὸ AB μετρήσει τὸ AZ. ἀλλὰ τὸ AB τὸ ΔE μετρεῖ· καὶ τὸ AZ ἄρα τὸ ΔE μετρήσει. μετρεῖ δὲ καὶ τὸ ΓE· καὶ ὅλον ἄρα τὸ ΓΔ μετρεῖ· τὸ AZ ἄρα τὰ AB, ΓΔ μετρεῖ· τὸ AZ ἄρα τῶν AB, ΓΔ κοινὸν μέτρον ἐστί. λέγω δὴ ὅτι καὶ μέγιστον. εἰ γὰρ μή, ἔσται τι μέγεθος μεῖζον τοῦ AZ, ὃ μετρήσει τὰ AB, ΓΔ. μετρείτω, καὶ ἔστω τὸ H. ἐπεὶ οὖν τὸ H τὸ AB μετρεῖ, ἀλλὰ τὸ AB τὸ EΔ μετρεῖ· καὶ τὸ H ἄρα τὸ EΔ μετρήσει. μετρεῖ δὲ καὶ ὅλον τὸ ΓΔ· λοιπὸν ἄρα τὸ ΓE μετρήσει τὸ H. ἀλλὰ τὸ ΓE τὸ ZB μετρεῖ· καὶ τὸ H ἄρα τὸ ZB μετρήσει. μετρεῖ δὲ καὶ ὅλον τὸ AB· καὶ λοιπὸν ἄρα τὸ AZ μετρήσει, τὸ μεῖζον τὸ ἔλασσον, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα μεῖζόν τι μέγεθος τοῦ AZ τὰ AB, ΓΔ μεγέθη μετρήσει· τὸ AZ ἄρα τῶν AB, ΓΔ τὸ μέγιστον κοινὸν μέτρον ἐστί.

Δύο ἄρα μεγεθῶν συμμέτρων δοθέντων τῶν AB, ΓΔ, τὸ μέγιστον κοινὸν μέτρον εὕρηται τὸ AZ. ὅπερ ἔδει ποιῆσαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν μέγεθος δύο μεγέθη μετρῇ, καὶ τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον μετρήσει.

ΠΡΟΤΑΣΙΣ Δ'.

Τριῶν μεγεθῶν συμμέτρων δοθέντων, τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Ἔστω τὰ δοθέντα τρία μεγέθη σύμμετρα τὰ Α, Β, Γ· δεῖ δὴ τῶν Α, Β, Γ τὸ μέγιστον κοινὸν μέτρον εὑρεῖν.

Εἰλήφθω γὰρ τῶν Α, Β τὸ μέγιστον κοινὸν μέτρον, καὶ ἔστω τὸ Δ· τὸ δὴ Δ τὸ Γ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον. ἐπεὶ οὖν τὸ Δ τὸ Γ μετρεῖ, μετρεῖ δὲ καὶ τὰ Α, Β· τὸ Δ ἄρα τὰ Α, Β, Γ μετρεῖ· τὸ Δ ἄρα τῶν Α, Β, Γ κοινὸν μέτρον ἐστί. καὶ φανερὸν ὅτι καὶ μέγιστον, μεῖζον γὰρ τοῦ Δ μεγέθους τὰ Α, Β, Γ οὐ μετρήσει. εἰ γὰρ δυνατόν, μετρείτω τὰ Α, Β, Γ μεῖζον τοῦ Δ μεγέθους, τὸ Ε. καὶ ἐπεὶ τὰ Α, Β, Γ μετρεῖ, καὶ τὰ Α, Β μετρήσει, καὶ τὸ τῶν Α, Β μέγιστον κοινὸν μέτρον μετρήσει τὸ Δ, τὸ μεῖζον τὸ ἔλασσον, ὅπερ ἀδυνάτον.

Μὴ μετρείτω δὴ τὸ Δ τὸ Γ. λέγω πρῶτον ὅτι σύμμετρά ἐστι τὰ Γ, Δ. ἐπεὶ γὰρ σύμμετρά ἐστι τὰ Α, Β, Γ, μετρήσει τι αὐτὰ μέγεθος, ὃ δηλαδὴ καὶ τὰ Α, Β μετρήσει· ὥστε καὶ τὸ τῶν Α, Β μέγιστον κοινὸν μέτρον τὸ Δ μετρήσει. μετρεῖ δὲ καὶ τὸ Γ· ὥστε τὸ εἰρημένον μέγεθος μετρήσει τὰ Γ, Δ· σύμμετρα ἄρα ἐστὶ τὰ Γ, Δ. εἰλήφθω αὐτῶν τὸ μέγιστον κοινὸν μέτρον, καὶ ἔστω τὸ Ε. ἐπεὶ οὖν τὸ Ε τὸ Δ μετρεῖ, ἀλλὰ τὸ Δ τὰ Α, Β μετρεῖ· καὶ τὸ Ε ἄρα τὰ Α, Β μετρεῖ. μετρεῖ δὲ καὶ τὸ Γ· τὸ Ε ἄρα τῶν Α, Β, Γ κοινόν μέτρον ἐστί. λέγω δὴ ὅτι καὶ μέγιστον. εἰ γὰρ δυνατόν, ἔστω τι τοῦ Ε μεῖζον μέγεθος τὸ Ζ, καὶ μετρείτω τὰ Α, Β, Γ. καὶ ἐπεὶ τὸ Ζ τὰ Α, Β, Γ μετρεῖ, καὶ τὰ Α, Β μετρήσει· καὶ τὸ τῶν Α, Β ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν Α, Β μέγιστον κοινὸν μέτρον ἐστὶ τὸ Δ· τὸ Ζ ἄρα τὸ Δ μετρεῖ. μετρεῖ δὲ καὶ τὸ Γ· τὸ Ζ ἄρα τὰ Γ, Δ μετρεῖ· καὶ τὸ τῶν Γ, Δ ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει τὸ Ζ. τὸ δὲ τῶν Γ, Δ μέγιστον κοινὸν μέτρον ἐστὶ τὸ Ε· τὸ Ζ ἄρα τὸ Ε μετρεῖ, τὸ μεῖζον τὸ ἔλασσον, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα μεῖζόν τι τοῦ Ε μέγεθος μέγεθος τὰ Α, Β, Γ μετρεῖ· τὸ Ε ἄρα τῶν Α, Β, Γ τὸ μέγιστον κοινὸν μέτρον ἐστίν, ἐὰν μὴ μετρῇ τὸ Δ τὸ Γ· ἐὰν δὲ μετρῇ, αὐτὸ τὸ Δ.



Τριῶν ἄρα μεγεθῶν δοθέντων συμμέτρων, τὸ μέγιστον κοινὸν μέτρον εὕρηται. ὅπερ ἔδει ποιῆσαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν μέγεθος τρία με-

PROP. IV. PROBL.

Tribus magnitudinibus commenſurabilibus datis, maximam ipſarum communem menſuram invenire.

SInt datæ tres magnitudines commenſurabiles A, B, Γ: oportet ipſarum A, B, Γ maximam communem menſuram invenire.

Sumatur enim [per 3. 10.] duarum A, B maxima communis menſura quæ ſit Δ; itaque Δ ipſam Γ vel metitur, vel non metitur. metiatur primum. & quoniam Δ ipſam Γ metitur, metitur autem & A, B, & ipſas A, B, Γ metietur: quare Δ ipſarum A, B, Γ communis eſt menſura. & manifeſtum eſt maximam eſſe; magnitudo enim major magnitudine Δ ipſas A, B, Γ non metietur. nam ſi fieri poteſt, metiatur eas magnitudo major ipſa Δ, quæ ſit E. quoniam igitur E magnitudines A, B, Γ metitur, & ipſas A, B metietur, & [per coroll. 3. 10.] ipſarum A, B maximam communem menſuram Δ, major minorem, quod fieri non poteſt.

Sed non metiatur Δ ipſam Γ. dico primum Γ, Δ commenſurabiles eſſe. quoniam enim commenſurabiles ſunt A, B, Γ, metitur eas aliqua magnitudo, quæ ſcilicet & ipſas A, B metitur; ergo & ipſarum A, B maximam communem menſuram Δ. metitur autem & ipſam Γ: quare dicta magnitudo ipſas Γ, Δ metitur: ideoque [per 1. def. 1.] Γ, Δ commenſurabiles ſunt. ſumatur [per 3. 10.] ipſarum maxima communis menſura; & ſit E. quoniam igitur E metitur Δ, Δ vero metitur A, B, & E ipſas A, B metietur. metitur autem & Γ: ergo E ipſarum A, B, Γ communis eſt menſura. dico & maximam eſſe. ſi enim fieri poteſt, ſit aliqua magnitudo Z major ipſa E, quæ magnitudines A, B, Γ metiatur. & quoniam Z metitur A, B, Γ, & ipſas A, B metietur; & igitur [per coroll. 3. 10.] ipſarum A, B maximam communem menſuram metietur. ſed Δ eſt maxima communis menſura ipſarum A, B; ergo Z metitur Δ. metitur autem & Γ: quare Z ipſas Γ, Δ metitur; & igitur Z metitur ipſarum Γ, Δ maximam communem menſuram. ſed ipſarum Γ, Δ maxima communis menſura eſt E: ergo Z ipſam E metietur, major minorem, quod fieri non poteſt: non igitur magnitudo major ipſa E magnitudines A, B, Γ metietur: ergo E ipſarum A, B, Γ maxima erit communis menſura, ſi Δ ipſam Γ non metiatur; ſi vero metiatur, erit ipſa Δ.

Tribus igitur magnitudinibus commenſurabilibus datis, maxima ipſarum communis menſura inventa eſt. quod erat faciendum.

Corollarium.

Ex hoc perſpicue conſtat, ſi magnitudo tres

metiatur magnitudines, & ipſarum maximam communem menſuram metiri.

Similiter & in pluribus magnitudinibus maxime communis menſura invenietur, & corollarium procedet.

PROP. V. THEOR.

Commenſurabiles magnitudines inter ſe rationem habent, quam numerus ad numerum.

SInt commenſurabiles magnitudines A, B: dico magnitudinem A ad B rationem habere quam numerus ad numerum.

Quoniam enim A, B commenſurabiles ſunt, metietur ipſas aliqua magnitudo. metiatur, & ſit Γ. & quoties Γ ipſam A metitur tot unitates ſint in Δ; quoties autem Γ metitur B tot unitates ſint in E.



Quoniam igitur Γ ipſam A metitur per unitates quæ ſunt in Δ, metitur autem & unitas numerum Δ per unitates quæ in ipſo ſunt; unitas æqualiter metietur numerum Δ atque magnitudo Γ ipſam A: ergo ut Γ ad A ita eſt unitas ad Δ, & convertendo ut A ad Γ ita Δ ad unitatem. rurſus, quoniam Γ ipſam B metitur per unitates quæ ſunt in E, metiturque unitas numerum E per unitates quæ in ipſo ſunt; unitas numerum E æqualiter metietur atque Γ ipſam B: eſt igitur ut Γ ad B ita unitas ad E. oſtenſum autem eſt & ut A ad Γ ita eſſe Δ ad unitatem: quare ex æquo ut A ad B ita numerus Δ ad E numerum.

Commenſurabiles igitur magnitudines A, B inter ſe rationem habent quam Δ numerus ad numerum E. quod erat demonſtrandum.

PROP. VI. THEOR.

Si duæ magnitudines inter ſe rationem habeant quam numerus ad numerum, magnitudines erunt commenſurabiles.

DUÆ enim magnitudines A, B inter ſe rationem habeant quam Δ numerus ad numerum E: dico A, B magnitudines commenſurabiles eſſe.

Quot enim unitates ſunt in Δ, in tot partes æquales dividatur magnitudo A, & uni ipſarum æqualis ſit Γ: quot autem unitates ſunt in E, ex tot magnitudinibus æqualibus ipſi Γ componatur magnitudo Z.

Quoniam igitur quot ſunt in Δ unitates tot magnitudines ſunt in A ipſi Γ æquales; quæ pars eſt unitas ipſius Δ eadem pars erit & Γ ipſius A: ut igitur Γ ad A ita eſt unitas ad Δ. [metitur autem unitas ipſum Δ numerum: ergo

ΠΡΟΤΑΣΙΣ ε'.

Τὰ σύμμετρα μεγέθη πρὸς ἄλληλα λόγον ἔχει, ὃν ἀριθμὸς πρὸς ἀριθμόν.

ΕΣτω σύμμετρα μεγέθη τὰ Α, Β· λέγω ὅτι τὸ Α πρὸς τὸ Β λόγον ἔχει, ὃν ἀριθμὸς πρὸς ἀριθμόν.

Επεὶ γὰρ σύμμετρά ἐστι τὰ Α, Β, μετρήσει τι αὐτὰ μέγεθος. μετρείτω, καὶ ἔστω τὸ Γ. καὶ ὁσάκις τὸ Γ τὸ Α μετρεῖ τοσαῦται μοναὶ ἔστωσαν ἐν τῷ Δ, ὁσάκις δὲ τὸ Γ τὸ Β μετρεῖ τοσαῦται μοναὶ ἔστωσαν ἐν τῷ Ε.

Επεὶ οὖν τὸ Γ τὸ Α μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας, μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν Δ κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ μονὰς τὸ Δ μετρεῖ καὶ τὸ Γ μέγεθος τὸ Α· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Α οὕτως ἡ μονὰς πρὸς τὸ Δ· ἀνάπαλιν ἄρα, ὡς τὸ Α πρὸς τὸ Γ οὕτως ὁ Δ πρὸς τὴν μονάδα. πάλιν, ἐπεὶ τὸ Γ τὸ Β μετρεῖ κατὰ τὰς ἐν τῷ Ε μονάδας, μετρεῖ δὲ καὶ ἡ μονὰς τὸ Ε κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ μονὰς τὸ Ε μετρεῖ καὶ τὸ Γ τὸ Β· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Β οὕτως ἡ μονὰς πρὸς τὸ Ε. ἐδείχθη δὲ καὶ ὡς τὸ Α πρὸς τὸ Γ οὕτως ὁ Δ πρὸς τὴν μονάδα· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β οὕτως ὁ Δ ἀριθμὸς πρὸς τὸν Ε.

Τὰ ἄρα σύμμετρα μεγέθη τὰ Α, Β πρὸς ἄλληλα λόγον ἔχει ὃν ὁ Δ ἀριθμὸς πρὸς ἀριθμὸν τὸν Ε. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν δύο μεγέθη πρὸς ἄλληλα λόγον ἔχῃ ὃν ἀριθμὸς πρὸς ἀριθμόν, σύμμετρα ἔσται τὰ μεγέθη.

ΔΥΟ γὰρ μεγέθη πρὸς ἄλληλα τὰ Α, Β λόγον ἐχέτω ὃν ἀριθμὸς ὁ Δ πρὸς ἀριθμὸν τὸν Ε· λέγω ὅτι σύμμετρά ἐστι τὰ Α, Β μεγέθη.

Οσαι γάρ εἰσιν ἐν τῷ Δ μονάδες εἰς τοσαῦται ἴσα διῃρήσθω τὸ Α, καὶ ἑνὶ αὐτῶν ἴσον ἔστω τὸ Γ· ὅσαι δέ εἰσιν ἐν τῷ Ε μονάδες, ἐκ τοσούτων μεγεθῶν ἴσων τῷ Γ συγκείσθω τὸ Ζ.

Επεὶ οὖν ὅσαι εἰσὶν ἐν τῷ Δ μονάδες τοσαῦτά εἰσι καὶ ἐν τῷ Α μεγέθη ἴσα τῷ Γ· ὃ ἄρα μέρος ἐστὶν ἡ μονὰς τὸ Δ τοῦτο μέρος ἐστὶ καὶ τὸ Γ τὸ Α· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Α οὕτως ἡ μονὰς πρὸς τὸν Δ. [* μετρεῖ δὲ ἡ μονὰς τὸν Δ ἀριθμόν· μετρεῖ ἄρα καὶ

* Illa uncis inclusa desiderantur in utroque Cod. MS.

καὶ τὸ Γ τὸ Α. καὶ ἐπεί ἐστιν ὡς τὸ Γ πρὸς τὸ Α οὕτως ἡ μονὰς πρὸς τὸν Δ ἀριθμόν] ἀνάπαλιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ οὕτως ὁ Δ ἀριθμὸς πρὸς τὴν μονάδα. πάλιν, ἐπεὶ ὅσαι εἰσὶν ἐν τῷ Ε μονάδες τοσαῦταί εἰσι καὶ ἐν τῷ Ζ μεγέθη ἴσα τῷ Γ· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Ζ οὕτως ἡ μονὰς πρὸς τὸν Ε ἀριθμόν. ἐδείχθη δὲ καὶ ὡς τὸ Α πρὸς τὸ Γ οὕτως ὁ Δ πρὸς τὴν μονάδα· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς τὸ Α πρὸς τὸ Ζ οὕτως ὁ Δ πρὸς τὸν Ε. ἀλλ᾽ ὡς ὁ Δ πρὸς τὸν Ε οὕτως τὸ Α πρὸς τὸ Β· καὶ ὡς ἄρα τὸ Α πρὸς τὸ Β οὕτως καὶ τὸ Α πρὸς τὸ Ζ· τὸ Α ἄρα πρὸς ἑκάτερον τῶν Β, Ζ τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα ἐστὶ τὸ Β τῷ Ζ. μετρεῖ δὲ τὸ Γ τὸ Ζ· μετρεῖ ἄρα καὶ τὸ Β. ἀλλὰ μονὰς καὶ τὸ Α· τὸ Γ ἄρα τὰ Α, Β μετρεῖ· σύμμετρον ἄρα ἐστὶ τὸ Α τῷ Β.



& Γ ipſam A metietur. & quoniam eſt ut Γ ad A ita unitas ad Δ numerum:] erit igitur convertendo ut A ad Γ ita Δ numerus ad unitatem. rurſus, quoniam quot unitates ſunt in E tot ſunt & in Z magnitudines ipſi Γ æquales; ut Γ ad Z ita erit unitas ad E numerum. oſtenſum autem eſt & ut A ad Γ ita Δ eſſe ad unitatem: ergo ex æquo ut A ad Z ita Δ ad E. ſed ut Δ ad E ita A ad B: & igitur ut A ad B ita A ad Z. quod cum A ad utramque ipſarum B, Z eandem habeat rationem, erit [per 9. 5.] B ipſi Z æqualis. metitur autem Γ ipſam Z: ergo & ipſam B metietur. ſed & metitur A: quare Γ ipſas A, B metitur: commenſurabilis igitur eſt [per 1. def. 10.] A ipſi B.

Ἐὰν ἄρα δύο μεγέθη πρὸς ἄλληλα λόγον ἔχῃ ὃν ἀριθμὸς πρὸς ἀριθμόν, σύμμετρα ἔσται τὰ μεγέθη. ὅπερ ἔδει δεῖξαι.

Quare ſi duæ magnitudines inter ſe rationem habeant quam numerus ad numerum, magnitudines erunt commenſurabiles. quod erat demonſtrandum.

ΑΛΛΩΣ.

Δύο γὰρ μεγέθη τὰ Α, Β πρὸς ἄλληλα λόγον ἐχέτω ὃν ἀριθμὸς ὁ Γ πρὸς ἀριθμὸν τὸν Δ· λέγω ὅτι σύμμετρά ἐστι τὰ μεγέθη.

Ὅσαι γὰρ εἰσὶν ἐν τῷ Γ μονάδες εἰς τοσαῦτα ἴσα διῃρήσθω τὸ Α, καὶ ἑνὶ αὐτῶν ἴσον ἔστω τὸ Ε· ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν Γ ἀριθμὸν οὕτως τὸ Ε πρὸς τὸ Α. ἔστι δὲ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως τὸ Α πρὸς τὸ Β· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ἡ μονὰς πρὸς τὸν Δ οὕτως τὸ Ε πρὸς τὸν Β. μετρεῖ δὲ ἡ μονὰς τὸν Δ· μετρεῖ ἄρα καὶ τὸ Ε τὸ Β. μετρεῖ δὲ καὶ τὸ Ε τὸ Α, ἐπεὶ καὶ ἡ μονὰς τὸν Γ· τὸ Ε ἄρα ἑκάτερον τῶν Α, Β μετρεῖ· τὰ Α, Β ἄρα σύμμετρά ἐστι, καὶ ἔστιν αὐτῶν κοινὸν μέτρον τὸ Ε.



ALITER.

Duæ enim magnitudines A, B inter ſe rationem habeant quam numerus Γ ad numerum Δ: dico magnitudines commenſurabiles eſſe.

Quot enim unitates ſunt in Γ, in tot partes æquales dividatur A, & uni ipſarum æqualis ſit E: eſt igitur ut unitas ad Γ numerum ita E ad A. eſt autem & ut Γ ad Δ ita A ad B: ergo ex æquo ut unitas ad Δ numerum ita E ad B. ſed unitas metitur Δ: ergo & E ipſam B metitur. metitur autem & E ipſam A, quoniam & unitas metitur Γ: quare E utramque ipſarum A, B metietur; ideoque A, B commenſurabiles ſunt; atque eſt E communis ipſarum menſura.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν ὦσι δύο ἀριθμοὶ ὡς οἱ Δ, Ε, καὶ εὐθεῖα ὡς ἡ Α, δυνατόν ἐστι ποιῆσαι ὡς τὸν Δ ἀριθμὸν πρὸς τὸν Ε ἀριθμὸν οὕτως τὴν εὐθεῖαν πρὸς εὐθεῖαν. ἐὰν δὲ καὶ τῶν Α, Ζ μέση ἀνάλογον ληφθῇ ὡς ἡ Β, ἔσται ὡς ἡ Α πρὸς τὴν Ζ οὕτως τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β, τουτέστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας, τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον. ἀλλ᾽ ὡς ἡ Α πρὸς τὴν Ζ οὕτως ἐστὶν ὁ Δ ἀριθμὸς

Corollarium.

Ex hoc manifeſtum eſt, ſi ſint duo numeri ut Δ, E & recta linea ut A, fieri poſſe, ut Δ numerus ad numerum E ita eſſe rectam lineam A ad aliam rectam lineam. ſi autem inter ipſas A, Z media proportionalis ſumatur ut B, erit [per cor. 20. 6.] ut A ad Z ita quod fit ex A ad id quod ex B, hoc eſt ut prima ad tertiam ita figura quæ fit à prima ad eam quæ à ſecunda ſimilem & ſimiliter deſcriptam. ſed ut A ad Z ita Δ numerus



ad numerum E: factum igitur est & ut Δ numerus ad numerum E ita quod fit ex recta linea A ad id quod ex recta linea B.

πρὸς τὸν Ε ἀριθμόν· γέγονεν ἄρα καὶ ὡς ὁ Δ ἀριθμὸς πρὸς τὸν Ε ἀριθμὸν οὕτως τὸ ἀπὸ τῆς Α εὐθείας πρὸς τὸ ἀπὸ τῆς Β εὐθείας.

Prop. VII. Theor.

Incommensurabiles magnitudines inter se rationem non habent quam numerus ad numerum.

Sint commensurabiles magnitudines A, B: dico A ad B rationem non habere quam numerus ad numerum.

Si enim A ad B rationem habet quam numerus ad numerum; commensurabilis erit [per 6. 10.] A ipsi B. atqui non est commensurabilis: non igitur A ad B rationem habet quam numerus ad numerum.

Quare incommensurabiles magnitudines inter se rationem non habent quam numerus ad numerum. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ζ'.

Τὰ ἀσύμμετρα μεγέθη πρὸς ἄλληλα λόγον οὐκ ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν.

Ἔστω ἀσύμμετρα μεγέθη τὰ Α, Β· λέγω ὅτι τὸ Α πρὸς τὸ Β λόγον οὐκ ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν.

Εἰ γὰρ ἔχει τὸ Α πρὸς τὸ Β λόγον ὃν ἀριθμὸς πρὸς ἀριθμόν, σύμμετρον ἔσται τὸ Α τῷ Β. οὐκ ἔστι δέ· οὐκ ἄρα τὸ Α πρὸς τὸ Β λόγον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν.

Τὰ ἄρα ἀσύμμετρα μεγέθη πρὸς ἄλληλα λόγον οὐκ ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν. ὅπερ ἔδει δεῖξαι.

Prop. VIII. Theor.

Si duæ magnitudines inter se rationem non habeant quam numerus ad numerum, incommensurabiles erunt.

Duæ enim magnitudines A, B inter se rationem non habeant quam numerus ad numerum: dico magnitudines A, B incommensurabiles esse.

Si enim commensurabilis est A ipsi B, rationem habet [per 5. 10.] quam numerus ad numerum. atqui non habet: incommensurabiles igitur sunt A, B magnitudines.

Ergo si duæ magnitudines inter se rationem non habeant quam numerus ad numerum, incommensurabiles erunt. quod erat demonstrandum.



ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν δύο μεγέθη πρὸς ἄλληλα λόγον μὴ ἔχῃ ὃν ἀριθμὸς πρὸς ἀριθμόν, ἀσύμμετρα ἔσται τὰ μεγέθη.

Δύο γὰρ μεγέθη τὰ Α, Β πρὸς ἄλληλα λόγον μὴ ἐχέτω ὃν ἀριθμὸς πρὸς ἀριθμόν· λέγω ὅτι ἀσύμμετρά ἐστι τὰ Α, Β μεγέθη.

Εἰ γὰρ σύμμετρόν ἐστι τὸ Α τῷ Β, λόγον ἔχει ὃν πρὸς ἀριθμὸς πρὸς ἀριθμόν. οὐκ ἔχει δέ· ἀσύμμετρα ἄρα ἐστὶ τὰ Α, Β μεγέθη.

Ἐὰν ἄρα δύο μεγέθη πρὸς ἄλληλα λόγον μὴ ἔχῃ ὃν ἀριθμὸς πρὸς ἀριθμόν, ἀσύμμετρα ἔσται. ὅπερ ἔδει δεῖξαι.

Prop. IX. Theor.

Quæ à rectis lineis longitudine commensurabilibus fiunt quadrata inter se rationem habent quam quadratus numerus ad quadratum numerum; & quadrata inter se rationem habentia quam quadratus numerus ad quadratum numerum & latera habebunt longitudine commensurabilia: quadrata vero quæ à longitudine incommensurabilibus rectis lineis fiunt inter se rationem non habent quam quadratus numerus ad quadratum numerum; & quadrata inter se rationem non habentia quam quadratus

ΠΡΟΤΑΣΙΣ θ'.

Τὰ ἀπὸ τῶν μήκει συμμέτρων εὐθειῶν τετράγωνα πρὸς ἄλληλα λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, καὶ τὰ τετράγωνα τὰ πρὸς ἄλληλα λόγον ἔχοντα ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, καὶ αἱ πλευραὶ ἕξουσι μήκει σύμμετρος· τὰ δὲ ἀπὸ τῶν μήκει ἀσυμμέτρων εὐθειῶν τετράγωνα πρὸς ἄλληλα λόγον οὐκ ἔχει ὅπερ τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, καὶ τὰ τετράγωνα τὰ πρὸς ἄλληλα λόγον μὴ ἔχοντα ὅπερ τετράγωνος

ἀριθμὸς

ἀριθμὸς πρὸς τετράγωνον ἀριθμὸν οὐδὲ τὰς πλευρὰς ἕξει μήκει συμμέτρους.

numerus ad quadratum numerum neque latera habebunt longitudine commenſurabilia.

Ἐστωσαν αἱ Α, Β μήκει σύμμετροι· λέγω ὅτι τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς Β τετράγωνον λόγον ἔχει ὃν περ τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν.

Ἐπεὶ γὰρ σύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει· ἡ Α ἄρα πρὸς τὴν Β λόγον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν. ἐχέτω ὃν ὁ Γ πρὸς τὸν Δ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ Α πρὸς τὴν Β οὕτως ὁ Γ ἀριθμὸς πρὸς τὸν Δ ἀριθμόν, ἀλλὰ μὴν τῆς Α πρὸς τὴν Β λόγος διπλασίων ἐστὶν ὁ ἀπὸ τῆς Α τετραγώνου πρὸς τὸ ἀπὸ τῆς Β τετράγωνον (τὰ γὰρ ὅμοια σχήματα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν)· καὶ ὁ τοῦ Γ ἀριθμοῦ πρὸς τὸν Δ ἀριθμὸν λόγος διπλασίων ἐστὶν ὁ ἀπὸ τοῦ Γ τετραγώνου πρὸς τὸ ἀπὸ τοῦ Δ τετράγωνον, δύο γὰρ τετραγώνων ἀριθμῶν εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός, καὶ ὁ τετράγωνος πρὸς τὸν τετράγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ πλευρὰ πρὸς πλευράν· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς Β τετράγωνον οὕτως ὁ ἀπὸ τοῦ Γ ἀριθμοῦ τετράγωνος ἀριθμὸς πρὸς τὸν ἀπὸ τοῦ Δ ἀριθμοῦ τετράγωνον ἀριθμόν. ὅπερ ἔδει δεῖξαι.



Sint rectæ lineæ A, B longitudine commenſurabiles: dico quadratum quod fit ex A ad quadratum quod ex B eam rationem habere quam quadratus numerus ad quadratum numerum.

Quoniam enim A ipſi B longitudine eſt commenſurabilis, habebit [per 5. 10.] A ad B rationem quam numerus ad numerum. habeat eam quam numerus Γ ad numerum Δ. quoniam igitur eſt ut A ad B ita Γ numerus ad numerum Δ, & rationis quidem quam habet A ad B duplicata eſt ratio quadrati quod fit ex A ad quadratum quod ex B, ſimiles enim figuræ [per 20. 6.] in duplicata ſunt ratione homologorum laterum; rationis vero quam habet numerus Γ ad numerum Δ duplicata eſt ratio quadrati ipſius Γ ad ipſius Δ quadratum, nam [per 11. 8.] inter duos numeros quadratos unus medius proportionalis eſt numerus; & quadratus ad quadratum duplicatam rationem habet ejus quam latus habet ad latus: erit ut quadratum quod fit ex A ad quadratum quod ex B ita quadratus numerus qui fit ex Γ numero ad quadratum numerum qui ex Δ. quod erat demonſtrandum.

ΑΛΛΩΣ. Ἐπεὶ γὰρ σύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει, λόγον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν. ἐχέτω ὃν ὁ Γ πρὸς τὸν Δ, καὶ ὁ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε ποιείτω, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η ποιείτω. ἐπεὶ οὖν ὁ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκε, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, τουτέστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ. ἀλλ' ὡς ἡ Α πρὸς τὴν Β οὕτως τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὁμοίως τὸ ἀπὸ τῆς Α, Β· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὁμοίως τὸ ἀπὸ τῆς Α, Β οὕτως ὁ Ε πρὸς τὸν Ζ. πάλιν, ἐπεὶ ὁ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η πεποίηκε, τὸν δὲ Γ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, τουτέστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως ὁ Ζ πρὸς τὸν Η. ἀλλ' ὡς ἡ Α πρὸς τὴν Β οὕτως τὸ ὁμοίως τὸ ἀπὸ τῆς Α, Β πρὸς τὸ ἀπὸ τῆς Β· ἔστιν ἄρα ὡς τὸ ὁμοίως τὸ ἀπὸ τῆς Α, Β πρὸς τὸ ἀπὸ τῆς Β οὕτως ὁ Ζ πρὸς τὸν Η. ἀλλ' ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὁμοίως τὸ ἀπὸ τῆς Α, Β οὕτως ἦν ὁ Ε πρὸς τὸν Ζ· διὸ καὶ ὡς τὸ ἀπὸ

ALITER. Quoniam enim commenſurabilis eſt A ipſi B longitudine, [per 5. 10.] rationem habet quam numerus ad numerum. habeat quam Γ ad Δ, & Γ ſeipſum quidem multiplicans faciat E, multiplicans vero Δ faciat Z, & Δ ſeipſum multiplicans faciat H. itaque quoniam Γ ſeipſum quidem multiplicans fecit E, multiplicans vero Δ fecit Z; erit [per 17. 7.] ut Γ ad Δ, hoc eſt [per conſtr.] ut A ad B ita E ad Z. ſed [per 1. 6.] ut A ad B ita quadratum quod fit ex A ad rectangulum quod fit ſub A, B: eſt igitur ut quadratum quod ex A ad rectangulum ſub A, B ita E ad Z. rurſus, quoniam Δ ſeipſum multiplicans fecit H, multiplicans vero Γ ipſum Z fecit, ut Γ ad Δ, hoc eſt ut A ad B, ita erit [per 17. 7.] Z ad H. ut autem A ad B ita rectangulum quod fit ſub A, B ad quadratum quod fit ex B: ergo ut rectangulum ſub A, B ad quadratum quod ex B ita Z ad H. ſed ut quadratum quod fit ex A ad rectangulum ſub A, B, ita erat E ad Z: ex æquo igitur ut



quadratum ex A ad quadratum ex B ita E ad H. est autem uterque ipsorum E, H quadratus, & E quidem est à numero Γ, H vero ab ipso Δ: quadratum igitur quod fit ex A ad quadratum quod ex B rationem habet quam quadratus numerus ad quadratum numerum. quod erat demonstrandum.

SED sit ut quadratum quod fit ex A ad quadratum quod ex B ita quadratus numerus qui est à numero Γ ad quadratum numerum qui à numero Δ: dico A ipsi B longitudine commensurabilem esse. quoniam enim est ut quadratum quod fit ex A ad quadratum quod ex B ita quadratus numerus qui est à numero Γ ad quadratum numerum qui à numero Δ, sed [per 20. 6.] ratio quidem quadrati quod fit ex A ad quadratum quod ex B duplicata est rationis quam habet A ad B; ratio vero quadrati numeri qui est à numero Γ ad quadratum numerum qui à numero Δ [per 11. 8.] itidem duplicata est rationis quam habet Γ numerus ad numerum Δ: est igitur ut A ad B ita Γ ad Δ: ergo A ad B rationem habet quam numerus Γ ad Δ numerum: ac propterea [per 6. 10.] A ipsi B longitudine est commensurabilis. quod erat demonstrandum. ALITER. Sed quadratum quod fit ex A ad quadratum quod ex B rationem habeat quam quadratus numerus E ad quadratum numerum H: dico A ipsi B longitudine commensurabilem esse. Sit enim ipsius quidem E latus Γ, ipsius vero H latus Δ, & Γ ipsum Δ multiplicans faciat Z: ergo [per 17. 7.] E, Z, H deinceps proportionales sunt in ratione ipsius Γ ad Δ. & quoniam [per 1. 6.] inter quadrata quæ fiunt ex A, B medium proportionale est rectangulum sub A, B: inter numeros vero quadratos E, H [per 11. 8.] medius proportionalis est Z, erit ut quadratum quod fit ex A ad rectangulum sub A, B ita E ad Z. [* ut autem rectangulum sub A, B ad quadratum ex B ita Z ad H;] sed ut quadratum ex A ad rectangulum sub A, B ita A ad B: ergo A, B commensurabiles sunt; rationem enim habent quam numerus E ad numerum Z, hoc est quam Γ ad Δ, [ut enim Γ ad Δ ita E ad Z: nam Γ seipsum quidem multiplicans fecit E, multiplicans autem Δ ipsum Z fecit: est igitur [per 17. 7.] ut Γ ad Δ ita E ad Z. quod erat demonstrandum.]

SED incommensurabilis sit A ipsi B longitudine: dico quadratum ex A ad quadratum ex B rationem non habere quam quadratus numerus ad quadratum numerum. Si enim quadratum ex A ad quadratum ex



τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β ὕτως ⟨ὡ⟩ ὁ Ε πρὸς τὸν Η. ἔστι δὲ ἑκάτερος τῶν Ε, Η τετράγωνος, ὁ μὲν γὰρ Ε ἀπὸ τοῦ Γ ἐστιν, ὁ δὲ Η ἀπὸ τοῦ Δ· τὸ ἀπὸ τῆς Α ἄρα πρὸς τὸ ἀπὸ τῆς Β λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΑ δὴ ἔστω ὡς τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς Β τετράγωνον ὕτως ὁ ἀπὸ τοῦ Γ τετράγωνος πρὸς τὸ ἀπὸ τοῦ Δ τετράγωνον· λέγω ὅτι σύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει. ἐπεὶ γάρ ἐστιν ὡς τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς Β τετράγωνον ὕτως ὁ ἀπὸ τοῦ Γ τετράγωνος πρὸς τὸ ἀπὸ τοῦ Δ τετράγωνον, ἀλλ' ὁ μὲν τοῦ ἀπὸ τῆς Α τετραγώνου πρὸς τὸ ἀπὸ τῆς Β τετράγωνον λόγος διπλασίων ἐστὶ τοῦ τῆς Α πρὸς τὴν Β λόγου, ὁ δὲ τοῦ ἀπὸ τοῦ Γ ἀριθμοῦ τετραγώνου ἀριθμοῦ πρὸς τὸν ἀπὸ τοῦ Δ ἀριθμοῦ τετράγωνον ἀριθμὸν λόγος διπλασίων ἐστὶ τοῦ τοῦ Γ ἀριθμοῦ πρὸς τὸν Δ ἀριθμοῦ λόγου· ἔστιν ἄρα καὶ ὡς ἡ Α πρὸς τὴν Β ὕτως ὁ Γ ἀριθμὸς πρὸς τὸν Δ ἀριθμόν· ἡ Α ἄρα πρὸς τὴν Β λόγον ἔχει ὃν ἀριθμὸς ὁ Γ πρὸς ἀριθμὸν τὸν Δ· σύμμετρος ἄρα ἐστὶν ἡ Α τῇ Β μήκει. ὅπερ ἔδει δεῖξαι. ΑΛΛΩΣ. Ἀλλὰ δὴ ἐχέτω τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β λόγον ὃν τετράγωνος ἀριθμὸς ὁ Ε πρὸς τετράγωνον ἀριθμὸν τὸν Η· λέγω ὅτι σύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει. Ἐσω γὰρ ὁ μὲν Ε πλευρὰ ὁ Γ, τοῦ δὲ Η, ὁ Δ, καὶ ὁ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω· οἱ Ε, Ζ, Η ἄρα ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν Α, Β μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν Α, Β, τῶν δὲ Ε, Η ὁ Ζ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β ὕτως ὁ Ε πρὸς τὸν Ζ. [* ὡς δὲ τὸ ὑπὸ τῶν Α, Β πρὸς τὸ ἀπὸ τῆς Β ὕτως ὁ Ζ πρὸς τὸν Η,] ἀλλ' ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β ὕτως ἡ Α πρὸς τὴν Β· αἱ Α, Β ἄρα σύμμετροί εἰσι, λόγον γὰρ ἔχουσιν ὃν ἀριθμὸς ὁ Ε πρὸς ἀριθμὸν τὸν Ζ, τουτέστιν ὃν ὁ Γ πρὸς τὸν Δ. [† ὡς γὰρ ὁ Γ πρὸς τὸν Δ ὕτως ὁ Ε πρὸς τὸν Ζ· ὁ γὰρ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκε, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ ὕτως ὁ Ε πρὸς τὸν Ζ.] ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΑ δὲ ἀσύμμετρος ἔστω ἡ Α τῇ Β μήκει· λέγω ὅτι τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς Β τετράγωνον λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. Εἰ γὰρ ἔχει τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ

* Desiderantur in *Codd. MSS.* † Illa uncis inclusa non agnoscunt *Codd. MSS.* Videntur glossemata, & commode abesse possunt.

ἀπὸ

ἀπὸ τ̃ Β τετράγωνον λόγον ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, σύμμετρος ἔσται ἡ Α τῇ Β μήκει. ἔστι δὲ· οὐκ ἄρα τὸ ἀπὸ τ̃ Α τετράγωνον πρὸς τὸ ἀπὸ τ̃ Β τετράγωνον λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν.

ΠΑΛΙΝ δὲ τὸ ἀπὸ τῆς Α τετραγώνου πρὸς τὸ ἀπὸ τ̃ Β τετράγωνον λόγον μὴ ἐχέτω ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· λέγω ὅτι ἀσύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει. Εἰ γὰρ ἐστι σύμμετρος ἡ Α τῇ Β μήκει, ἕξει τὸ ἀπὸ τ̃ Α πρὸς τὸ ἀπὸ τ̃ Β λόγον ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. οὐκ ἔχει δέ· οὐκ ἄρα σύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει.

Κατασκευάσθω γὰρ τὰ αὐτὰ τοῖς προδεδειγμένοις. φανερὸν δὴ ὅτι ἡ τὸ ΑΓ δυναμένη ἐστὶν ἡ ΜΞ, καὶ ὅτι ἀσύμμετρός ἐστιν ἡ ΜΝ τῇ ΝΞ δυνάμει. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΔ τῇ ΑΒ μήκει· αἱ ΕΔ, ΑΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· μέσον ἄρα ἐστὶ τὸ ΑΚ, τουτέστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΜΝ, ΝΞ. πάλιν, ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΔ τῇ ΑΒ μήκει, ἀσύμμετρός ἐστι καὶ ἡ ΖΕ τῇ ΕΚ· καὶ αἱ ΖΕ, ΕΚ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· μέσον ἄρα ἐστὶ τὸ ΕΛ, τουτέστι τὸ ΜΡ, τουτέστι τὸ ὑπὸ τῶν ΜΝ, ΝΞ. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΔ τῇ ΕΖ, καὶ τὸ ΑΚ τῷ ΕΛ ἀσύμμετρόν ἐστιν. ἀλλὰ τὸ μὲν ΑΚ ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΜΝ, ΝΞ, τὸ δὲ ΕΛ ἐστὶ τὸ ὑπὸ τῶν ΜΝ, ΝΞ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΜΝ, ΝΞ τῷ ὑπὸ τῶν ΜΝ, ΝΞ. ἔστι δὲ μέσον ἑκάτερον αὐτῶν, ἔστι δὲ καὶ ΜΝ, ΝΞ. καὶ ἔστι μέσον ἑκάτερον αὐτῶν, καὶ αἱ ΜΝ, ΝΞ δυνάμει εἰσὶν ἀσύμ-

Conſtruantur enim eadem quæ ſupra. manifeſtum igitur eſt ΜΞ poſſe ſpatium ΑΓ, & ΜΝ ipſi ΝΞ potentia incommenſurabilem eſſe. & quoniam ΕΔ ipſi ΑΒ incommenſurabilis eſt longitudine, erunt ΕΔ, ΑΒ rationales potentia ſolum commenſurabiles: medium igitur [per 22. 10.] eſt ΑΚ, hoc eſt compoſitum ex quadratis ipſarum ΜΝ, ΝΞ. rurſus, quoniam incommenſurabilis eſt ΕΔ ipſi ΑΒ longitudine, erit & ΖΕ ipſi ΕΚ longitudine incommenſurabilis: ergo & ΖΕ, ΕΚ rationales ſunt potentia ſolum commenſurabiles; ac propterea medium eſt ΕΛ, hoc eſt ΜΡ, hoc eſt quod ſub ΜΝ, ΝΞ continetur. & quoniam ΕΔ eſt incommenſurabilis ipſi ΕΖ, & parallelogrammum ΑΚ parallelogrammo ΕΛ incommenſurabile erit. ſed ΑΚ quidem eſt compoſitum ex quadratis ipſarum ΜΝ, ΝΞ; ΕΛ vero eſt quod ſub ΜΝ, ΝΞ continetur: incommenſurabile igitur eſt compoſitum ex quadratis ipſarum ΜΝ, ΝΞ ei quod ſub ΜΝ, ΝΞ continetur. atque eſt utrumque ipſorum medium; & ΜΝ, ΝΞ potentia ſunt incommenſurabiles:

les: ergo [per 42. 10.] MΞ est bina media potens, & potest spatium AΓ. quod erat demonstrandum.

LEMMA.

Si recta linea in partes inæquales secetur, ipsarum partium quadrata majora sunt rectangulo quod bis sub dictis partibus continetur.

Sit recta linea AB, & secetur in puncto Γ, & sit AΓ major: dico quadrata ex AΓ, ΓB majora esse rectangulo quod bis sub AΓ, ΓB continetur.



Secetur enim AB bifariam in Δ. & quoniam recta linea AB in partes quidem æquales secatur ad Δ, in partes vero inæquales ad Γ; rectangulum sub AΓ, ΓB una cum quadrato ipsius ΓΔ [per 5. 2.] est æquale ei quod fit ex AΔ quadrato: ergo rectangulum sub AΓ, ΓB quadrato ex AΔ est minus: quod igitur bis continetur sub AΓ, ΓB minus est quam duplum quadrati ex AΔ. sed [per 9. 2.] quadrata ex AΓ, ΓB dupla sunt quadratorum ex AΔ, ΔΓ: ergo quadrata ex AΓ, ΓB majora sunt eo quod bis sub AΓ, ΓB continetur. quod erat demonstrandum.

PROP. LXI. THEOR.

Quadratum ejus quæ est ex binis nominibus ad rationalem applicatum latitudinem facit ex binis nominibus primam.

SIT ex binis nominibus AB divisa in nomina ad punctum Γ, ita ut AΓ sit majus nomen, exponaturque rationalis ΔE, & quadrato rectæ lineæ AB æquale ad ipsam ΔE applicetur rectangulum parallelogrammum ΔEZH, latitudinem faciens ΔH: dico ΔH ex binis nominibus primam esse.

Applicetur enim [per 45. 1.] ad rationalem ΔE quadrato quidem ipsius AΓ æquale parallelogrammum ΔΘ, quadrato autem ipsius BΓ æquale KΛ; reliquum igitur quod bis sub AΓ, ΓB continetur [per 4. 2.] est æquale parallelogrammo MZ. secetur MH bifariam in N, & alterutri ipsarum MΛ, HZ parallela ducatur NΞ: utrumque igitur parallelogrammorum MΞ, NZ est æquale ei quod semel sub AΓ, ΓB continetur. & quoniam ex binis nominibus est AB divisa in nomina ad punctum Γ, erunt [per 37. 10.] AΓ, ΓB rationales potentia solum commensurabiles: ergo quadrata ex AΓ, ΓB rationalia sunt & commensurabilia inter se: & ob id [per 16. 10.] compositum ex quadratis ipsarum AΓ, ΓB commensurabile est ipsarum AΓ, ΓB quadratis: rationale igitur est compositum ex quadratis ipsarum AΓ, ΓB. atq; est æquale parallelogrammo ΔΛ: ergo & ΔΛ est rationale, & ad rationalem ΔE applicatum est: rationalis igitur est ΔM [per 23. 10.]



μετρος· ἡ ΜΞ ἄρα δύο μέσα δυναμένη ἐστὶ, καὶ δυνατὸν τὸ ΑΓ. ὅπερ ἔδει δεῖξαι.

ΛΗΜΜΑ.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἄνισα, τὰ ἀπὸ τῶν ἀνίσων τετράγωνα μείζονά ἐστι τοῦ δὶς ὑπὸ τῶν ἀνίσων περιεχομένου ὀρθογωνίου.

Ἐστω εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω εἰς ἄνισα κατὰ τὸ Γ, καὶ ἔστω μείζων ἡ ΑΓ· λέγω ὅτι τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ μείζονά ἐστι τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ.

Τετμήσθω γὰρ ἡ ΑΒ δίχα κατὰ τὸ Δ. ἐπεὶ οὖν εὐθεῖα γραμμὴ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Δ, εἰς δὲ ἄνισα κατὰ τὸ Γ· τὸ ἄρα ὑπὸ τῶν ΑΓ, ΓΒ μετὰ τοῦ ἀπὸ τῆς ΓΔ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΔ· ὥστε τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ ἔλαττόν ἐστι τοῦ ἀπὸ τῶν ΑΔ· τὸ ἄρα δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ἔλαττόν ἐστι τοῦ διπλασίου τοῦ ἀπὸ τῆς ΑΔ. ἀλλὰ τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΔ, ΔΓ· τὰ ἄρα ἀπὸ τῶν ΑΓ, ΓΒ μείζονά ἐστι τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ξα'.

Τὸ ἀπὸ τῆς ἐκ δύο ὀνομάτων παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων πρώτην.

Ἔστω ἐκ δύο ὀνομάτων ἡ ΑΒ, διῃρημένη εἰς τὰ ὀνόματα κατὰ τὸ Γ, ὥστε τὸ μεῖζον ὄνομα εἶναι τὸ ΑΓ, καὶ ἐκκείσθω ῥητὴ ἡ ΔΕ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΔΕ παραβεβλήσθω τὸ ΔΕΖΗ, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη.

Παραβεβλήσθω γὰρ παρὰ τὴν ΔΕ τῷ μὲν ἀπὸ τῆς ΑΓ ἴσον τὸ ΔΘ, τῷ δὲ ἀπὸ τῆς ΒΓ ἴσον τὸ ΚΛ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ἴσον ἐστὶ τῷ ΜΖ. τετμήσθω ἡ ΜΗ δίχα κατὰ τὸ Ν, καὶ παρὰ ἑκατέραν τῶν ΜΛ, ΗΞ ἤχθω ἡ ΝΞ· ἑκατέρα ἄρα τῶν ΜΞ, ΝΖ ἴση ἐστὶ τῷ ἡμίσει τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. καὶ ἐπεὶ ἐκ δύο ὀνομάτων ἐστὶν ἡ ΑΒ διῃρημένη εἰς τὰ ὀνόματα κατὰ τὸ Γ· αἱ ΑΓ, ΓΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· τὸ ἄρα ἀπὸ τῶν ΑΓ, ΓΒ ῥητόν ἐστι καὶ σύμμετρα ἀλλήλοις· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ σύμμετρόν ἐστι τοῖς ἀπὸ τῶν ΑΓ, ΓΒ· ῥητὸν ἄρα ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ. καὶ ἔστιν ἴσον τῷ ΔΛ· ῥητὸν ἄρα ἐστὶ τὸ ΔΛ, καὶ παρὰ ῥητὴν τὴν ΔΕ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΔΜ, καὶ

σύμμετρος

σύμμετρος τῇ ΔΕ μήκει. πάλιν, ἐπεὶ αἱ ΑΓ, ΓΒ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· μέσον ἄρα ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, τουτέστι τὸ ΜΖ. καὶ παρὰ ῥητὴν τὴν ΜΛ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΜΗ, καὶ ἀσύμμετρος τῇ ΜΛ, τουτέστι τῇ ΕΔ, μήκει. ἔστι δὲ καὶ ἡ ΜΔ ῥητή, καὶ τῇ ΔΕ μήκει σύμμετρος· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΜ τῇ ΜΗ μήκει. καί εἰσι ῥηταί· αἱ ΔΜ, ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΔΗ. δεικτέον δὴ ὅτι καὶ πρώτη. ἐπεὶ γὰρ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ· καὶ τῶν ΔΘ, ΚΛ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΜΞ· ἔστιν ἄρα ὡς τὸ ΔΘ πρὸς τὸ ΜΞ οὕτως τὸ ΜΞ πρὸς τὸ ΚΛ, τουτέστιν ὡς ἡ ΔΚ πρὸς τὴν ΜΝ οὕτως ἡ ΜΝ πρὸς τὴν ΜΚ· τὸ ἄρα ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΒ, σύμμετρόν ἐστι καὶ τὸ ΔΘ τῷ ΚΛ· ὥστε καὶ ἡ ΔΚ τῇ ΚΜ σύμμετρός ἐστι μήκει. καὶ ἐπεὶ μείζονά ἐστι τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ· μεῖζον ἄρα καὶ τὸ ΔΛ τοῦ ΜΖ· ὥστε καὶ ἡ ΔΜ τῆς ΜΗ μείζων ἐστί. καὶ ἔστιν ἴσον τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ τῷ ἀπὸ τῆς ΜΝ, τουτέστι τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΜΗ, ᾧ σύμμετρος ἡ ΔΚ τῇ ΚΜ μήκει. ἐὰν δὲ ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάττονος ἴσον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ εἰς σύμμετρα αὐτὴν διαιρῇ, ἡ μείζων τὴν ἐλάσσονα μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καί εἰσι ῥηταὶ αἱ ΔΜ, ΜΗ, καὶ ἡ ΔΜ μεῖζον ὄνομα ἔστι σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΔΕ μήκει· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη. ὅπερ ἔδει δεῖξαι.

& ipſi ΔΕ commenſurabilis longitudine. rurſus, quoniam ΑΓ, ΓΒ rationales ſunt potentia ſolum commenſurabiles, medium eſt quod bis ſub ΑΓ, ΓΒ continetur, hoc eſt rectangulum ΜΖ. & ad rationalem ΜΛ applicatum eſt: rationalis igitur eſt ΜΗ [per 23. 10.] & ipſi ΜΛ, hoc eſt ipſi ΕΔ, longitudine incommenſurabilis. eſt autem & ΜΔ rationalis, & ipſi ΔΕ commenſurabilis longitudine: ergo [per 13. 10.] ΔΜ ipſi ΜΗ longitudine eſt incommenſurabilis. ſuntque rationales: ergo ΔΜ, ΜΗ rationales ſunt potentia ſolum commenſurabiles; ac propterea [per 37. 10.] ΔΗ eſt ex binis nominibus. oſtendendum eſt & primam eſſe. quoniam enim inter quadrata ex ΑΓ, ΓΒ [per lem. 55. 10.] medium proportionale eſt, quod ſub ΑΓ, ΓΒ continetur, erit etiam inter parallelogramma ΔΘ, ΚΛ medium proportionale ΜΞ: eſt igitur ut ΔΘ ad ΜΞ ita ΜΞ ad ΚΛ, hoc eſt [per 1. 6.] ut recta linea ΔΚ ad ΜΝ ita ΜΝ ad ΜΚ: ergo [per 17. 6.] rectangulum ſub ΔΚ, ΚΜ quadrato ex ΜΝ eſt æquale. & quoniam quadratum ex ΑΓ commenſurabile eſt quadrato ex ΓΒ, erit [per 14. 10.] & parallelogrammum ΔΘ parallelogrammo ΚΛ commenſurabile: ergo & ΔΚ ipſi ΚΜ longitudine eſt commenſurabilis. quod cum quadrata ex ΑΓ, ΓΒ majora ſint [per lem. præc.] eo quod bis ſub ΑΓ, ΓΒ continetur; erit & parallelogrammum ΔΛ majus parallelogrammo ΜΖ: ideoque recta linea ΔΜ ipſa ΜΗ eſt major. atque eſt rectangulum ſub ΔΚ, ΚΜ æquale quadrato ex ΜΝ, hoc eſt quartæ parti quadrati ex ΜΗ, & ΔΚ ipſi ΚΜ longitudine eſt commenſurabilis. ſi autem ſint duæ rectæ lineæ inæquales, & quartæ parti quadrati minoris æquale parallelogrammum ad majorem applicetur, deficiens figura quadrata, & in partes commenſurabiles ipſam dividat, major plus poterit [per 18. 10.] quam minor quadrato rectæ lineæ ſibi commenſurabilis longitudine. ſuntque rationales ΔΜ, ΜΗ; atque ΔΜ, quæ eſt majus nomen, expoſitæ rationali ΔΕ longitudine eſt commenſurabilis: ergo [per 1. deff. ſecund. 10.] ΔΗ eſt ex binis nominibus prima. quod erat demonſtrand.

ΠΡΟΤΑΣΙΣ ξϚ'.

Τὸ ἀπὸ ἐκ δύο μέσων πρώτης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων δευτέραν.

Prop. LXII. Probl.

Quadratum ejus quæ eſt ex binis mediis prima ad rationalem applicatum latitudinem facit ex binis nominibus ſecundam.

Ἔστω ἐκ δύο μέσων πρώτη ἡ ΑΒ, διῃρημένη εἰς τὸ μέσον κατὰ τὸ Γ, ὧν μείζων ἡ ΑΓ, καὶ ἐκκείσθω ῥητὴ ἡ ΔΕ, καὶ παραβεβλήσθω παρὰ τὴν ΔΕ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παραλληλόγραμμον τὸ ΔΖ, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐστὶ δευτέρα.

Κατεσκευάσθω γὰρ τὰ αὐτὰ τοῖς πρότερον. καὶ ἐπεὶ ἡ ΑΒ ἐκ δύο μέσων ἐστὶ πρώτη, διῃρημένη κατὰ τὸ Γ· αἱ ΑΓ, ΓΒ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι ῥητὸν περιέχουσαι· ὥστε καὶ τὰ ἀπ' αὐτῶν ΑΓ, ΓΒ μέσα ἐστί· μέσον ἄρα τὸ ΔΛ. καὶ παρὰ ῥητὴν παράκειται· ῥητὴ ἄρα

SIT ex binis mediis prima ΑΒ, diviſa in medias ad punctum Γ, quarum ΑΓ ſit major, exponaturque rationalis ΔΕ, & ad ipſam ΔΕ applicetur parallelogrammum æquale quadrato ipſius ΑΒ, quod ſit ΔΖ, latitudinem faciens ΔΗ: dico ΔΗ ex binis nominibus ſecundam eſſe.

Conſtruantur enim eadem quæ ſupra. & quoniam ΑΒ ex binis mediis eſt prima, diviſa ad punctum Γ, erunt [per 38. 10.] ΑΓ, ΓΒ mediæ potentia ſolum commenſurabiles, quæ rationale continent: quare & quæ fiunt ex ΑΓ, ΓΒ quadrata media ſunt; ideoque ΔΛ eſt medium, & ad rationalem applicatum eſt: rationalis igi-

tur eſt [per 23. 10.] MΔ, & ipſi ΔE longitudine incommenſurabilis. rurſus, quoniam rationale eſt quod bis ſub AΓ, ΓB continetur, erit & MZ rationale, & ad rationalem MΛ applicatum eſt: ergo [per 21. 10.] & MH eſt rationalis, & ipſi MΛ, hoc eſt ipſi ΔE, commenſurabilis longitudine: incommenſurabilis igitur eſt [per 13. 10.] ΔM ipſi MH. & ſunt rationales: quare ΔM, MH rationales ſunt potentia ſolum commenſurabiles; ac propterea ΔH eſt ex binis nominibus. oſtendendum eſt & ſecundam eſſe. quoniam enim [per lem. 61. 10.] quadrata ex AΓ, ΓB majora ſunt eo quod bis ſub AΓ, ΓB continetur, erit & ΔΛ parallelogrammum parallelogrammo MZ majus: ergo & recta linea ΔM major eſt ipſa MH. quod cum quadratum ex AΓ quadrato ex ΓB ſit commenſurabile, & ΔΘ parallelogrammum parallelogrammo KΛ commenſurabile erit: quare & ΔK commenſurabilis ipſi KM. atque eſt [per conſtr.] quod ſub ΔK, KM continetur quadrato ipſius MN æquale: ergo [per 18. 10.] ΔM plus poteſt quam MH quadrato rectæ lineæ ſibi longitudine commenſurabilis. eſtque MH commenſurabilis longitudine ipſi ΔE; quare [per 2. deff. ſecund. 10.] ΔH eſt ex binis nominibus ſecunda. quod erat demonſtrandum.



ἐστὶν ἡ ΜΔ, ᾗ ἀσύμμετρός ἐστι τῇ ΔΕ μήκει. πάλιν, ἐπεὶ ῥητὸν ἐστὶ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ, ῥητὸν καὶ τὸ ΜΖ, καὶ παρὰ ῥητὴν τὴν ΜΛ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΜΗ, καὶ μήκει σύμμετρός ἐστι τῇ ΜΛ, τουτέστι τῇ ΔΕ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΜ τῇ ΜΗ μήκει. καί εἰσι ῥηταί· αἱ ΔΜ, ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστίν. δεικτέον δὴ ὅτι καὶ δευτέρα. ἐπεὶ γὰρ τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ μείζονά ἐστι τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ· μεῖζον ἄρα καὶ τὸ ΔΛ τοῦ ΜΖ, ὥστε καὶ ἡ ΔΜ τῆς ΜΗ. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΒ, σύμμετρόν ἐστι καὶ τὸ ΔΘ τῷ ΚΛ· ὥστε καὶ ἡ ΔΚ τῇ ΚΜ σύμμετρός ἐστι. καὶ ἔστι τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον τῷ ἀπὸ τῆς ΜΝ· ἡ ΔΜ ἄρα τῆς ΜΗ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ ἔστιν ἡ ΜΗ σύμμετρος τῇ ΔΕ μήκει· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ δευτέρα. ὅπερ ἔδει δεῖξαι.

Prop. LXIII. Theor.

Quadratum ejus quæ eſt ex binis mediis ſecunda ad rationalem applicatum latitudinem facit ex binis nominibus tertiam.

SIT ex binis mediis ſecunda AB, diviſa in medias ad Γ, ita ut AΓ ſit major portio, rationalis autem ſit ΔE, & ad ipſam ΔE quadrato ex AB æquale parallelogrammum ΔZ applicetur, latitudinem faciens ΔH: dico ΔH ex binis nominibus tertiam eſſe.

Conſtruantur enim eadem quæ ſupra. & quoniam AB eſt ex binis mediis ſecunda, diviſa ad punctum Γ, erunt [per 39. 10.] AΓ, ΓB mediæ potentia ſolum commenſurabiles, quæ medium continent: ergo & compoſitum ex ipſarum AΓ, ΓB quadratis medium eſt. atque eſt æquale ipſi ΔΛ: medium igitur eſt ΔΛ; & ad rationalem ΔE applicatur: ergo [per 23. 10.] rationalis eſt MΔ, & ipſi ΔE longitudine incommenſurabilis. eadem ratione & MH eſt rationalis, & incommenſurabilis ipſi MΛ, hoc eſt ipſi ΔE: utraque igitur ipſarum ΔM, MH rationalis eſt, & ipſi ΔE longitudine incommenſurabilis. & quoniam incommenſurabilis eſt AΓ ipſi ΓB longitudine, ut autem AΓ ad ΓB ita [per 1. 6.] quadratum ex AΓ ad rectangulum ſub AΓ, ΓB; erit & quadratum ex

ΠΡΟΤΑΣΙΣ ξγ'.

Τὸ ἀπὸ τῆς ἐκ δύο μέσων δευτέρας παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τρίτην.

ΕΣτω ἐκ δύο μέσων δευτέρα ἡ ΑΒ, διῃρημένη εἰς τὰς μέσας κατὰ τὸ Γ, ὥστε τὸ μεῖζον τμῆμα εἶναι τὸ ΑΓ, ῥητὴ δέ τις ἔστω ἡ ΔΕ, καὶ παρὰ τὴν ΔΕ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παραλληλόγραμμον παραβεβλήσθω τὸ ΔΖ, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐστὶ τρίτη.

Κατασκευάσθω γὰρ τὰ αὐτὰ τοῖς προδεδειγμένοις. καὶ ἐπεὶ ἐκ δύο μέσων δευτέρα ἐστὶν ἡ ΑΒ, διῃρημένη κατὰ τὸ Γ· αἱ ΑΓ, ΓΒ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι, μέσον περιέχουσαι· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ μέσον ἐστί. καὶ ἔστιν ἴσον τῷ ΔΛ· μέσον ἄρα καὶ τὸ ΔΛ· καὶ παράκειται παρὰ ῥητὴν τὴν ΔΕ· ῥητὴ ἄρα ἐστὶν ἡ ΜΔ, καὶ ἀσύμμετρος τῇ ΔΕ μήκει. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΜΗ ῥητή ἐστι, καὶ ἀσύμμετρος τῇ ΜΛ, τουτέστι τῇ ΔΕ μήκει· ῥηταὶ ἄρα εἰσὶν ἑκατέρα τῶν ΔΜ, ΜΗ, καὶ ἀσύμμετροι τῇ ΔΕ μήκει. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΑΓ τῇ ΓΒ μήκει, ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ οὕτως τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ ὑπὸ τὰς ΑΓ, ΓΒ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ



τῆς

τῆς ΑΓ τῷ ἀπὸ τῶν ΑΓ, ΓΒ· ὥςε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ἀσύμμετρόν ἐςι, τουτέςι τὸ ΔΛ τῷ ΜΖ· ὥςε ἡ ΔΜ τῇ ΜΗ ἀσύμμετρός ἐςι. καί εἰσι ῥηταί· ἐκ δύο ἄρα ὀνομάτων ἐςὶν ἡ ΔΗ. δεικτέον δὴ ὅτι καὶ τρίτη. ὁμοίως δὴ τοῖς πρόσθεν ἐπιλογιούμεθα, ὅτι μείζων ἡ ΔΜ τῆς ΜΗ, καὶ σύμμετρος ἡ ΔΚ τῇ ΚΜ. καὶ ἔςι τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον τῷ ἀπὸ τῆς ΜΝ· ἡ ΔΜ ἄρα τῆς ΜΗ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ ἑκατέρα τῶν ΔΜ, ΜΗ σύμμετρός ἐςι τῇ ΔΕ μήκει· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐςὶ τρίτη. ὅπερ ἔδει δεῖξαι.

ΑΓ rectangulo ſub ΑΓ, ΓΒ incommenſurabile: ergo compoſitum ex quadratis ipſarum ΑΓ, ΓΒ incommenſurabile eſt ei quod bis ſub ΑΓ, ΓΒ continetur; hoc eſt ΔΛ incommenſurabile ipſi ΜΖ: & ob id recta linea ΔΜ ipſi ΜΗ eſt incommenſurabilis. ſuntque rationales: ergo ΔΗ eſt ex binis nominibus. oſtendendum eſt & tertiam eſſe. ſimiliter enim [atque in præced.] concludemus ΔΜ ipſa ΜΗ majorem eſſe, & ΔΚ ipſi ΚΜ commenſurabilem. atque eſt rectangulum ſub ΔΚ, ΚΜ quadrato ipſius ΜΝ æquale: ergo [per 18. 10.] ΔΜ plus poteſt quam ΜΗ quadrato rectæ lineæ ſibi commenſurabilis longitudine. & neutra ipſarum ΔΜ, ΜΗ eſt longitudine commenſurabilis ipſi ΔΕ: quare [per 3. deff. ſecund. 10.] ΔΗ eſt ex binis nominibus tertia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ξδ'.

Τὸ ἀπὸ τῆς μείζονος παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τετάρτην.

PROP. LXIV. THEOR.

Quadratum majoris ad rationalem applicatum latitudinem facit ex binis nominibus quartam.

Ἔστω μείζων ἡ ΑΒ, διῃρημένη κατὰ τὸ Γ, ὥςε μείζονα εἶναι τὴν ΑΓ τῆς ΓΒ, ῥητὴ δέ τις ἔςω ἡ ΔΕ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΔΕ παραβεβλήσθω τὸ ΔΖ παραλληλόγραμμον, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐςὶ τετάρτη.

Κατεσκευάσθω γὰρ τὰ αὐτὰ τοῖς προδιαγεγραμμένοις. καὶ ἐπεὶ μείζων ἐςὶν ἡ ΑΒ διῃρημένη κατὰ τὸ Γ, αἱ ΑΓ, ΓΒ δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητὸν, τὸ δ' ὑπ' αὐτῶν μέσον. ἐπεὶ οὖν ῥητόν ἐςι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, ῥητὸν ἄρα καὶ τὸ ΔΛ· ῥητὴ ἄρα ἐςὶ καὶ ἡ ΔΜ, καὶ σύμμετρος τῇ ΔΕ μήκει. πάλιν, ἐπεὶ μέσον ἐςὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, τουτέςι τὸ ΜΖ, καὶ παρὰ ῥητὴν τὴν ΜΛ παράκειται· ῥητὴ ἄρα ἐςὶ καὶ ἡ ΜΗ, καὶ ἀσύμμετρος τῇ ΔΕ μήκει· ἀσύμμετρος ἄρα ἐςὶ καὶ ἡ ΔΜ τῇ ΜΗ μήκει· αἱ ΔΜ, ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐςὶν ἡ ΔΗ. δεικτέον δὴ ὅτι καὶ τετάρτη. ὁμοίως δὴ τοῖς πρόσθεν ἐπιλογιούμεθα, ὅτι μείζων ἐςὶν ἡ ΔΜ τῇ ΜΗ, καὶ ὅτι τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον ἐςὶ τῷ ἀπὸ τῆς ΜΝ. ἐπεὶ οὖν ἀσύμμετρόν ἐςι τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΒ· ἀσύμμετρον ἄρα καὶ τὸ ΔΘ τῷ ΚΛ· ὥςε καὶ ἡ ΚΔ τῇ ΚΜ ἀσύμμετρός ἐςιν. ἐὰν δὲ ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παραλληλόγραμμον παρὰ τὴν μεί-

SIT major ΑΒ, diviſa in puncto Γ, ita ut ΑΓ major ſit quam ΓΒ; rationalis autem quædam ſit ΔΕ, & quadrato ex ΑΒ æquale ad ipſam ΔΕ applicetur parallelogrammum ΔΖ, latitudinem faciens ΔΗ: dico ΔΗ eſſe ex binis nominibus quartam.



Conſtruantur enim eadem quæ ſupra. & quoniam ΑΒ eſt major diviſa in Γ, erunt [per 40. 10.] ΑΓ, ΓΒ potentia incommenſurabiles, quæ faciunt compoſitum quidem ex ipſarum quadratis rationale, quod autem ſub ipſis continetur medium. itaque quoniam rationale eſt compoſitum ex quadratis ipſarum ΑΓ, ΓΒ, erit & parallelogrammum ΔΛ rationale: ergo [per 21. 10.] & rationalis eſt recta linea ΔΜ, ipſique ΔΕ longitudine commenſurabilis. rurſus, quoniam medium eſt quod bis ſub ΑΓ, ΓΒ continetur, hoc eſt ΜΖ, & ad rationalem ΜΛ eſt applicatum, erit [per 23. 10.] & ΜΗ rationalis, & ipſi ΔΕ incommenſurabilis longitudine: ergo & ΔΜ ipſi ΜΗ longitudine incommenſurabilis eſt; ac propterea ΔΜ, ΜΗ rationales ſunt potentia ſolum commenſurabiles: quare [per 37. 10.] ex duobus nominibus eſt ΔΗ. oſtendendum eſt & quartam eſſe. ſimiliter enim atque in ſuperioribus concludemus ΔΜ majorem eſſe quam ΜΗ, & rectangulum ſub ΔΚ, ΚΜ quadrato ex ΜΝ æquale. quoniam igitur quadratum ex ΑΓ incommenſurabile eſt quadrato ex ΓΒ, erit [per 10. 10.] & ΔΘ parallelogrammum incommenſurabile parallelogrammo ΚΛ: & ob id recta linea ΚΔ ipſi ΚΜ incommenſurabilis. ſi autem ſint duæ rectæ lineæ inæquales, & quartæ parti quadrati minoris æquale parallelogrammum ad majorem applice-

tur, deficiens figura quadrata, & in partes longitudine incommenſurabiles ipſam dividat, [per 19. 10.] major plus poterit quam minor quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis: ergo Δ M plus poteſt quam M H quadrato rectæ lineæ ſibi incommenſurabilis longitudine. ſuntque Δ M, M H rationales potentia ſolum commenſurabiles, atque eſt Δ M commenſurabilis expoſitæ rationali Δ E: quare [per 4. deff. ſecund. 10.] Δ H eſt ex binis nominibus quarta. quod erat demonſtrandum.

Prop. LXV. Theor.

Quadratum ejus quæ rationale ac medium poteſt ad rationalem applicatum latitudinem facit ex binis nominibus quintam.

SIT rationale ac medium potens A B, diviſa in rectas lineas ad punctum Γ, ita ut A Γ ſit major; exponaturque rationalis Δ E, & quadrato ipſius A B æquale parallelogrammum Δ Z ad ipſam Δ E applicetur, latitudinem faciens Δ H: dico Δ H eſſe ex binis nominibus quintam.

Conſtruantur enim quæ ſupra. & quoniam rationale ac medium potens eſt A B, diviſa ad Γ punctum, erunt [per 41. 10.] A Γ Γ B potentia incommenſurabiles, quæ faciunt compoſitum quidem ex ipſarum quadratis medium, quod autem ſub ipſis continetur rationale. quoniam igitur medium eſt compoſitum ex ipſarum A Γ, Γ B quadratis, erit & parallelogrammum Δ Λ medium: ideoque [per 23. 10.] recta linea Δ M rationalis eſt, & ipſi Δ E longitudine incommenſurabilis. rurſus, quoniam rationale eſt quod bis ſub A Γ, Γ B continetur, hoc eſt parallelogrammum M Z; erit [per 21. 10.] M H rationalis, & ipſi Δ E longitudine commenſurabilis: incommenſurabilis igitur eſt [per 13. 10.] Δ M ipſi M H: quare Δ M, M H rationales ſunt potentia ſolum commenſurabiles; ac propterea [per 37. 10.] Δ H eſt ex binis nominibus. dico & quintam eſſe. ſimiliter enim demonſtrabitur rectangulum ſub Δ K, K M quadrato ex M N eſſe æquale; & Δ K ipſi K M longitudine eſſe incommenſurabilem: quare [per 19. 10.] Δ M plus poteſt quam M H quadrato rectæ lineæ ſibi incommenſurabilis longitudine. ſuntque Δ M, M H rationales potentia ſolum commenſurabiles, & minor M H commenſurabilis eſt ipſi Δ E longitudine: ergo [per 5. deff. ſecund. 10.] Δ H eſt ex binis nominibus quinta. quod erat demonſtrandum.



Prop. LXVI. Theor.

Quadratum ejus quæ bina media poteſt ad rationalem applicatum latitudinem facit ex binis nominibus ſextam.

SIT bina media potens A B, diviſa ad punctum Γ, rationalis autem ſit Δ E, & ad ipſam

ζονα ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ εἰς ἀσύμμετρα αὐτὴν διαιρῇ μήκει, ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει· ἡ Δ M ἄρα τῆς M H μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καί εἰσιν αἱ Δ M, M H ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ ἡ Δ M σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ Δ E· ἡ Δ H ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ξε'.

Τὸ ἀπὸ ῥητῆς καὶ μέσον δυναμένης μετὰ ῥητῆς μετὰ παντὸς τοῦ συγκειμένου ἐκ δύο ὀνομάτων πέμπτην.

ΕΣτω ῥητὴ καὶ μέσον δυναμένη ἡ A B, διῃρημένη εἰς τὰς εὐθείας κατὰ τὸ Γ, ὥστε μείζονα εἶναι τὴν A Γ, καὶ ἐκκείσθω ῥητὴ ἡ Δ E, καὶ τῷ ἀπὸ τῆς A B ἴσον παρὰ τὴν Δ E παραβεβλήσθω τὸ Δ Z, πλάτος ποιοῦν τὴν Δ H· λέγω ὅτι ἡ Δ H ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη.

Κατεσκευάσθω γὰρ τὰ αὐτὰ τοῖς πρὸ τούτου. ἐπεὶ οὖν ῥητὸν καὶ μέσον δυναμένη ἐστὶν ἡ A B, διῃρημένη κατὰ τὸ Γ· αἱ A Γ, Γ B ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δ' ὑπ' αὐτῶν ῥητόν. ἐπεὶ οὖν μέσον ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν A Γ, Γ B· μέσον ἄρα ἐστὶ καὶ τὸ Δ Λ· ὥστε ῥητή ἐστιν ἡ Δ M, καὶ μήκει ἀσύμμετρος τῇ Δ E. πάλιν, ἐπεὶ ῥητόν ἐστι τὸ δὶς ὑπὸ τῶν A Γ, Γ B, τουτέστι τὸ M Z· ῥητὴ ἄρα ἐστὶν ἡ M H, καὶ σύμμετρος τῇ Δ E μήκει· ἀσύμμετρος ἄρα ἡ Δ M τῇ M H· αἱ Δ M, M H ἄρα ῥηταὶ εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ Δ H. λέγω δὴ ὅτι καὶ πέμπτη. ὁμοίως γὰρ δειχθήσεται ὅτι τὸ ὑπὸ τῶν Δ K, K M ἴσον ἐστὶ τῷ ἀπὸ τῆς M N, καὶ ἀσύμμετρος ἡ Δ K μήκει τῇ K M· ἡ Δ M ἄρα τῆς M H μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καί εἰσιν αἱ Δ M, M H ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ ἡ ἐλάττων ἡ M H σύμμετρος τῇ Δ E μήκει· ἡ Δ H ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ξϛ'.

Τὸ ἀπὸ τῆς δύο μέσα δυναμένης μετὰ ῥητὸν μετὰ παντὸς τοῦ ἐκ δύο ὀνομάτων ἕκτην.

ΕΣτω δύο μέσα δυναμένη ἡ A B, διῃρημένη κατὰ τὸ Γ, ῥητὴ δὲ ἔστω ἡ Δ E, καὶ τῷ

Δ E

ΔΕ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παραβεβλήσθω τὸ ΔΖ, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐστὶν ἐκτη.

Κατασκευάσθω γὰρ τὰ αὐτὰ τοῖς πρόσθεν. καὶ ἐπεὶ ἡ ΑΒ δύο μέσα δυναμένη ἐστὶ, διῄρηται κατὰ τὸ Γ· αἱ ΑΓ, ΓΒ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ ὑπ' αὐτῶν μέσον, καὶ ἔτι ἀσύμμετρον τὸ συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων τῷ ὑπ' αὐτῶν· ὥστε κατὰ τὰ προδεδειγμένα μέσον ἐστὶν ἑκάτερον τῶν ΔΛ, ΜΖ, καὶ παρὰ ῥητὴν τὴν ΔΕ παράκειται· ῥητὴ ἄρα ἐστὶ καὶ ἑκατέρα τῶν ΔΜ, ΜΗ, καὶ ἀσύμμετρος τῇ ΔΕ μήκει, καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΔΛ τῷ ΜΖ· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΔΜ τῇ ΜΗ· αἱ ΔΜ, ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΔΗ. λέγω ὅτι καὶ ἕκτη. ὁμοίως γὰρ πάλιν τοῖς πρόσθεν τοῦτο δείξομεν ὅτι τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ, καὶ ὅτι ἡ ΔΚ τῇ ΚΜ μήκει ἐστὶν ἀσύμμετρος· καὶ διὰ τὰ αὐτὰ δὴ ἡ ΔΜ τῆς ΜΗ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει. καὶ ἑκάτερα τῶν ΔΜ, ΜΗ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΔΕ μήκει· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶν ἕκτη. ὅπερ ἔδει δεῖξαι.



ΔΕ quadrato ex AB æquale parallelogrammum ΔΖ applicetur, latitudinem faciens ΔΗ: dico ΔΗ esse ex binis nominibus sextam.

Construantur enim eadem quæ supra. & quoniam AB est bina media potens: divisa ad Γ, erunt [per 42. 10.] ΑΓ, ΓΒ potentia incommensurabiles, facientes & compositum ex ipsarum quadratis medium, & quod sub ipsis continetur medium, & adhuc incommensurabile composito ex ipsarum quadratis: ergo ex jam demonstratis medium est utrumque parallelogrammorum ΔΛ, ΜΖ, & ad rationalem ΔΕ applicata sunt: rationalis igitur est [per 23. 10] & utraque ΔΜ, ΜΗ, & ipsi ΔΕ longitudine incommensurabilis. & quoniam compositum ex ipsarum ΑΓ, ΓΒ quadratis incommensurabile est ei quod bis sub ΑΓ, ΓΒ continetur, erit & ΔΛ parallelogrammum parallelogrammo ΜΖ incommensurabile; & idcirco [per 10. 10.] ΔΜ incommensurabilis ΜΗ: quare ΔΜ, ΜΗ rationales sunt potentia solum commensurabiles, igitur ΔΗ est ex binis nominibus. dico & sextam esse. similiter enim atque in præcedentibus rursus ostendemus rectangulum sub ΔΚ, ΚΜ quadrato ex ΜΝ æquale, & ΔΚ ipsi ΚΜ longitudine incommensurabilem esse: ergo [per 19. 10.] ΔΜ plus potest quam ΜΗ quadrato rectæ lineæ sibi incommensurabilis longitudine. & neutra ipsarum ΔΜ, ΜΗ longitudine commensurabilis est expositæ rationali ΔΕ: quare [per 6. deff. secund. 10.] ΔΗ est ex binis nominibus sexta. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ξζ'.

Ἡ τῇ ἐκ δύο ὀνομάτων μήκει σύμμετρος καὶ αὐτὴ ἐκ δύο ὀνομάτων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτή.

Prop. LXVII. Theor.

Ei quæ est ex binis nominibus longitudine commensurabilis & ipsa ex binis nominibus est atque ordine eadem.

Ἔστω ἐκ δύο ὀνομάτων ἡ ΑΒ, καὶ τῇ ΑΒ μήκει σύμμετρος ἔστω ἡ ΓΔ· λέγω ὅτι ἡ ΓΔ ἐκ δύο ὀνομάτων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ.

Ἐπεὶ γὰρ ἐκ δύο ὀνομάτων ἐστὶν ἡ ΑΒ, διῃρήσθω εἰς τὰ ὀνόματα κατὰ τὸ Ε, καὶ ἔστω μεῖζον ὄνομα τὸ ΑΕ· αἱ ΑΕ, ΕΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. γεγονέτω ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΑΕ πρὸς τὴν ΓΖ· καὶ λοιπὴ ἄρα ἡ ΕΒ πρὸς λοιπὴν τὴν ΖΔ ἐστὶν ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ. σύμμετρος δὲ ἡ ΑΒ τῇ ΓΔ μήκει· σύμμετρος ἄρα ἐστὶ καὶ ἡ μὲν ΑΕ τῇ ΓΖ, ἡ δὲ ΕΒ τῇ ΖΔ. καί εἰσι ῥηταὶ αἱ ΑΕ, ΕΒ· ῥηταὶ ἄρα εἰσὶ καὶ αἱ ΓΖ, ΖΔ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΓΖ οὕτως ἡ ΕΒ πρὸς τὴν ΖΔ· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ οὕτως ἡ ΓΖ πρὸς τὴν ΖΔ. αἱ δὴ ΑΕ, ΕΒ δυνάμει μόνον εἰσὶ σύμμετροι· καὶ αἱ ΓΖ, ΖΔ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι. καί εἰσι ῥηταί· ἐκ δύο ἄρα ὀνομάτων



SIT ex binis nominibus AB, & ipsi AB longitudine commensurabilis sit ΓΔ: dico ΓΔ ex binis nominibus esse & ordine eandem ipsi AB.

Quoniam enim ex binis nominibus est AB, dividatur in nomina ad punctum E, & sit AE majus nomen: ergo [per 37. 10.] AE, EB rationales sunt potentia solum commensurabiles. fiat [per 12. 6.] ut AB ad ΓΔ ita AE ad ΓΖ: & reliqua igitur EB ad reliquam ΖΔ est [per 19. 5.] ut AB ad ΓΔ. commensurabilis autem est AB ipsi ΓΔ longitudine: ergo [per 10. 10.] & AE ipsi ΓΖ & EB ipsi ΖΔ longitudine est commensurabilis. suntque rationales AE, EB: rationales igitur sunt & ΓΖ, ΖΔ. & quoniam est ut AE ad ΓΖ ita EB ad ΖΔ, erit permutando ut AE ad EB ita ΓΖ ad ΖΔ. sunt autem AE, EB potentia solum commensurabiles: ergo & ΓΖ, ΖΔ potentia solum commensurabiles erunt. & sunt rationales: ex binis igitur nominibus [per 37.

10.] est ΓΔ. dico & ipsi AB ordine eandem esse.

Vel enim AE plus potest quam EB quadrato rectæ lineæ sibi longitudine commensurabilis, vel incommensurabilis. si quidem igitur AE plus possit quam EB quadrato rectæ sibi longitudine commensurabilis, & ΓZ plus poterit quam ZΔ [per 15. 10.] quadrato rectæ lineæ sibi commensurabilis longitudine. quod si AE sit commensurabilis expositæ rationali, & ΓZ [per 12. 10.] eidem commensurabilis erit: & ob id utraque ipsarum AB, ΓΔ ex binis nominibus est prima, hoc est ordine eadem. si vero EB sit commensurabilis expositæ rationali, & ZΔ eidem erit commensurabilis: eamque ob causam ΓΔ ipsi AB ordine eadem est, utraque enim est ex binis nominibus secunda. quod si neutra ipsarum AE, EB sit expositæ rationali commensurabilis, & neutra ipsarum ΓZ, ZΔ eidem commensurabilis erit; & utraque est tertia. at si AE plus possit quam EB quadrato rectæ lineæ sibi incommensurabilis longitudine, & ΓZ plus poterit quam ZΔ [per 15. 10.] quadrato rectæ lineæ sibi longitudine incommensurabilis. & si AE sit commensurabilis expositæ rationali, & ΓZ eidem commensurabilis erit, & est utraque quarta. quod si EB sit, & ipsa ZΔ erit, & est utraque quinta. si vero neutra ipsarum AE, EB sit, & neutra ΓZ, ZΔ expositæ rationali erit commensurabilis, & est utraque sexta.



Ergo ei quæ est ex binis nominibus longitudine commensurabilis & ipsa ex binis nominibus est & ordine eadem. quod erat demonstrandum.

PROP. LXVIII. THEOR.

Ei quæ est ex binis mediis longitudine commensurabilis & ipsa ex binis mediis est atque ordine eadem.

SIT ex binis mediis AB, & ipsi AB commensurabilis longitudine sit PΔ: dico ΓΔ ex binis mediis esse, & ipsi AB ordine eandem.

Quoniam enim AB ex binis mediis est, divisa in medias ad punctum E, erunt [per 38. & 39. 10.] & AE, EB mediæ potentia solum commensurabiles. itaque fiat ut AB ad ΓΔ ita AE ad ΓZ: ergo & reliqua EB ad reliquam ZΔ est ut AB ad ΓΔ. commensurabilis autem est [ex hyp.] AB ipsi ΓΔ longitudine: quare & AE ipsi ΓZ longitudine commensurabilis erit, & EB ipsi ZΔ. suntque mediæ AE, EB: mediæ igitur [per 24. 10.] & ΓZ, ZΔ. & quoniam est ut AE ad EB ita ΓZ ad ZΔ, & sunt AE, EB commensurabiles potentia solum; erunt & ΓZ, ZΔ potentia solum commensurabiles. ostensæ autem sunt & mediæ: ergo [per 38. & 39. 10.] ΓΔ est ex binis mediis. dico & ipsi AB ordine eandem esse.



Quoniam enim est ut AE ad EB ita ΓZ ad ZΔ, erit [per 11. 5. & 1. 6.] & ut quadratum ex AE ad rectangulum sub AE, EB ita quadratum ex ΓZ ad rectangulum sub ΓZ, ZΔ: quare

ἐστὶν ἡ ΓΔ. λέγω δὴ ὅτι τῇ τάξει ἐστὶν ἡ αὐτὴ τῇ AB.

Η γὰρ AE τῆς EB μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. εἰ μὲν οὖν ἡ AE τὴν EB μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΓZ τῆς ZΔ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ AE τῇ ἐκκειμένῃ ῥητῇ, καὶ ἡ ΓZ σύμμετρός ἐστιν αὐτῇ· καὶ λέγε τὸ πάλιν τῇ τάξει ἡ αὐτὴ ἔσται τῇ AB, ἑκατέρα γὰρ αὐτῶν ἐστιν ἐκ δύο ὀνομάτων δευτέρα. εἰ δὲ ἡ ἑτέρα τῶν AE, EB σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ, ἑτέρα τῶν ΓZ, ZΔ σύμμετρος αὐτῇ ἔσται, καὶ ἐστιν ἑκατέρα τρίτη. εἰ δὲ ἡ AE τὴν EB μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἡ ΓZ τῆς ZΔ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν ἡ AE σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ, καὶ ἡ ΓZ σύμμετρός ἐστιν αὐτῇ, καὶ ἐστιν ἑκατέρα τετάρτη. εἰ δὲ ἡ EB, καὶ ἡ ZΔ, καὶ ἔσται ἑκατέρα πέμπτη. εἰ δὲ οὐδετέρα τῶν AE, EB, καὶ τῶν ΓZ, ZΔ οὐδετέρα σύμμετρος ἔσται τῇ ἐκκειμένῃ ῥητῇ, καὶ ἔσται ἑκατέρα ἕκτη.

Ὡστε ἡ τῇ ἐκ δύο ὀνομάτων μήκει σύμμετρος ἐκ δύο ὀνομάτων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτή. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ξθ'.

Η τῇ ἐκ δύο μέσων μήκει σύμμετρος ἐκ δύο μέσων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτή.

Ἔστω ἐκ δύο μέσων ἡ AB, καὶ τῇ AB σύμμετρος ἔστω μήκει ἡ ΓΔ· λέγω ὅτι ἡ ΓΔ ἐκ δύο μέσων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτὴ τῇ AB.

Ἐπεὶ γὰρ ἐκ δύο μέσων ἐστὶν ἡ AB, διῃρημένη εἰς τὰς μέσας κατὰ τὸ E· αἱ AE, EB ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι. καὶ γεγονέτω ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ AE πρὸς τὴν ΓZ· καὶ λοιπὴ ἄρα ἡ EB πρὸς λοιπὴν τὴν ZΔ ἐστὶν ὡς ἡ AB πρὸς τὴν ΓΔ. σύμμετρος δὲ ἡ AB τῇ ΓΔ μήκει· σύμμετροι ἄρα καὶ ἡ μὲν AE τῇ ΓZ, ἡ δὲ EB τῇ ZΔ. καί εἰσι μέσαι αἱ AE, EB· μέσαι ἄρα καὶ αἱ ΓZ, ZΔ. καὶ ἐπεί ἐστιν ὡς ἡ AE πρὸς τὴν EB οὕτως ἡ ΓZ πρὸς τὴν ZΔ, αἱ δὲ AE, EB δυνάμει μόνον εἰσὶ σύμμετροι· καὶ αἱ ΓZ, ZΔ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι. ἐδείχθησαν δὲ καὶ μέσαι· ἡ ΓΔ ἄρα ἐκ δύο μέσων ἐστί. λέγω δὴ ὅτι καὶ τῇ τάξει ἡ αὐτή ἐστι τῇ AB.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ AE πρὸς τὴν EB οὕτως ἡ ΓZ πρὸς τὴν ZΔ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς AE πρὸς τὸ ὑπὸ τῶν AE, EB οὕτως τὸ ἀπὸ τῆς ΓZ πρὸς τὸ ὑπὸ τῶν ΓZ, ZΔ· ἐναλ-

λὰξ

ἄρα ὡς τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ἀπὸ τῆς ΓΖ ἕτως τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ. σύμμετρον δὲ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ τῆς ΓΖ· σύμμετρον ἄρα καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ τῷ ὑπὸ τῶν ΓΖ, ΖΔ. ἔστι δὲ ῥητὸν τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ, καὶ τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ ῥητόν ἐστι· καὶ δύο ἄρα τὰ ΓΖ, ΖΔ ῥητόν ἐστιν ἐκ δύο μέσων πρώτη. ἔστι μέσον τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ, μέσον καὶ τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ. καὶ ἔστιν ἑκατέρα δευτέρα· καὶ λέγε τὰ ΓΖ, ΖΔ ἡ ΓΔ τῇ ΑΒ τῇ τάξει ἡ αὐτή. ὅπερ ἔδει δεῖξαι.

permutando ut quadratum ex AE ad quadratum ex ΓZ ita rectangulum ſub AE, EB ad rectangulum ſub ΓZ, ZΔ. commenſurabile autem eſt quadratum ex AE quadrato ex ΓZ: ergo & rectangulum ſub AE, EB rectangulo ſub ΓZ, ZΔ eſt commenſurabile. ſive igitur rationale eſt rectangulum ſub AE, EB, & rectangulum ſub ΓZ, ZΔ rationale erit; atque ob id [per 38.10.] eſt ex binis mediis prima. ſive vero medium eſt rectangulum ſub AE, EB, & ipſum ſub ΓZ, ZΔ erit medium. atque [per 39.10.] eſt utraque ex binis mediis ſecunda: & propterea ΓΔ ipſi AB ordine eadem eſt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ξθ'.

Η τῇ μείζονι σύμμετρος καὶ αὐτὴ μείζων ἐστίν.

PROP. LXIX. THEOR.

Majori commenſurabilis & ipſa major eſt.

Ἔστω μείζων ἡ ΑΒ, καὶ τῇ ΑΒ σύμμετρος ἔστω ἡ ΓΔ· λέγω ὅτι καὶ ἡ ΓΔ μείζων ἐστί.

Διῃρήσθω ἡ ΑΒ κατὰ τὸ Ε· αἱ ΑΕ, ΕΒ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητὸν, τὸ δὲ ὑπ' αὐτῶν μέσον. καὶ γεγονέτω τὰ αὐτὰ τοῖς πρότερον. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ ἕτως ἥτε ΑΕ πρὸς τὴν ΓΖ καὶ ἡ ΕΒ πρὸς τὴν ΖΔ· καὶ ὡς ἄρα ἡ ΑΕ πρὸς τὴν ΓΖ ἕτως ἡ ΕΒ πρὸς τὴν ΖΔ. σύμμετρος δὲ ἡ ΑΒ τῇ ΓΔ· σύμμετρος ἄρα καὶ ἑκατέρα τῶν ΑΕ, ΕΒ ἑκατέρα τῶν ΓΖ, ΖΔ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΓΖ ἕτως ἡ ΕΒ πρὸς τὴν ΖΔ, καὶ ἐναλλὰξ ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ ἕτως ἡ ΓΖ πρὸς τὴν ΖΔ· καὶ συνθέντι ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΕ ἕτως ἡ ΓΔ πρὸς τὴν ΔΖ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΕ ἕτως τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΔΖ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ὡς τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΑΕ ἕτως τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΓΖ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὰ ἀπὸ τῶν ΑΕ, ΕΒ ἕτως τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὰ ἀπὸ τῶν ΓΖ, ΖΔ· καὶ ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΓΔ ἕτως τὰ ἀπὸ τῶν ΑΕ, ΕΒ πρὸς τὰ ἀπὸ τῶν ΓΖ, ΖΔ. σύμμετρον δὲ τὸ ἀπὸ τῆς ΑΒ τῷ ἀπὸ τῆς ΓΔ· σύμμετρα ἄρα καὶ τὰ ἀπὸ τῶν ΑΕ, ΕΒ τοῖς ἀπὸ τῶν ΓΖ, ΖΔ. καὶ ἔστι τὰ ἀπὸ τῶν ΑΕ, ΕΒ ἅμα ῥητόν· καὶ τὰ ἀπὸ τῶν ΓΖ, ΖΔ ἅμα ῥητόν ἐστιν. ὁμοίως δὲ καὶ τὸ δὶς ὑπὸ τῶν ΑΕ, ΕΒ σύμμετρόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΓΖ, ΖΔ. καὶ ἔστι μέσον τὸ δὶς ὑπὸ τῶν ΑΕ, ΕΒ· μέσον ἄρα καὶ τὸ δὶς ὑπὸ τῶν ΓΖ, ΖΔ· αἱ ΓΖ, ΖΔ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητὸν, τὸ δὲ ὑπ' αὐτῶν μέσον· ὅλη ἄρα ἡ ΓΔ ἄλογός ἐστιν, ἡ καλουμένη μείζων.

Η ἄρα τῇ μείζονι σύμμετρος μείζων ἐστίν. ὅπερ ἔδει δεῖξαι.

SIT major AB: & ipſi AB commenſurabilis ſit ΓΔ: dico ΓΔ majorem eſſe.

Dividatur AB in E: ergo [per 40. 10.] AE, EB potentia ſunt incommenſurabiles, quæ faciunt compoſitum quidem ex ipſarum quadratis rationale, quod autem ſub ipſis continetur medium. & fiant eadem quæ ſupra. quoniam igitur eſt ut AB ad ΓΔ ita AE ad ΓZ & EB ad ZΔ; erit [per 11. 5.] ut AE ad ΓZ ita EB ad ZΔ. commenſurabilis autem eſt AB ipſi ΓΔ: ergo & utraque ipſarum AE, EB utrique ΓZ, ZΔ eſt commenſurabilis. & quoniam eſt ut AE ad ΓZ ita EB ad ZΔ; permutandoque ut AE ad EB ita ΓZ ad ZΔ, & componendo ut AB ad BE ita ΓΔ ad ΔZ: ut igitur quadratum ex AB ad quadratum ex BE ita [per 22. 6.] quadratum ex ΓΔ ad quadratum ex ΔZ. ſimiliter demonſtrabimus & ut quadratum ex AB ad quadratum ex AE ita eſſe quadratum ex ΓΔ ad quadratum ex ΓZ: ergo & ut quadratum ex AB ad quadrata ex AE, EB ita quadratum ex ΓΔ ad quadrata ex ΓZ, ZΔ: permutando igitur ut quadratum ex AB ad quadratum ex ΓΔ ita quadrata ex AE, EB ad quadrata ex ΓZ, ZΔ. commenſurabile autem eſt quadratum ex AB quadrato ex ΓΔ: ergo & quadrata ex AE, EB quadratis ex ΓZ, ZΔ ſunt commenſurabilia. atque eſt [per 40. 10.] compoſitum ex quadratis ipſarum AE, EB rationale: ergo [per 9.def.10.] & rationale erit compoſitum ex quadratis ipſarum ΓZ, ZΔ. ſimiliter autem & quod bis continetur ſub AE, EB commenſurabile eſt ei quod bis ſub ΓZ, ZΔ continetur. atque [per 40.10.] eſt medium quod bis continetur ſub AE, EB: medium igitur [per 24.10.] eſt & quod bis ſub ΓZ, ZΔ continetur: ergo ΓZ, ZΔ potentia ſunt incommenſurabiles, facientes compoſitum ex ipſarum quadratis rationale, quod autem ſub ipſis continetur medium: tota igitur [per 40. 10.] irrationalis eſt, quæ vocatur major.



Ergo majori commenſurabilis & ipſa major eſt. quod erat demonſtrandum.

PROP.

PROP. LXX. THEOR.

Rationale ac medium potenti commensurabilis & ipsa rationale ac medium potens est.

SIT rationale ac medium potens AB: & ipsi AB commensurabilis sit ΓΔ: ostendendum est & ΓΔ rationale ac medium potentem esse.

Dividatur AB in rectas suas ad punctum E: ergo [per 41. 10.] AE, EB potentia incommensurabiles sunt, facientes compositum ex ipsarum quadratis medium; quod autem sub ipsis continetur rationale: & eadem quæ prius construantur. similiter [atque in præcedentibus] demonstrabimus ΓZ, ZΔ potentia esse incommensurabiles; & compositum ex quadratis ipsarum AE, EB commensurabile esse composito ex quadratis ipsarum ΓZ, ZΔ, quod autem continetur sub AE, EB commensurabile esse ei quod sub ΓZ, ZΔ continetur: ergo [per 24. 10.] & compositum ex quadratis ipsarum ΓZ, ZΔ est medium, quod autem continetur sub ΓZ, ZΔ rationale: & igitur [per 41. 10.] ΓΔ est rationale ac medium potens. quod erat dem.



ΠΡΟΤΑΣΙΣ ο'.

Η τῇ ῥητὸν καὶ μέσον δυναμένῃ σύμμετρος καὶ αὐτὴ ῥητὸν καὶ μέσον δυναμένη ἐστίν.

ΕΣτω ῥητὸν καὶ μέσον δυναμένη ἡ AB, καὶ τῇ AB σύμμετρος ἔστω ἡ ΓΔ· δεικτέον ὅτι ἡ ΓΔ ῥητὸν καὶ μέσον δυναμένη ἐστί.

Διῃρήσθω ἡ AB εἰς τὰς εὐθείας κατὰ τὸ E· αἱ AE, EB ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δ' ὑπ' αὐτῶν ῥητόν· καὶ τὰ αὐτὰ κατασκευάσθω τοῖς πρότερον. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ ΓZ, ZΔ δυνάμει εἰσὶν ἀσύμμετροι, καὶ σύμμετρον τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AE, EB τῷ συγκειμένῳ ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ, τὸ δὲ ὑπὸ τῶν AE, EB τῷ ὑπὸ τῶν ΓZ, ZΔ· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ μέσον, τὸ δὲ ὑπὸ τῶν ΓZ, ZΔ ῥητόν· ῥητὸν ἄρα καὶ μέσον δυναμένη ἐστὶν ἡ ΓΔ. ὅπερ ἔδει δεῖξαι.

PROP. LXXI. THEOR.

Bina media potenti commensurabilis & ipsa bina media potens est.

SIT bina media potens AB, & ipsi AB commensurabilis sit ΓΔ: ostendendum est ΓΔ bina media potentem esse.

Quoniam enim bina media potens est AB, dividatur in rectas suas ad punctum E: quare [per 42. 10.] AE, EB potentia sunt incommensurabiles, quæ faciunt compositum ex ipsarum quadratis medium, quod autem sub ipsis continetur medium, & adhuc compositum ex quadratis ipsarum AE, EB incommensurabile rectangulo sub ipsis AE, EB: & construantur eadem quæ supra. similiter [atque supra] demonstrabimus ΓZ, ZΔ potentia incommensurabiles esse; & compositum ex quadratis ipsarum AE, EB commensurabile composito ex quadratis ipsarum ΓZ, ZΔ; quod autem sub AE, EB continetur commensurabile esse ei quod continetur sub ΓZ, ZΔ: quare [per 24. 10.] & compositum ex quadratis ipsarum ΓZ, ZΔ medium est; itemque medium quod sub ΓZ, ZΔ continetur; & adhuc incommensurabile est compositum ex quadratis ipsarum ΓZ, ZΔ rectangulo sub ipsis ΓZ, ZΔ: ergo [per 42. 10.] ΓΔ est bina media potens. quod erat demonstrandum.



ΠΡΟΤΑΣΙΣ οα'.

Η τῇ δύο μέσα δυναμένῃ σύμμετρος δύο μέσα δυναμένη ἐστίν.

ΕΣτω δύο μέσα δυναμένη ἡ AB, καὶ τῇ AB σύμμετρος ἡ ΓΔ· δεικτέον δὴ ὅτι καὶ ἡ ΓΔ δύο μέσα δυναμένη ἐστίν.

Επεὶ γὰρ δύο μέσα δυναμένη ἐστὶν ἡ AB, διῃρήσθω εἰς τὰς εὐθείας κατὰ τὸ E· αἱ AE, EB ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τό, τε συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ ὑπ' αὐτῶν μέσον, καὶ ἔτι ἀσύμμετρον τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AE, EB τετραγώνων τῷ ὑπὸ τῶν AE, EB· καὶ κατασκευάσθω τὰ αὐτὰ τοῖς πρότερον. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ ΓZ, ZΔ δυνάμει εἰσὶν ἀσύμμετροι, καὶ σύμμετρον τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AE, EB τῷ συγκειμένῳ ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ, τὸ δὲ ὑπὸ τῶν AE, EB τῷ ὑπὸ τῶν ΓZ, ZΔ· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ τετραγώνων μέσον ἐστί, καὶ τὸ ὑπὸ τῶν ΓZ, ZΔ μέσον, καὶ ἔτι ἀσύμμετρον τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ τετραγώνων τῷ ὑπὸ τῶν ΓZ, ZΔ· ἡ ΓΔ ἄρα δύο μέσα δυναμένη ἐστίν. ὅπερ ἔδει δεῖξαι.

PROP. LXXII. THEOR.

Si rationale & medium componantur, quatuor irrationales fiunt, vel quæ ex binis nominibus, vel quæ ex binis

ΠΡΟΤΑΣΙΣ οβ'.

Ρητῷ καὶ μέσῳ συνθεμένῳ, τέσσαρες ἄλογοι γίνονται ἤτοι ἐκ δύο ὀνομάτων ἢ ἐκ δύο μέσων

μέσων πρώτη, ἢ μείζων, ἢ ῥητὸν καὶ μέσον δυναμένη.

ΕΣτω ῥητὸν μὲν τὸ ΑΒ, μέσον δὲ τὸ ΓΔ· λέγω ὅτι ἡ τὸ ΑΔ χωρίον δυναμένη, ἤτοι ἐκ δύο ὀνομάτων ἐστὶν, ἢ ἐκ δύο μέσων πρώτη, ἢ μείζων, ἢ ῥητὸν καὶ μέσον δυναμένη.

Τὸ γὰρ ΑΒ τῷ ΓΔ ἤτοι μεῖζόν ἐστιν, ἢ ἔλασσον. ἔστω πρότερον μεῖζον· καὶ ἐκκείσθω ῥητὴ ἡ ΕΖ, καὶ παραβεβλήσθω παρὰ τὴν ΕΖ τῷ ΑΒ ἴσον τὸ ΕΗ, πλάτος ποιοῦν τὴν ΕΘ· τῷ δὲ ΓΔ ἴσον παρὰ τὴν ΕΖ, τουτέστι τὴν ΘΗ, παραβεβλήσθω τὸ ΘΙ πλάτος ποιοῦν τὴν ΘΚ. καὶ ἐπεὶ ῥητόν ἐστι τὸ ΑΒ, καί ἐστιν ἴσον τὸ ΕΗ· ῥητὸν ἄρα καὶ τὸ ΕΗ, καὶ παρὰ ῥητὴν τὴν ΕΖ παραβέβληται πλάτος ποιοῦν τὴν ΕΘ· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΘ καὶ σύμμετρος τῇ ΕΖ μήκει. πάλιν, ἐπεὶ μέσον τὸ ΓΔ, καὶ ἔστιν ἴσον τὸ ΘΙ· μέσον ἄρα ἐστὶ καὶ τὸ ΘΙ, καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται, τουτέστι τὴν ΘΗ, πλάτος ποιοῦν τὴν ΘΚ· ῥητὴ ἄρα ἐστὶν ἡ ΘΚ, καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ μέσον ἐστὶ τὸ ΓΔ, ῥητὸν δὲ τὸ ΑΒ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΒ τῷ ΓΔ· ὥστε καὶ τὸ ΕΗ ἀσύμμετρόν ἐστι τῷ ΘΙ. ὡς δὲ τὸ ΕΗ πρὸς τὸ ΘΙ οὕτως ἐστὶν ἡ ΕΘ πρὸς τὴν ΘΚ· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΕΘ τῇ ΘΚ μήκει· καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ΕΘ, ΘΚ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΚ διῃρημένη κατὰ τὸ Θ. καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ ΓΔ, ἴσον δὲ τὸ μὲν ΑΒ τῷ ΕΗ, τὸ δὲ ΓΔ τῷ ΘΙ· μεῖζον ἄρα καὶ τὸ ΕΗ τοῦ ΘΙ· καὶ ἡ ΕΘ ἄρα μείζων ἐστὶ τῆς ΘΚ. ἤτοι οὖν ἡ ΕΘ τὴν ΘΚ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. δυνάσθω πρότερον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἔστω μείζων ἡ ΘΕ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΕΖ· ἡ ἄρα ΕΚ ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη, ῥητὴ δὲ ἡ ΕΖ. ἐὰν δὲ χωρίον παρέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων πρώτης, ἡ τὸ χωρίον δυναμένη ἐκ δύο ὀνομάτων ἐστίν· ἡ ἄρα τὸ ΕΙ δυναμένη ἐκ δύο ὀνομάτων ἐστίν· ὥστε καὶ ἡ τὸ ΑΔ δυναμένη ἐκ δύο ὀνομάτων ἐστίν. ἀλλὰ δὴ δυνάσθω ἡ ΕΘ τῆς ΘΚ μεῖζον τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἔστω μείζων ἡ ΕΘ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΕΖ μήκει· ἡ ἄρα ΕΚ ἐκ δύο ὀνομάτων ἐστὶ τετάρτη, ῥητὴ δὲ ἡ ΕΖ. ἐὰν δὲ χωρίον παρέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων τετάρτης, ἡ τὸ χωρίον δυναμένη ἄλογός ἐστιν, ἡ καλουμένη μείζων· ἡ ἄρα τὸ ΕΙ χωρίον δυναμένη μείζων ἐστίν· ὥστε καὶ ἡ τὸ ΑΔ δυναμένη μείζων ἐστίν.

Ἀλλὰ δὴ ἔστω ἔλασσον τὸ ΑΒ τοῦ ΓΔ· καὶ τὸ ΕΗ ἄρα ἔλαττόν ἐστι τοῦ ΘΙ· ὥστε καὶ ἡ ΕΘ

mediis prima, vel major, vel rationale ac medium potens.

SIT rationale quidem ſpatium AB, medium autem ΓΔ: dico eam, quæ poteſt ſpatium AΔ, vel eſſe ex binis nominibus, vel ex binis mediis primam, vel majorem, vel rationale ac medium potentem.

Etenim AB vel majus eſt quam ΓΔ, vel minus. ſit primum majus, exponaturque rationalis EZ, & ad ipſam applicetur parallelogrammum EH ipſi AB æquale, quod latitudinem faciat EΘ; ipſi vero ΓΔ æquale ad EZ, hoc eſt ad ΘH, applicetur ΘI latitudinem faciens ΘK. & quoniam rationale eſt AB, & ipſi eſt æquale EH, erit & EH rationale, & ad rationalem EZ applicatum eſt latitudinem faciens EΘ: ergo [per 21. 10.] EΘ eſt rationalis, & ipſi EZ longitudine commenſurabilis. rurſus, quoniam medium eſt ΓΔ, & ipſi eſt æquale ΘI, erit & ΘI medium; & ad rationalem EZ, hoc eſt ΘH, applicatum eſt latitudinem faciens ΘK: quare [per 23. 10.] ΘK eſt rationalis, & incommenſurabilis ipſi EZ longitudine. quod cum medium ſit ΓΔ, rationale autem AB; erit AB ipſi ΓΔ incommenſurabile: ergo & EH incommenſurabile eſt ipſi ΘI. ut autem EH ad ΘI ita eſt [per 1. 6.] recta linea EΘ ad ΘK: ergo EΘ ipſi ΘK longitudine eſt incommenſurabilis. & ſunt ambæ rationales: quare EΘ, ΘK rationales ſunt potentia ſolum commenſurabiles; & ob id ex binis nominibus eſt EK, diviſa ad punctum Θ. & quoniam majus eſt AB quam ΓΔ, æquale autem AB ipſi EH & ΓΔ ipſi ΘI; erit & EH quam ΘI majus: ergo & EΘ major eſt quam ΘK. vel igitur EΘ plus poteſt quam ΘK quadrato rectæ lineæ ſibi commenſurabilis longitudine, vel incommenſurabilis. poſſit primum quadrato rectæ lineæ ſibi commenſurabilis longitudine, & ſit major ΘE expoſitæ rationali EZ commenſurabilis: ergo [per 1. deff. ſecund. 10.] EK ex binis nominibus eſt prima, atque eſt EZ rationalis. ſi autem ſpatium contineatur ſub rationali & ex binis nominibus prima, recta linea ſpatium potens [per 55. 10.] ex binis nominibus eſt: ergo quæ poteſt ſpatium EI eſt ex binis nominibus: quare & ea quæ poteſt ſpatium AΔ eſt ex binis nominibus. ſed EΘ plus poſſit quam ΘK quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis, & ſit major EΘ expoſitæ rationali EZ commenſurabilis longitudine: ergo [per 4. deff. ſecund. 10.] EK ex binis nominibus eſt quarta, & eſt rationalis EZ. ſi autem ſpatium contineatur ſub rationali & ex binis nominibus quarta, recta linea ſpatium potens [per 58. 10.] irrationalis eſt, quæ major appellatur: potens igitur ſpatium EI major eſt: ergo & potens ſpatium AΔ major.

Sed ſit ſpatium AB minus quam ΓΔ: erit & EH quam ΘI minus; & ob id recta linea EΘ

minor quam recta Θ K: vel igitur K Θ plus poteſt quam E Θ quadrato rectæ lineæ ſibi longitudine commenſurabilis, vel incommenſurabilis. poſſit primum quadrato rectæ lineæ ſibi commenſurabilis longitudine, & ſit minor E Θ commenſurabilis expoſitæ rationali E Z longitudine: ergo [per 2. deff. ſecund. 10.] E K ex binis nominibus eſt ſecunda, rationalis autem E Z. quod ſi ſpatium contineatur ſub rationali & ex binis nominibus ſecunda, recta linea ſpatium potens [per 56.10.] eſt ex binis mediis prima: potens igitur ſpatium E I eſt ex binis mediis prima: ergo & potens ſpatium A Δ. ſed K Θ plus poſſit quam E Θ quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis; ſitque minor E Θ expoſitæ rationali E Z commenſurabilis longitudine: quare [per 5. deff. ſecund. 10.] E K eſt ex binis nominibus quinta; atque eſt rationalis E Z. ſi autem ſpatium contineatur ſub rationali & ex binis nominibus quinta, quæ ſpatium poteſt recta linea [per 59. 10.] rationale ac medium potens eſt: quæ igitur poteſt ſpatium E I rationale & medium potens eſt; ideoque rationale & medium potens eſt quæ poteſt ſpatium A Δ.





Si igitur rationale & medium componantur, quatuor irrationales fiunt; vel ea quæ ex binis nominibus, vel quæ ex binis mediis prima, vel major, vel rationale ac medium potens. quod erat demonſtrandum.

ἐλάσσων ἐστὶ τὸ Θ K· ἤτοι δὲ ἡ Θ K τοῦ E Θ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. δυνάσθω πρότερον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, καὶ ἔστω ἡ ἐλάσσων ἡ E Θ· σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ E Z μήκει· ἡ ἄρα E K ἐκ δύο ὀνομάτων ἐστὶ δευτέρα, ῥητὴ δὲ ἡ E Z. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων δευτέρας, ἡ τὸ χωρίον δυναμένη ἐκ δύο μέσων ἐστὶ πρώτη· ἡ ἄρα τὸ E I χωρίον δυναμένη ἐκ δύο μέσων ἐστὶ πρώτη· ὥστε καὶ ἡ τὸ A Δ χωρίον δυναμένη ἐκ δύο μέσων ἐστὶ πρώτη. ἀλλὰ δὴ ἡ Κ Θ τοῦ E Θ μεῖζον δυνάσθω τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἔστω ἡ ἐλάσσων ἡ E Θ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ E Z· ἡ ἄρα E K ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη, ῥητὴ δὲ ἡ E Z. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων πέμπτης, ἡ τὸ χωρίον δυναμένη ῥητόν ἐστι μέσον δυναμένη ἐστίν· ἡ ἄρα τὸ E I χωρίον δυναμένη ῥητὸν καὶ μέσον δυναμένη ἐστίν· ὥστε καὶ ἡ τὸ A Δ χωρίον δυναμένη ῥητὸν καὶ μέσον δυναμένη ἐστίν.

Ῥητὸν ἄρα καὶ μέσα συντεθέντα τέσσαρες ἄλογοι γίνονται· ἤτοι ἡ ἐκ δύο ὀνομάτων, ἢ ἐκ δύο μέσων πρώτη, ἢ μείζων, ἢ καὶ ῥητὸν καὶ μέσον δυναμένη. ὅπερ ἔδει δεῖξαι.

Prop. LXXIII. Theor.

Si duo media inter ſe incommenſurabilia componantur, duæ reliquæ irrationales fiunt; vel ex binis mediis ſecunda, vel bina media potens.

ΠΡΟΤΑΣΙΣ ογ'.

Δύο μέσων ἀσυμμέτρων ἀλλήλοις συντεθέντων, αἱ λοιπαὶ δύο ἄλογοι γίνονται· ἤτοι ἡ ἐκ δύο μέσων δευτέρα, ἢ ἡ δύο μέσα δυναμένη.

COmponantur enim duo media incommenſurabilia inter ſe A B, Γ Δ: dico rectam lineam, quæ ſpatium A Δ poteſt, vel ex binis mediis ſecundam eſſe, vel bina media potentem.

Spatium enim A B vel majus eſt quam Γ Δ, vel minus. ſit primum majus; exponaturque rationalis E Z: & ad E Z ſpatio quidem A B æquale applicetur E H, latitudinem faciens E Θ; ipſi vero Γ Δ æquale applicetur Θ I latitudinem faciens Θ K. & quoniam medium eſt utrumque ipſorum A B, Γ Δ, erit & utrumque E H, Θ I medium; & ad rationalem E Z applicata ſunt, quæ latitudinem faciunt E Θ, Θ K: ergo [per 23. 10.] utraque E Θ, Θ K rationalis eſt, & ipſi E Z longitudine incommenſurabilis. quod cum A B





Συγκείσθωσαν γὰρ δύο μέσα ἀσύμμετρα ἀλλήλοις τὰ A B, Γ Δ· λέγω ὅτι ἡ τὸ A Δ χωρίον δυναμένη, ἤτοι ἐκ δύο μέσων ἐστὶ δευτέρα, ἢ δύο μέσα δυναμένη.

Τὸ γὰρ A B τῷ Γ Δ ἤτοι μεῖζόν ἐστιν, ἢ ἔλασσον. ἔστω πρότερον μεῖζον τὸ A B τοῦ Γ Δ· καὶ συνεστάτω ῥητὴ ἡ E Z, καὶ τῷ μὲν A B ἴσον παραλληλόγραμμον παρὰ τὴν E Z παραβεβλήσθω τὸ E H πλάτος ποιοῦν τὴν E Θ, τῷ δὲ Γ Δ ἴσον τὸ Θ I πλάτος ποιοῦν τὴν Θ K. καὶ ἐπεὶ μέσον ἐστὶν ἑκάτερον τῶν A B, Γ Δ· μέσον ἄρα καὶ ἑκάτερον τῶν E H, Θ I, καὶ παρὰ ῥητὴν τὴν E Z παράκειται πλάτος ποιοῦν τὰς E Θ, Θ K· ἑκατέρα ἄρα τῶν E Θ, Θ K ῥητή ἐστι, καὶ ἀσύμμετρος τῇ E Z μήκει. καὶ ἐπεὶ ἀσύμμετρόν

Si ſpatium contineatur ſub rationali & apotoma quinta, recta linea ſpatium potens eſt quæ cum rationali medium totum efficit.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς πέμπτης, ἡ τὸ χωρίον δυναμένη ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστι.

SPatium enim AB contineatur ſub rationali AΓ & apotoma quinta AΔ: dico rectam lineam quæ ſpatium AB poteſt eſſe eam quæ cum rationali medium totum efficit.

Sit enim ipſi AΔ congruens ΔH: ergo [per 5. deff. tert. 10.] AH, HΔ rationales ſunt potentia ſolum commenſurabiles; & congruens ΔH longitudine commenſurabilis eſt expoſitæ rationali AΓ; totaque AH plus poteſt quam ΔH quadrato rectæ lineæ ſibi incommenſurabilis longitudine: ſi igitur quartæ parti quadrati ex ΔH æquale parallelogrammum ad AH applicetur deficiens figura quadrata, [per 19. 10.] in partes incommenſurabiles ipſam dividet. Itaque ſecetur ΔH bifariam in puncto E, & quadrato ex EH æquale ad ipſam AH applicetur deficiens figura quadrata, quod ſc. continetur ſub AZ, ZH: ergo AZ incommenſurabilis eſt ipſi ZH longitudine. ducantur per puncta E, Z, H ipſi AΓ parallelæ EΘ, ZI, HK. & quoniam AH incommenſurabilis eſt ipſi AΓ longitudine, & ſunt ambæ rationales; erit [per 22. 10.] parallelogrammum AK medium. rurſus, quoniam rationalis eſt ΔH, & ipſi AΓ longitudine commenſurabilis; [per 20. 10.] parallelogrammum ΔK rationale erit. conſtituatur igitur parallelogrammo quidem AI æquale quadratum ΛM; ipſi vero ZK æquale quadratum auferatur NΞ, angulum habens eundem quem ΛM, videlicet ΛOM: ergo [per 26. 6.] quadrata ΛM, NΞ circa eandem ſunt diametrum. ſit diameter ipſorum OP, & figura deſcribatur. ſimiliter oſtendemus rectam lineam ΛN ſpatium AB poſſe. dico ΛN eſſe eam, quæ cum rationali medium totum efficit. quoniam enim oſtendimus parallelogrammum AK medium eſſe; atque eſt æquale quadratis ipſarum ΛO, ON; erit & compoſitum ex quadratis ipſarum ΛO, ON medium. rurſus, quoniam ΔK rationale eſt, & æquale ei quod bis continetur ſub ΛO, ON; erit & quod bis ſub ΛO, ON continetur rationale. & quoniam AI eſt incommenſurabile ipſi ZK, incommenſurabile igitur eſt quadratum ex ΛO quadrato ex ON; ideoque ΛO, ON potentia incommenſurabiles ſunt, facientes compoſitum quidem ex ipſarum quadratis medium; quod autem ſub ipſis bis





Χωρίον γὰρ τὸ AB περιεχέσθω ὑπὸ ῥητῆς τῆς AΓ καὶ ἀποτομῆς πέμπτης τῆς AΔ· λέγω ὅτι ἡ τὸ AB χωρίον δυναμένη ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Ἐκκείσθω γὰρ τῇ AΔ συμμέτρος κατὰ μῆκος ἡ ΔH· αἱ ἄρα AH, HΔ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἡ συναμφότερος ἡ ΔH σύμμετρός ἐστι μήκει τῇ ἐκκειμένῃ ῥητῇ τῇ AΓ, ἡ δὲ ὅλη ἡ AH τῆς συναμφοτέρου τῆς ΔH μεῖζον δύναται τῷ ἀπὸ ἀσυμέτρου ἑαυτῇ· ἐὰν ἄρα τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΔH ἴσον παρὰ τὴν AH παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, εἰς ἀσύμμετρα αὐτὴν διαιρεῖ. τετμήσθω οὖν ἡ ΔH δίχα κατὰ τὸ E σημεῖον, καὶ τῷ ἀπὸ τῆς EH ἴσον παρὰ τὴν AH παραβεβλήσθω ἐλλεῖπον εἴδει τετραγώνῳ, ᾧ ἔστω τὸ ὑπὸ τῶν AZ, ZH· ἀσύμμετρος ἄρα ἐστὶν ἡ AZ τῇ ZH μήκει. καὶ ἤχθωσαν διὰ τῶν E, Z, H τῇ AΓ παράλληλοι αἱ EΘ, ZI, HK. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ AH τῇ AΓ μήκει, καί εἰσιν ἀμφότεραι ῥηταί· μέσον ἄρα ἐστὶ τὸ AK. πάλιν, ἐπεὶ ῥητή ἐστιν ἡ ΔH, καὶ σύμμετρος τῇ AΓ μήκει, ῥητόν ἐστι τὸ ΔK. συνεστάτω ἴσον τῷ μὲν AI ἴσον τετράγωνον τὸ ΛM, τῷ δὲ ZK ἴσον τετράγωνον ἀφῃρήσθω πρὸς τὴν αὐτὴν τὸν τῶν ΛM γωνίαν, τὴν ὑπὸ ΛOM, τὸ NΞ· πρὸς τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὰ ΛM, NΞ τετράγωνα. ἔστω αὐτῶν διάμετρος ἡ OP, καὶ καταγεγράφθω τὸ σχῆμα. ὁμοίως δὴ δείξομεν ὅτι ἡ ΛN τὸ AB. λέγω ὅτι ἡ ΛN ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν. ἐπεὶ γὰρ μέσον ἐδείχθη τὸ AK, καὶ ἔστιν ἴσον τοῖς ἀπὸ τῶν ΛO, ON· τὸ ἄρα συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΛO, ON μέσον ἐστί. πάλιν, ἐπεὶ ῥητόν ἐστι τὸ ΔK, καὶ ἔστιν ἴσον τῷ δὶς ὑπὸ τῶν ΛO, ON· καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν ΛO, ON ῥητόν ἐστι. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ AI τῷ ZK, ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΛO τῷ ἀπὸ τῆς ON· αἱ ΛO, ON ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον· τὸ δὲ δὶς ὑπ' αὐτῶν

αὐτῶν ῥητόν· λοιπὴ ἄρα ἡ ΑΝ ἄλογός ἐστιν, ἡ καλουμένη μεσὸν ῥητὸν τὸ ὅλον ποιοῦσα, καὶ δυναται τὸ ΑΒ χωρίον· ἡ τὸ ΑΒ ἄρα χωρίον δυναμένη, ἡ μετὰ ῥητὸν μέσον τὸ ὅλον ποιοῦσά ἐστιν. ὅπερ ἔδει δεῖξαι.

continetur rationale: ergo [per 78.10.] reliqua ΑΝ irrationalis eſt, quæ vocatur cum rationali medium totum efficiens, & poteſt ſpatium ΑΒ: recta igitur linea ſpatium ΑΒ potens eſt quæ cum rationali medium totum efficit. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ϛζ'.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς ἕκτης, ἡ τὸ χωρίον δυναμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστι.

PROP. XCVII. THEOR.

Si ſpatium contineatur ſub rationali & apotoma ſexta, recta linea ſpatium potens eſt quæ cum medio medium totum efficit.

Χωρίον γὰρ τὸ ΑΒ περιεχέσθω ὑπὸ ῥητῆς τῆς ΑΓ καὶ ἀποτομῆς ἕκτης τῆς ΑΔ· λέγω ὅτι ἡ τὸ ΑΒ χωρίον δυναμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Ἐστω γὰρ τῇ ΑΔ συμμέτρος ἡ ΔΗ· αἱ ἄρα ΑΗ, ΗΔ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἐστὶν ἡ ΑΗ τῆς ΗΔ μεῖζον δυνάται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει. ἐπεὶ οὖν ἡ ΑΗ τῆς ΗΔ μεῖζον δυνάται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει· ἐὰν ἄρα τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΔΗ ἴσον παρὰ τὴν ΑΗ παραβάλλωμεν ἔλλειπον εἴδει τετραγώνῳ, εἰς ἀσύμμετρα αὐτὴν διελεῖ. τετμήσθω οὖν ἡ ΔΗ δίχα κατὰ τὸ Ε σημεῖον, καὶ τῷ ἀπὸ τῆς ΕΗ ἴσον παρὰ τὴν ΑΗ παραβεβλήσθω ἔλλειπον εἴδει τετραγώνῳ, καὶ ἔστω τὸ ὑπὸ τῶν ΑΖ, ΖΗ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΖ τῇ ΖΗ μήκει. ὡς δὲ ἡ ΑΖ πρὸς τὴν ΖΗ οὕτως ἐστὶ τὸ ΑΙ πρὸς τὸ ΖΚ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΙ τῷ ΖΚ. καὶ ἐπεὶ αἱ ΑΗ, ΑΓ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, μέσον ἐστὶ τὸ ΑΚ. πάλιν, ἐπεὶ αἱ ΑΓ, ΔΗ ῥηταί εἰσι καὶ ἀσύμμετροι μήκει, μέσον ἐστὶ καὶ τὸ ΔΚ. ἐπεὶ οὖν αἱ ΑΗ, ΗΔ δυνάμει μόνον σύμμετροί εἰσιν, ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΗ τῇ ΗΔ μήκει. ὡς δὲ ἡ ΑΗ πρὸς τὴν ΗΔ οὕτως ἐστὶ τὸ ΑΚ πρὸς τὸ ΚΔ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΚ τῷ ΚΔ. συνεστάτω οὖν τῷ μὲν ΑΙ ἴσον παραλληλόγραμμον τὸ ΛΜ, τῷ δὲ ΖΚ ἴσον ἀφῃρήσθω πρὸς τὴν αὐτὴν τὴν ΛΜ γωνίαν τὸ ΝΞ· πρὸς τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὰ ΑΜ, ΝΞ παραλληλόγραμμα. ἔστω αὐτῶν διάμετρος ἡ ΟΡ, καὶ καταγεγράφθω τὸ σχῆμα. ὁμοίως δὴ τοῖς ἐπάνω δείξομεν ὅτι ἡ ΑΝ δύναται τὸ ΑΒ χωρίον. λέγω ὅτι ἡ ΑΝ ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστιν. ἐπεὶ γὰρ μέσον ἐστὶ τὸ ΑΚ, ᾧ ἴσον τοῖς ἀπὸ τῶν ΛΟ, ΟΝ· τὸ ἄρα συγκείμενον ἐκ

Spatium enim ΑΒ contineatur ſub rationali ΑΓ & apotoma ſexta ΑΔ: dico rectam lineam, quæ ſpatium ΑΒ poteſt, eſſe eam quæ cum medio medium totum efficit.

Sit enim ipſi ΑΔ congruens ΔΗ: ergo [per 6.deff.tert.10.] ΑΗ, ΗΔ rationales ſunt potentia ſolum commenſurabiles; & neutra ipſarum ΑΗ, ΗΔ commenſurabilis eſt longitudine expoſitæ rationali ΑΓ, totaque ΑΗ plus poteſt quam congruens ΔΗ quadrato lineæ ſibi longitudine incommenſurabilis. itaque quoniam ΑΗ plus poteſt quam ΗΔ quadrato rectæ lineæ ſibi longitudine incommmenſurabilis: ſi quartæ parti quadrati ex ΔΗ æquale ad rectam lineam ΑΗ applicetur deficiens figura quadrata, [per 19.10.] in partes incommenſurabiles ipſam dividet. itaque ſecetur ΔΗ bifariam in Ε, & quadrato ex ΕΗ æquale parallelogrammum ad ΑΗ applicetur deficiens figura quadrata, nempe quod continetur ſub ΑΖ, ΖΗ: incommenſurabilis igitur eſt ΑΖ ipſi ΖΗ longitudine. ut autem ΑΖ ad ΖΗ ita eſt [per 1.6.] ΑΙ ad ipſum ΖΚ: ergo [per 10. 10.] ΑΙ ipſi ΖΚ eſt incommenſurabile. & quoniam ΑΗ, ΑΓ rationales ſunt potentia ſolum commenſurabiles, erit [per 22.10.] ΑΚ medium. rurſus, quoniam ΑΓ, ΔΗ rationales ſunt & incommenſurabiles longitudine, medium erit & ΔΚ. quod cum ΑΗ, ΗΔ potentia ſolum commenſurabiles ſint, erit ΑΗ ipſi ΗΔ longitudine incommenſurabilis. ſed ut ΑΗ ad ΗΔ ita eſt [per 1.6.] ΑΚ ad ΚΔ: incommenſurabile igitur [per 10. 10.] eſt ΑΚ ipſi ΚΔ. itaque conſtituatur [per 14.2.] parallelogrammo ΑΙ æquale quadratum ΛΜ; parallelogrammo autem ΖΚ æquale auferatur quadratum ΝΞ, angulum habens eundem quem ΛΜ: ergo [per 26.6.] quadrata ΛΜ, ΝΞ circa eandem ſunt diametrum. ſit eorum diameter ΟΡ, & figura deſcribatur. ſimiliter ut ſupra oſtendemus rectam lineam ΑΝ poſſe ſpatium ΑΒ. dico ΑΝ eſſe eam quæ cum medio medium totum efficit. quoniam enim ΑΚ oſtenſum eſt medium, atque eſt æquale quadratis ipſarum ΛΟ, ΟΝ, erit & compoſitum ex quadra-





tis ipſarum AO, ON medium. rurſus, quoniam ΔK oſtenſum eſt medium, & eſt æquale ei, quod bis continetur ſub AO, ON, & quod bis ſub AO, ON continetur medium erit. & quoniam oſtenſum eſt AK incommenſurabile ipſi KΔ: ergo & quadrata ex AO, ON incommenſurabilia ſunt ei quod bis ſub AO, ON continetur, & quoniam incommenſurabile eſt AI ipſi ZK, erit & quadratum ex AO quadrato ex ON incommenſurabile: ergo AO, ON potentia incommenſurabiles ſunt, facientes compoſitum quidem ex ipſarum quadratis medium, quod autem bis ſub ipſis continetur medium, & adhuc quadrata ipſarum incommenſurabilia ei quod bis ſub ipſis continetur: ergo [per 79. 10.] AN irrationalis eſt, quæ vocatur cum medio medium totum efficiens. & poteſt AB ſpatium: recta igitur linea ſpatium AB potens eſt quæ cum medio medium totum efficit. quod erat demonſtrandum.





τὸ ἀπὸ τὸ ΑΟ, ΟΝ μέσον ἐστί. πάλιν, ἐπεὶ μέσον ἐδείχθη τὸ ΔΚ, καὶ ἔστιν ἴσον τῷ δὶς ὑπὸ τῶν ΑΟ, ΟΝ· καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν ΑΟ, ΟΝ μέσον ἐστί. καὶ ἐπεὶ ἀσύμμετρον ἐδείχθη τὸ ΑΚ τῷ ΔΚ, ἀσύμμετρα ἄρα ἐστὶ καὶ τὰ ἀπὸ τῶν ΑΟ, ΟΝ τετράγωνα τῷ δὶς ὑπὸ τῶν ΑΟ, ΟΝ. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ ΑΙ τῷ ΖΚ, ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΟ τῷ ἀπὸ τῆς ΟΝ· αἱ ΑΟ, ΟΝ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ, τε συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ δὶς ὑπ' αὐτῶν μέσον, ἔτι τε τὰ ἀπ' αὐτῶν τετράγωνα ἀσύμμετρα τῷ δὶς ὑπ' αὐτῶν· ἡ ἄρα ΑΝ ἄλογός ἐστιν, ἡ καλουμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα, καὶ δύναται τὸ ΑΒ χωρίον· ἡ ἄρα τὸ ΑΒ χωρίον δυναμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Prop. XCVIII. Theor.

ΠΡΟΤΑΣΙΣ ϛη'.

Quadratum apotomæ ad rationalem applicatum latitudinem facit apotomen primam.

Τὸ ἀπὸ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην.

SIT apotome AB, rationalis autem ΓΔ, & quadrato ex AB æquale parallelogrammum ΓE ad ipſam ΓΔ applicetur latitudinem faciens ΓZ: dico ΓZ eſſe apotomen primam.

Sit enim ipſi AB congruens BH: ergo [per 74.10.] AH, HB rationales ſunt potentia ſolum commenſurabiles. & [per 45.1.] ad ipſam ΓΔ applicetur quadrato quidem ex AH æquale ΓΘ; quadrato autem ex BH æquale KΛ: totum igitur ΓΛ eſt æquale quadratis ex AH, HB. ex quibus parallelogrammum ΓE æquale eſt quadrato ex AB: ergo [per 7.2.] reliquum ZΛ ei quod bis ſub AH, HB continetur eſt æquale. ſecetur ZM bifariam in N; & per N ipſi ΓΔ parallela ducatur NΞ: utrumque igitur ipſorum ZΞ, ΛN eſt æquale ei quod ſub AH, HB continetur. & quoniam quadrata ex AH, HB rationalia ſunt, atque eſt quadratis ex AH, HB æquale parallelogrammum ΔM; erit ipſum ΔM rationale. & ad rationalem ΓΔ applicatum eſt, latitudinem faciens ΓM: ergo [per 21.10.] ΓM eſt rationalis, & ipſi ΓΔ commenſurabilis longitudine. rurſus, quoniam medium eſt quod bis continetur ſub AH, HB, eſtque ei quod bis ſub AH, HB continetur æquale



Ἔστω ἀποτομὴ ἡ ΑΒ, ῥητὴ δὲ ἡ ΓΔ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ, πλάτος ποιοῦν τὴν ΓΖ· λέγω ὅτι ἡ ΓΖ ἀποτομή ἐστι πρώτη.

Ἐπεζεύχθω γὰρ τῇ ΑΒ συμβαλλέτω ἡ ΒΗ· αἱ ἄρα ΑΗ, ΗΒ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΘ, τῷ δὲ ἀπὸ τῆς ΒΗ τὸ ΚΛ· ὅλον ἄρα τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ. ὧν τὸ ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· λοιπὸν ἄρα τὸ ΖΛ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. τετμήσθω ἡ ΖΜ δίχα κατὰ τὸ Ν σημεῖον, καὶ ἤχθω διὰ τοῦ Ν τῇ ΓΔ παράλληλος ἡ ΝΞ· ἑκάτερον ἄρα τῶν ΖΞ, ΛΝ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. καὶ ἐπεὶ τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ ῥητά ἐστι, καὶ ἔστι τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΔΜ· ῥητὸν ἄρα ἐστὶ τὸ ΔΜ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παραβέβληται, πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΓΜ, καὶ σύμμετρος τῇ ΓΔ μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν ΑΗ, ΗΒ, καὶ ἔστι τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον

τὸ

τὸ ΑΖ· μέσον ἄρα τὸ ΑΖ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παραβέβληται, πλάτος ποιοῦν τὴν ΖΜ· ῥητὴ ἄρα ἡ ΖΜ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ τὰ μὲν ἀπὸ τῶν ΑΗ, ΗΒ ῥητά ἐστι, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον, ἀσύμμετρα ἄρα τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. καὶ ἔστι τοῖς μὲν ἀπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΓΛ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ τὸ ΖΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΛ τῷ ΖΛ. ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ οὕτως ἐστὶν ἡ ΓΜ πρὸς τὴν ΜΖ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῇ ΜΖ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓΜ, ΜΖ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΓΖ ἄρα ἀποτομή ἐστι. λέγω ὅτι καὶ πρώτη. ἐπεὶ γὰρ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΗ, ΗΒ, ᾧ ἔστι τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον τὸ ΓΘ, τῷ δὲ ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΝΛ, τῷ δὲ ἀπὸ τῆς ΒΗ ἴσον τὸ ΚΛ· καὶ τῶν ΓΘ, ΚΛ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΝΛ· ἔστιν ἄρα ὡς τὸ ΓΘ πρὸς τὸ ΝΛ οὕτως τὸ ΝΛ πρὸς τὸ ΚΛ. ἀλλ' ὡς μὲν τὸ ΓΘ πρὸς τὸ ΝΛ οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΝΜ. ὡς δὲ τὸ ΝΛ πρὸς τὸ ΚΛ οὕτως ἡ ΝΜ πρὸς τὴν ΚΜ· [*ὡς ἄρα ἡ ΓΚ πρὸς τὴν ΝΜ οὕτως ἐστὶν ἡ ΝΜ πρὸς τὴν ΚΜ·] τὸ ἄρα ὑπὸ τῶν ΓΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ, τουτέστι τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΗ τῷ ἀπὸ τῆς ΗΒ, σύμμετρόν ἐστι καὶ τὸ ΓΘ τῷ ΚΛ. ὡς δὲ τὸ ΓΘ πρὸς τὸ ΚΛ οὕτως ἡ ΓΚ πρὸς τὴν ΚΜ· σύμμετρος ἄρα ἐστὶν ἡ ΓΚ τῇ ΚΜ. ἐπεὶ οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓΜ, ΜΖ, καὶ τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ ἴσον παρὰ τὴν ΓΜ παραβέβληται, ἐλλεῖπον εἴδει τετραγώνῳ τῷ ὑπὸ τῶν ΓΚ, ΚΜ, καὶ ἔστι σύμμετρος ἡ ΓΚ τῇ ΚΜ· ἡ ἄρα ΓΜ τῆς ΜΖ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ ἔστιν ἡ ΓΜ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΓΔ μήκει· ἡ ἄρα ΓΖ ἀποτομή ἐστι πρώτη.

Τὸ ἄρα ἀπὸ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην. ὅπερ ἔδει δεῖξαι.

parallelogrammum ΛΖ; erit ipſum ΛΖ medium & applicatum eſt ad rationalem ΓΔ latitudinem faciens ΖΜ: quare [per 23.10.] ΖΜ eſt rationalis, ipſique ΓΔ longitudine incommenſurabilis. & quoniam quadrata quidem ex ΑΗ, ΗΒ rationalia ſunt; quod autem bis continetur ſub ΑΗ, ΗΒ medium: quadrata ex ΑΗ, ΗΒ incommenſurabilia ſunt ei quod bis ſub ΑΗ, ΗΒ continetur. ſed quadratis ex ΑΗ, ΗΒ æquale eſt parallelogrammum ΓΛ, ei vero quod bis continetur ſub ΑΗ, ΗΒ æquale eſt ΖΛ: ergo ΓΛ ipſi ΖΛ eſt incommenſurabile. ut autem ΓΛ ad ΖΛ ita eſt [per 1.6.] recta linea ΓΜ ad ΜΖ: incommenſurabilis igitur eſt ΓΜ ipſi ΜΖ longitudine. & ſunt ambæ rationales: ergo ΓΜ, ΜΖ rationales ſunt potentia ſolum commenſurabiles; ac propterea [per 74.10.] ΓΖ eſt apotome. dico & primam eſſe. quoniam enim inter quadrata ex ΑΗ, ΗΒ [per lem.55.10.] medium proportionale eſt quod ſub ΑΗ, ΗΒ continetur, atque [per conſtr.] eſt quadrato quidem ex ΑΗ æquale parallelogrammum ΓΘ; ei vero quod ſub ΑΗ, ΗΒ continetur æquale ΝΛ, & quadrato ex ΒΗ æquale ΚΛ: erit inter ipſa ΓΘ, ΚΛ medium proportionale ΝΛ: ut igitur ΓΘ ad ΝΛ ita ΝΛ ad ΚΛ. ſed ut ΓΘ ad ΝΛ ita eſt recta linea ΓΚ ad ipſam ΝΜ. ut autem ΝΛ ad ΚΛ ita recta linea ΝΜ ad ΜΚ: [*ergo ut ΓΚ ad ΝΜ ita eſt ΝΜ ad ΚΜ:] & ob id [per 17.6.] rectangulum ſub ΓΚ, ΚΜ eſt æquale quadrato ex ΜΝ, hoc eſt quartæ parti quadrati ex ΖΜ. & quoniam [ex hyp.] quadratum ex ΑΗ commenſurabile eſt quadrato ex ΗΒ, erit & parallelogrammum ΓΘ parallelogrammo ΚΛ commenſurabile. ſed ut ΓΘ ad ΚΛ ita eſt recta linea ΓΚ ad ipſam ΚΜ; commenſurabilis igitur [per 10.10.] eſt ΓΚ ipſi ΚΜ. itaque cum duæ rectæ lineæ inæquales ſint ΓΜ, ΜΖ, & quartæ parti quadrati ex ΖΜ æquale parallelogrammum ad ipſam ΓΜ applicatum ſit deficiens figura quadrata, quod ſcilicet ſub ΓΚ, ΚΜ continetur; ſitque ΓΚ commenſurabilis ipſi ΚΜ: [per 18.10.] recta linea ΓΜ plus poterit quam ΜΖ quadrato rectæ lineæ ſibi longitudine commenſurabilis. atque eſt ΓΜ commenſurabilis longitudine expoſitæ rationali ΓΔ: ergo [per 1.def.tert.10.] ΓΖ eſt prima apotome.

Quadratum igitur apotomæ ad rationalem applicatum latitudinem facit apotomen primam. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ϟθ'.

Τὸ ἀπὸ μέσης ἀποτομῆς πρώτης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν δευτέραν.

Prop. XCIX. Theor.

Quadratum mediæ apotomæ primæ ad rationalem applicatum latitudinem facit apotomen ſecundam.

Ἔστω μέσης ἀποτομὴ πρώτη ἡ ΑΒ, ῥητὴ δὲ ἡ ΓΔ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ, πλάτος ποιοῦν τὴν ΓΖ· λέγω ὅτι ἡ ΓΖ ἀποτομή ἐστι δευτέρα,

SIT mediæ apotome prima ΑΒ, rationalis autem ΓΔ, & quadrato ex ΑΒ æquale parallelogrammum ΓΕ ad ipſam ΓΔ applicetur, latitudinem faciens ΓΖ; dico ΓΖ eſſe apotomen ſecundam.

* Uncis incluſa deſunt in Cod. MS. Illa tamen retinenda cenſemus.

Sit enim ipſi AB congruens BH: ergo [per 75. 10.] AH, HB mediæ ſunt potentia ſolum commenſurabiles, quæ rationale continent. & [per 45.1.] quadrato quidem ex AH æquale parallelogrammum ΓΘ ad ΓΔ applicetur, latitudinem faciens ΓK; quadrato autem ex HB æquale KΛ ad eandem applicetur, latitudinem faciens KM: totum igitur ΓΛ eſt æquale quadratis ex AH, HB quæ media ſunt: quare & ΓΛ eſt medium. & ad rationalem ΓΔ applicatum eſt, latitudinem faciens ΓM: rationalis igitur eſt ΓM [per 23.10.] & ipſi ΓΔ longitudine incommenſurabilis. itaque quoniam ΓΛ eſt æquale quadratis ex AH, HB, ex quibus quadratum ex AB æquale eſt parallelogrammo ΓE; erit [per 7.2.] reliquum, ſc. quod bis continetur ſub AH, HB, æquale ipſi ZΛ. eſt autem quod bis ſub AH, HB continetur rationale: rationale igitur eſt & ZΛ, & ad rationalem ZE applicatum eſt latitudinem faciens ZM: quare [per 21.10.] ZM eſt rationalis & ipſi ΓΔ commenſurabilis longitudine. & quoniam quadrata quidem ex AH, HB, hoc eſt parallelogrammum ΓΛ, medium eſt; quod autem bis continetur ſub AH, HB, videlicet ZΛ, eſt rationale: erit ΓΛ incommenſurabile ipſi ZΛ. ut autem ΓΛ ad ZΛ, ita [per 1.6.] recta linea ΓM ad MZ: ergo ΓM ipſi MZ longitudine eſt incommenſurabilis. & ſunt ambæ rationales: ſunt igitur ΓM, MZ rationales potentia ſolum commenſurabiles: ideoque [per 74. 10.] ΓZ eſt apotome. dico & ſecundam eſſe. ſecetur enim ZM bifariam in puncto N, & per N ipſi ΓΔ parallela ducatur NΞ: alterutrum igitur parallelogrammorum ZΞ, NΛ eſt æquale ei quod continetur ſub AH, HB. & quoniam inter quadrata ex AH, HB medium proportionale eſt quod ſub AH, HB continetur, eſtque quadratum ex AH æquale parallelogrammo ΓΘ, quod autem continetur ſub AH, HB æquale parallelogrammo NΛ, & quadratum ex HB æquale ipſi KΛ; erit inter parallelogramma ΓΘ, KΛ medium proportionale NΛ: eſt igitur ut ΓΘ ad NΛ ita NΛ ad KΛ. ſed ut ΓΘ ad NΛ ita eſt [per 1. 6.] recta linea ΓK ad ipſam NM, & ut NΛ ad KΛ ita NM ad KM: ergo ut ΓK ad NM ita eſt NM ad KM: ac propterea [per 17. 6.] rectangulum ſub ΓK, KM eſt æquale quadrato ex NM; hoc eſt, quartæ parti quadrati ex ZM. & quoniam quadratum ex AH commenſurabile eſt quadrato ex HB, erit & ΓΘ parallelogrammum parallelogrammo KΛ commenſurabile, hoc eſt, recta linea ΓK commenſurabilis ipſi KM. quoniam itaque duæ rectæ lineæ inæquales ſunt ΓM, MZ, quartæ autem parti quadrati ex MZ æquale ad majorem ΓM applicatum ſit deficiens figura quadrata, quod ſc. continetur ſub ΓK, KM, & in partes commenſurabiles ipſam dividat; [per 18.10.] recta linea ΓM plus poterit quam MZ quadrato rectæ lineæ ſibi commenſurabilis longitudine. atq; [ex hyp.] eſt congruens ZM



Εσω γὰρ τῇ AB συναρμόζουσα ἡ BH· αἱ ἄρα AH, HB μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι, ῥητὸν περιέχουσαι. καὶ τῷ μὲν ἀπὸ τῆς AH ἴσον παρὰ τὴν ΓΔ παραβέβληθω τὸ ΓΘ, πλάτος ποιὸν τὴν ΓK, τῷ δὲ ἀπὸ τῆς HB ἴσον τὸ KΛ, πλάτος ποιὸν τὴν KM· ὅλον ἄρα τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν AH, HB μέσοις ὄσι· μέσον ἄρα καὶ τὸ ΓΛ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παραβέβληται, πλάτος ποιὸν τὴν ΓM· ῥητὴ ἄρα ἐστὶν ἡ ΓM, καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. ἐπεὶ τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν AH, HB, ὧν τὸ ἀπὸ τῆς AB ἴσον ἐστὶ τῷ ΓE· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν AH, HB ἴσον ἐστὶ τῷ ZΛ. ῥητὸν δέ ἐστι τὸ δὶς ὑπὸ τῶν AH, HB· ῥητὸν ἄρα καὶ τὸ ZΛ, καὶ παρὰ ῥητὴν τὴν ZE παράκειται, πλάτος ποιὸν τὴν ZM· ῥητὴ ἄρα καὶ ἡ ZM, καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. ἐπεὶ οὖν τὸ μὲν ἀπὸ τῶν AH, HB, τουτέστι τὸ ΓΛ, μέσον ἐστί, τὸ δὲ δὶς ὑπὸ τῶν AH, HB, τουτέστι τὸ ZΛ, ῥητόν· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΛ τῷ ZΛ. ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ZΛ οὕτως ἐστὶν ἡ ΓM πρὸς τὴν MZ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓM τῇ MZ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓM, MZ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΓZ ἄρα ἀποτομή ἐστι. λέγω δὴ ὅτι καὶ δευτέρα. τετμήσθω γὰρ ἡ ZM δίχα κατὰ τὸ N, καὶ ἤχθω διὰ τοῦ N τῇ ΓΔ παράλληλος ἡ NΞ· ἑκάτερον ἄρα τῶν ZΞ, NΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν AH, HB. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν AH, HB τετραγώνων μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν AH, HB, καί ἐστιν ἴσον τὸ μὲν ἀπὸ τῆς AH τῷ ΓΘ, τὸ δὲ ὑπὸ τῶν AH, HB τῷ NΛ, τὸ δὲ ἀπὸ τῆς HB τῷ KΛ· καὶ τῶν ΓΘ, KΛ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ NΛ· ἔστιν ἄρα ὡς τὸ ΓΘ πρὸς τὸ NΛ οὕτως τὸ NΛ πρὸς τὸ KΛ. ἀλλ' ὡς μὲν τὸ ΓΘ πρὸς τὸ NΛ οὕτως ἐστὶν ἡ ΓK πρὸς τὴν NM, ὡς δὲ τὸ NΛ πρὸς τὸ KΛ οὕτως ἐστὶν ἡ NM πρὸς τὴν KM· ὡς ἄρα ἡ ΓK πρὸς τὴν NM οὕτως ἐστὶν ἡ NM πρὸς τὴν KM· τὸ ἄρα ὑπὸ τῶν ΓK, KM ἴσον ἐστὶ τῷ ἀπὸ τῆς NM, τουτέστι τῷ τετάρτῳ μέρει τὸ ἀπὸ τῆς ZM. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς AH τῷ ἀπὸ τῆς HB, σύμμετρόν ἐστι καὶ τὸ ΓΘ τῷ KΛ, τουτέστιν ἡ ΓK τῇ KM. ἐπεὶ οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓM, MZ, τῷ δὲ τετάρτῳ μέρει τὸ ἀπὸ τῆς MZ ἴσον παραβέβληται τῷ μείζονα τὴν ΓM παραβεβληκέναι ἐλλείπον εἴδει τετραγώνῳ τῷ ὑπὸ τῶν ΓK, KM, καὶ εἰς σύμμετρα αὐτὴν διαιρεῖ· ἡ ἄρα ΓM τῆς MZ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καί ἐστιν ἡ συναρμόζουσα ἡ ZM σύμμετρος

τῷ Δ· τῇ σκαληνῷ ῥητῇ τῇ ΓΔ· ἡ ἄρα ΓΖ ἀποτομή ἐστι δευτέρα.

Τὸ ἄρα ἀπὸ μέσης ἀποτομῆς πρώτης παρὰ ῥητὴν ὡδιβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν δευτέραν. ὅπερ ἔδει δεῖξαι.

expositæ rationali ΓΔ commensurabilis: quare [per 2. deff. tert. 10.] ΓΖ est apotome secunda.

Quadratum igitur mediæ apotomæ primæ ad rationalem applicatum latitudinem facit apotomen secundam. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ρ'.

Τὸ ἀπὸ μέσης ἀποτομῆς δευτέρας ὡδὶ ῥητὴν ὡδιβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τρίτην.

PROP. C. THEOR.

Quadratum mediæ secundæ apotomæ ad rationalem applicatum latitudinem facit apotomen tertiam.

Ἔστω μέση ἀποτομὴ δευτέρα ἡ ΑΒ, ῥητὴ δὲ ἡ ΓΔ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΓΔ ὡδιβεβλήσθω τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΓΖ· λέγω ὅτι ἡ ΓΖ ἀποτομή ἐστι τρίτη.

Ἐφ' ᾗ γὰρ τῇ ΑΒ συναρμόζουσα ἡ ΒΗ· αἱ ἄρα ΑΗ, ΗΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι, μέσον περιέχουσαι. καὶ τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον παρὰ τὴν ΓΔ ὡδιβεβλήσθω τὸ ΓΘ πλάτος ποιοῦν τὴν ΓΚ, τῷ δὲ ἀπὸ τῆς ΗΒ ἴσον παρὰ τὴν ΚΘ ὡδιβεβλήσθω τὸ ΚΛ πλάτος ποιοῦν τὴν ΚΜ· ὅλον ἄρα τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ. καὶ ἔστι μέσα τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ· μέσον ἄρα καὶ τὸ ΓΛ, καὶ παρὰ ῥητὴν τὴν ΓΔ ὡδιβέβληται πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΓΜ, καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. Ἐπεὶ ὅλον τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ, ὧν τὸ ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· λοιπὸν ἄρα τὸ ΖΛ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. τετμήσθω δὴ ἡ ΖΜ δίχα κατὰ τὸ Ν σημεῖον, καὶ τῇ ΓΔ ὡδὶ παράλληλος ἤχθω ἡ ΝΞ· ἑκάτερον ἄρα τῶν ΖΞ, ΝΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. μέσον δὲ τὸ ὑπὸ τῶν ΑΗ, ΗΒ· μέσον ἄρα ἐστὶ καὶ τὸ ΖΛ, καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται πλάτος ποιοῦν τὴν ΖΜ· ῥητὴ ἄρα καὶ ἡ ΖΜ, καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ αἱ ΑΗ, ΗΒ δυνάμει μόνον εἰσὶ σύμμετροι, ἀσύμμετρος ἄρα ἐστὶ μήκει ἡ ΑΗ τῇ ΗΒ· ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΗ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΗ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ, τῷ δὲ ὑπὸ τῶν ΑΗ, ΗΒ σύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΑΗ, ΗΒ ἴσον ἐστὶ τὸ ΓΛ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον ἐστὶ τὸ ΖΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΛ τῷ ΖΛ. ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ οὕτως ἐστὶν ἡ ΓΜ πρὸς τὴν ΖΜ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῇ ΖΜ μήκει. καί εἰσιν ἀμφότεραι ῥη-

SIT mediæ apotome secunda ΑΒ, rationalis autem ΓΔ, & quadrato ex ΑΒ æquale parallelogrammum ΓΒ ad ipsam ΓΔ applicetur latitudinem faciens ΓΖ: dico ΓΖ esse apotomen tertiam.

Sit enim ipsi ΑΒ congruens ΒΗ; ergo [per 76. 10.] ΑΗ, ΗΒ mediæ sunt potentia solum commensurabiles, quæ medium continent. & [per 45. 1.] quadrato quidem ex ΑΗ æquale ad ΓΔ applicetur ΓΘ latitudinem faciens ΓΚ; quadrato autem ex ΗΒ æquale ad ΚΘ applicetur ΚΛ, latitudinem faciens ΚΜ: totum igitur ΓΛ est æquale quadratis ex ΑΗ, ΗΒ. & sunt quadrata ex ΑΗ, ΗΒ media: ergo & ΓΛ est medium, & ad rationalem ΓΔ applicatum est, latitudinem faciens ΓΜ: ergo [per 23. 10.] ΓΜ est rationalis, & ipsi ΓΔ incommensurabilis longitudine. & quoniam totum ΓΛ est æquale quadratis ex ΑΗ, ΗΒ, ex quibus ΓΕ æquale est quadrato ex ΑΒ; erit [per 7. 2.] reliquum ΖΛ æquale ei quod bis continetur sub ΑΗ, ΗΒ. secetur ΖΜ bifariam in Ν; & ipsi ΓΔ parallela ducatur ΝΞ: alterutrum igitur parallelogrammorum ΖΞ, ΝΛ est æquale ei quod sub ΑΗ, ΗΒ continetur. est autem quod continetur sub ΑΗ, ΗΒ medium: ergo & medium est ΖΛ, & ad rationalem ΕΖ applicatum est, latitudinem faciens ΖΜ: quare [per 23. 10.] & ΖΜ est rationalis, & ipsi ΓΔ longitudine incommensurabilis. & quoniam ΑΗ, ΗΒ potentia solum commensurabiles sunt, erit ΑΗ ipsi ΗΒ incommensurabilis longitudine: ideoque [per 1. 6. & 10. 10.] quadratum ex ΑΗ rectangulo sub ΑΗ, ΗΒ est incommensurabile. sed quadrato quidem ex ΑΗ commensurabilia sunt ex ΑΗ, ΗΒ quadrata; rectangulo autem sub ΑΗ, ΗΒ commensurabile est quod bis sub ΑΗ, ΗΒ continetur: ergo quadrata ex ΑΗ, ΗΒ sunt incommensurabilia ei quod bis sub ΑΗ, ΗΒ continetur. at [per constr.] quadratis ex ΑΗ, ΗΒ æquale est parallelogrammum ΓΛ; ei vero quod bis continetur sub ΑΗ, ΗΒ æquale est ΖΛ: incommensurabile igitur est ΓΛ ipsi ΖΛ. ut autem ΓΛ ad ΖΛ ita est recta linea ΓΜ ad ΖΜ: ergo [per 10. 10.] ΓΜ ipsi ΖΜ incommensurabilis est longitudine. & sunt ambæ rationales:



les: quare Γ M, Z M rationales ſunt potentia ſolum commenſurabiles: & ob id [per 74. 10.] Γ Z eſt apotome. dico & tertiam eſſe. quoniam enim quadratum ex A H commenſurabile eſt quadrato ex H B, erit parallelogrammum Γ Θ parallelogrammo K Λ commenſurabile: ergo & recta linea Γ K eſt commenſurabilis ipſi K M. & quoniam inter quadrata ex AH, HB [per lem. 55. 10.] medium proportionale eſt rectangulum ſub A H, H B; atque eſt quadrato quidem ex A H æquale parallelogrammum Γ Θ; quadrato autem ex H B æquale K Λ, & rectangulo ſub A H, H B æquale N Λ; erit inter parallelogramma Γ Θ, K Λ medium proportionale N Λ: eſt igitur ut Γ Θ ad N Λ ita N Λ ad K Λ. ſed [per 1. 6.] ut Γ Θ ad N Λ ita eſt recta linea Γ K ad N M; ut autem N Λ ad K Λ ita N M ad K M: ergo & ut Γ K ad N M ita N M ad K M; ac propterea [per 17. 10.] rectangulum ſub Γ K, K M eſt æquale quadrato ex N M, hoc eſt quartæ parti quadrati ex Z M. quoniam igitur duæ rectæ lineæ inæquales ſunt Γ M, M Z; & quartæ parti quadrati ex Z M æquale ad Γ M applicatum eſt deficiens figura quadrata, quod in partes commenſurabiles ipſam dividit; [per 18. 10.] recta linea Γ M plus poterit quam M Z quadrato rectæ lineæ ſibi longitudine commenſurabilis. & neutra ipſarum Γ M, M Z longitudine commenſurabilis eſt expoſitæ rationali Γ Δ: ergo [per 3. deff. tert. 10.] Γ Z eſt apotome tertia.



Quadratum igitur mediæ apotomæ ſecundæ ad rationalem applicatum latitudinem facit apotomen tertiam. quod erat demonſtrandum.

PROP. CI. THEOR.

Quadratum minoris ad rationalem applicatum latitudinem facit apotomen quartam.

SIT minor A B, rationalis autem Γ Δ, & quadrato ex A B æquale parallelogrammum Γ E ad ipſam Γ Δ applicetur latitudinem faciens Γ Z: dico Γ Z eſſe apotomen quartam.

Sit enim ipſi A B congruens B H: ergo [per 77. 10.] A H, H B potentia incommenſurabiles ſunt, facientes compoſitum quidem ex ipſarum A H, H B quadratis rationale, quod autem bis ſub ipſis continetur medium. & [per 45. 1.] quadrato ex A H æquale ad Γ Δ applicetur Γ Θ latitudinem faciens Γ K: quadrato autem ex B H æquale [*ad K Θ applicetur] K Λ latitudinem faciens K M: totum igitur Γ Λ quadratis ex A H, H B eſt æquale. atque eſt compoſitum ex quadratis A H, H B rationale: ergo & rationale eſt Γ Λ; & ad rationalem Γ Δ applicatum

ΠΡΟΤΑΣΙΣ ρα'.

Τὸ ἀπὸ ἐλάσσονος παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τετάρτην.

ΕΣτω ἐλάσσων ἡ A B, ῥητὴ δὲ ἡ Γ Δ, καὶ τῷ ἀπὸ τῆς A B ἴσον παρὰ τὴν Γ Δ παραβεβλήσθω τὸ Γ E, πλάτος ποιὸν τὴν Γ Z· λέγω ὅτι ἡ Γ Z ἀποτομή ἐστι τετάρτη.

Ἐπεὶ γὰρ τῇ A B συμμέτρος ἐστὶν ἡ B H· αἱ ἄρα A H, H B δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν A H, H B τετραγώνων ῥητὸν, τὸ δὲ δὶς ὑπὸ τῶν A H, H B μέσον. καὶ τῷ μὲν ἀπὸ τῆς A H ἴσον παρὰ τὴν Γ Δ παραβεβλήσθω τὸ Γ Θ, πλάτος ποιὸν τὴν Γ K, τῷ δὲ ἀπὸ τῆς B H ἴσον [*παρὰ τὴν K Θ παραβεβλήσθω] τὸ K Λ πλάτος ποιὸν τὴν K M· ὅλον ἄρα τὸ Γ Λ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν A H, H B. ἔστι δὲ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν A H, H B ῥητόν· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ Γ Λ, καὶ παρὰ ῥητὴν τὴν Γ Δ παράκειται

* Illa uncis incluſa rectius deſiderantur in *Codd. MSS.*

πλάτος

κειται παλάτος ποιὸν τὴν ΓΜ· ῥητὴ ἄρα ἐστὶ ἡ ΓΜ, καὶ σύμμετρος τῇ ΓΔ μήκει. ἐπεὶ οὖν ὅλον τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ, ὧν τὸ ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· λοιπὸν ἄρα τὸ ΖΛ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. τετμήσθω δὴ ἡ ΖΜ δίχα κατὰ τὸ Ν σημεῖον, καὶ ἤχθω διὰ τοῦ Ν ὁποτέρᾳ τῶν ΓΔ, ΜΛ παράλληλος ἡ ΝΞ· ἑκάτερον ἄρα τῶν ΖΞ, ΝΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. καὶ ἐπεὶ τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον ἐστὶ, καὶ ἔστιν ἴσον τῷ ΛΖ· καὶ τὸ ΛΖ ἄρα μέσον ἐστὶ, καὶ παρὰ ῥητὴν τὴν ΖΕ παράκειται πλάτος ποιὸν τὴν ΖΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΖΜ, καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ τὸ μὴ συγκεῖσθαι ἐκ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ ῥητόν ἐστι, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον, ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. ἴσον δέ ἐστι τὸ ΓΛ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον ἐστὶ τὸ ΖΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΛ τῷ ΖΛ. ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ οὕτως ἡ ΓΜ πρὸς τὴν ΖΜ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῇ ΖΜ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓΜ, ΜΖ ῥητὰ εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΓΖ. λέγω δὴ ὅτι καὶ τετάρτη. ἐπεὶ γὰρ αἱ ΑΗ, ΗΒ δυνάμει εἰσὶν ἀσύμμετροι· ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΑΗ τῷ ἀπὸ τῆς ΗΒ. καὶ ἐστι τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον τὸ ΓΘ, τῷ δὲ ἀπὸ τῆς ΗΒ ἴσον τὸ ΚΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΘ τῷ ΚΛ. ὡς δὲ τὸ ΓΘ πρὸς τὸ ΚΛ οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΚΜ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΚ τῇ ΚΜ μήκει. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ μέσον ἀνάλογόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ, καὶ ἔστιν ἴσον τῷ μὲν ἀπὸ τῆς ΑΗ τὸ ΓΘ, τῷ δὲ ἀπὸ τῆς ΗΒ τὸ ΚΛ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ τὸ ΝΛ· τῶν ἄρα ΓΘ, ΚΛ μέσον ἀνάλογόν ἐστι τὸ ΝΛ· ἔστιν ἄρα ὡς τὸ ΓΘ πρὸς τὸ ΝΛ οὕτως τὸ ΝΛ πρὸς τὸ ΚΛ. ἀλλ' ὡς μὲν τὸ ΓΘ πρὸς τὸ ΝΛ οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΜΝ. ὡς δὲ ἡ ΝΛ πρὸς τὴν ΚΛ οὕτως ἐστὶν ἡ ΜΝ πρὸς τὴν ΚΜ· ὡς ἄρα ἡ ΓΚ πρὸς τὴν ΜΝ οὕτως ἐστὶν ἡ ΜΝ πρὸς τὴν ΚΜ· τὸ ἄρα ὑπὸ τῶν ΓΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ, τουτέστι τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΜΖ. ἐπεὶ οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓΜ, ΜΖ, καὶ τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΜΖ ἴσον παρὰ τὴν ΓΜ παραβέβληται ἐλλεῖπον εἴδει τετραγώνῳ, τὸ ὑπὸ τῶν ΓΚ, ΚΜ, καὶ εἰς ἀσυμμέτρα αὐτὴν διαιρεῖ· ἡ ἄρα ΓΜ τοῦ ΜΖ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ ἔστιν ὅλη ἡ ΓΜ σύμμετρος μήκει τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΓΔ· ἡ ἄρα ΓΖ ἀποτομή ἐστι τετάρτη.



est latitudinem faciens ΓM: quare [per 21.10.] ΓM est rationalis & ipsi ΓΔ longitudine commensurabilis. & quoniam totum ΓΛ est æquale quadratis ex AH, HB, ex quibus ΓE æquale est quadrato ex AB; erit [per 7. 2.] reliquum ZΛ æquale ei quod bis sub AH, HB continetur. itaque secetur ZM bifariam in puncto N, & per N alterutri ipsarum ΓΔ, MΛ parallela ducatur NΞ: utrumque igitur parallelogrammorum ZΞ, NΛ est æquale ei quod continetur sub AH, HB. & quoniam quod bis continetur sub AH, HB medium est & æquale parallelogrammo ΛZ; erit & ΛZ medium, & ad rationalem ZE applicatum est latitudinem faciens ZM: ergo [per 23. 10.] ZM est rationalis, & ipsi ΓΔ longitudine incommensurabilis. & quoniam compositum ex quadratis ipsarum AH, HB est rationale, quod autem bis sub AH, HB continetur medium; erunt quadrata ex AH, HB ei quod bis continetur sub AH, HB incommensurabilia. quadratis autem ex AH, HB æquale est parallelogrammum ΓΛ, & ei quod bis sub AH, HB continetur est æquale ZΛ: incommensurabile igitur est ΓΛ ipsi ΛZ. sed [per 1. 6.] ut ΓΛ ad ZΛ ita est ΓM ad ZM: quare [per 10. 10.] ΓM ipsi ZM longitudine est incommensurabilis. & sunt ambæ rationales: ergo ΓM, MZ rationales sunt potentia solum commensurabiles: & igitur [per 74. 10.] ΓZ est apotome. dico & quartam esse. quoniam enim AH, HB potentia sunt incommensurabiles; erit quadratum ex AH incommensurabile quadrato ex HB. & quadrato quidem ex AH [per constr.] æquale est parallelogrammum ΓΘ; quadrato autem ex HB est æquale KΛ: incommensurabile igitur est ΓΘ ipsi KΛ. sed ut ΓΘ ad KΛ ita est ΓK ad KM: ergo ΓK ipsi KM est incommensurabilis longitudine. & quoniam inter quadrata ex AH, HB [per lem. 55. 10.] medium proportionale est rectangulum sub AH, HB, atque est quadrato quidem ex AH æquale parallelogrammum ΓΘ, quadrato autem ex HB æquale KΛ, & rectangulo sub AH, HB æquale NΛ; erit NΛ medium proportionale inter parallelogramma ΓΘ, KΛ: est igitur ut ΓΘ ad NΛ ita NΛ ad KΛ. sed ut ΓΘ ad NΛ ita ΓK ad MN. & ut NΛ ad KΛ ita MN ad KM: ergo ut ΓK ad MN ita MN ad KM; ac propterea [per 17. 6.] rectangulum sub ΓK, KM est æquale quadrato ex MN, hoc est quartæ parti quadrati ex MZ. itaque quoniam duæ rectæ lineæ inæquales sunt ΓM, MZ, & quartæ parti quadrati ex MZ æquale ad ΓM applicatum est deficiens figura quadrata, sc. contentum sub ΓK, KM, & in partes incommensurabiles ipsam dividit: recta linea ΓM [per 19. 10.] plus poterit quam MZ quadrato rectæ lineæ sibi incommensurabilis longitudine. & est tota ΓM longitudine commensurabilis expositæ rationali ΓΔ: ergo [per 4. deff. tert. 10.] ΓZ est apotome quarta.

Quadratum igitur minoris ad rationalem applicatum latitudinem facit apotomen quartam. quod erat demonſtrandum.

Τὸ ἄρα ὑπὸ ἐλάσσονος τῶν δυνάμει ῥητὸν παραβαλλόμενον παρὰ ῥητὴν τὸ μῆκος ποιεῖ ἀποτομὴν τετάρτην. ὅπερ ἔδει δεῖξαι.

Prop. CII. Theor.

Quadratum ejus quæ cum rationali medium totum efficit ad rationalem applicatum latitudinem facit apotomen quintam.

ΠΡΟΤΑΣΙΣ ρϐ'.

Τὸ ἀπὸ τῆς μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσης τὸν δυνάμει ῥητὸν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πέμπτην.

SIT quæ cum rationali medium totum efficit AB, rationalis autem Γ Δ, & quadrato ex AB æquale ad Γ Δ applicetur parallelogrammum Γ E latitudinem faciens Γ Z: dico Γ Z apotomen eſſe quintam.

Sit enim ipſi AB congruens B H: ergo [per 78. 10.] AH, HB rectæ lineæ potentia ſunt incommenſurabiles, quæ faciunt compoſitum quidem ex ipſarum quadratis medium, quod autem bis ſub ipſis continetur rationale. & [per 45. 1.] quadrato ex AH æquale parallelogrammum Γ Θ ad ipſam Γ Δ applicetur, latitudinem faciens Γ K; quadrato autem ex HB æquale applicetur K Λ latitudinem faciens K M: totum igitur Γ Λ eſt æquale quadratis ex AH, HB. ſed compoſitum ex quadratis ipſarum AH, HB eſt medium: ergo & medium eſt parallelogrammum Γ Λ. & ad rationalem Γ Δ applicatum eſt, latitudinem faciens Γ M: quare [per 23. 10.] Γ M eſt rationalis, & ipſi Γ Δ longitudine incommenſurabilis. & quoniam totum Γ Λ eſt æquale quadratis ex AH, HB, ex quibus Γ E æquale eſt quadrato ex AB; erit [per 7. 2.] reliquum Z Λ æquale ei quod bis ſub AH, HB continetur. Itaque ſecetur Z M bifariam in puncto N, & ab ipſo N alterutri ipſarum Γ Δ, M Λ parallela ducatur N Ξ· utrumque igitur Z Ξ, N Λ eſt æquale ei quod ſub AH, HB continetur. & quoniam quod bis continetur ſub AH, HB rationale eſt, & æquale parallelogrammo Z Λ; erit & Z Λ rationale. & ad rationalem E Z applicatum eſt, latitudinem faciens Z M: ergo [per 21. 10.] Z M eſt rationalis, & ipſi Γ Δ commenſurabilis longitudine. & quoniam parallelogrammum Γ Λ eſt medium, & Z Λ rationale: incommenſurabile eſt Γ Λ ipſi Z Λ. & [per 1. 6.] ut Γ Λ ad Z Λ ita Γ M ad M Z: ergo [per 10. 10.] Γ M ipſi M Z longitudine eſt incommenſurabilis. & ſunt ambæ rationales; quare Γ M, M Z rationales ſunt potentia ſolum commenſurabiles; ideoque [per 74. 10.] Γ Z eſt apotome. dico & quintam eſſe. ſimiliter enim [ut in præc.] demonſtrabimus rectangulum ſub Γ K, K M eſſe æquale quadrato ex N M, hoc eſt, quartæ parti quadrati ex Z M. quod cum quadratum ex AH incommenſurabile ſit quadrato ex HB; ſitque quadratum ex Λ H parallelogrammo Γ Θ æquale, quadratum autem ex HB parallelogrammo K Λ: erit Γ Θ ipſi K Λ incommenſura-



Ἔστω ἡ μετὰ ῥητῆς μέσον τὸ ὅλον ποιοῦσα ἡ AB, ῥητὴ δὲ ἡ Γ Δ, καὶ τῷ ἀπὸ τῆς AB ἴσον παρὰ τὴν Γ Δ παραβεβλήσθω τὸ Γ E πλάτος ποιὸν τὴν Γ Z· λέγω ὅτι ἡ Γ Z ἀποτομή ἐστι πέμπτη.

Ἐπεὶ γὰρ τῇ AB συναρμόζουσα ἡ BH· αἱ ἄρα AH, HB εὐθεῖαί δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν ῥητόν. καὶ τῷ μὲν ἀπὸ τῆς AH ἴσον παρὰ τὴν Γ Δ παραβεβλήσθω τὸ Γ Θ· τῷ δὲ ἀπὸ τῆς HB ἴσον τὸ K Λ· ὅλον ἄρα τὸ Γ Λ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν AH, HB. τὸ δὲ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AH, HB ἅμα μέσον ἐστὶ· μέσον ἄρα ἐστὶ τὸ Γ Λ. καὶ παρὰ ῥητὴν τὴν Γ Δ παράκειται πλάτος ποιὸν τὴν Γ M· ῥητὴ ἄρα ἐστὶν ἡ Γ M, καὶ ἀσύμμετρος τῇ Γ Δ. καὶ ἐπεὶ ὅλον τὸ Γ Λ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν AH, HB, ὧν τὸ Γ E ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AB· λοιπὸν ἄρα τὸ Z Λ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν AH, HB. τετμήσθω δὴ ἡ Z M δίχα κατὰ τὸ N, καὶ ἤχθω ἀπὸ τοῦ N ὁποτέρᾳ τῶν Γ Δ, M Λ παράλληλος ἡ N Ξ· ἑκάτερον ἄρα τῶν Z Ξ, N Λ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν AH, HB. καὶ ἐπεὶ τὸ δὶς ὑπὸ τῶν AH, HB ῥητόν ἐστι, καί ἐστιν ἴσον τῷ Z Λ· ῥητὸν ἄρα ἐστὶ τὸ Z Λ. καὶ παρὰ ῥητὴν τὴν E Z παράκειται πλάτος ποιὸν τὴν Z M· ῥητὴ ἄρα ἐστὶν ἡ Z M, καὶ σύμμετρος τῇ Γ Δ μήκει. καὶ ἐπεὶ τὸ μὲν Γ Λ μέσον ἐστί, τὸ δὲ Z Λ ῥητόν· ἀσύμμετρον ἄρα ἐστὶ τὸ Γ Λ τῷ Z Λ. ὡς δὲ τὸ Γ Λ πρὸς τὸ Z Λ οὕτως ἐστὶν ἡ Γ M πρὸς τὴν M Z· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Γ M τῇ M Z μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα Γ M, M Z ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ Γ Z. λέγω δὴ ὅτι καὶ πέμπτη. ὁμοίως γὰρ δείξομεν ὅτι τὸ ὑπὸ τῶν Γ K, K M ἴσον ἐστὶ τῷ ἀπὸ τῆς N M, τουτέστι τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς Z M. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ ἀπὸ τῆς AH τῷ ἀπὸ τῆς HB, ἴσον δὲ τὸ μὲν ἀπὸ τῆς AH τῷ Γ Θ, τὸ δὲ ἀπὸ τῆς HB τῷ K Λ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ Γ Θ τῷ

K Λ,

ΚΛ. ὡς δὲ τὸ ΓΘ πρὸς τὸ ΚΛ οὕτως ἡ ΓΚ πρὸς τὴν ΚΜ· ἀσύμμετρος ἄρα ἡ ΓΚ τῇ ΚΜ μήκει. ἐπεὶ οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓΜ, ΜΖ, καὶ τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ ἴσον παρὰ τὴν ΓΜ παραβέβληται ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ εἰς ἀσύμμετρα διαιρεῖ αὐτήν· ἡ ἄρα ΓΜ τῆς ΜΖ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ ἔστιν ἡ προσαρμόζουσα ἡ ΖΜ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΓΔ· ἡ ἄρα ΓΖ ἀποτομή ἐστι πέμπτη.

Τὸ ἄρα ἀπὸ τῆς μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πέμπτην. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ργ'.

Τὸ ἀπὸ τῆς μετὰ μέσου μέσον τὸ ὅλον ποιούσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν ἕκτην.

Ἔστω ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα ἡ ΑΒ, ῥητὴ δὲ ἡ ΓΔ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΓΖ· λέγω ὅτι ἡ ΓΖ ἀποτομή ἐστιν ἕκτη.



Ἐστω γὰρ τῇ ΑΒ προσαρμόζουσα ἡ ΒΗ· αἱ ἄρα ΑΗ, ΗΒ δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ, τε συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον, ἔτι δὲ ἀσύμμετρα τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. παραβεβλήσθω γὰρ παρὰ τὴν ΓΔ τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον τὸ ΓΘ πλάτος ποιοῦν τὴν ΓΚ, τῷ δὲ ἀπὸ τῆς ΒΗ τὸ ΚΛ· ὅλον ἄρα τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ· μέσον ἄρα ἐστὶ καὶ τὸ ΓΛ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παράκειται πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΓΜ, καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. ἐπεὶ γὰρ τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ, ὧν τὸ ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· λοιπὸν ἄρα τὸ ΖΛ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. καὶ ἔστι τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον· καὶ τὸ ΖΛ ἄρα μέσον ἐστί. καὶ παρὰ ῥητὴν τὴν ΖΕ παράκειται πλάτος ποιοῦν τὴν ΖΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΖΜ, καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ ἀσύμμετρά ἐστι τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ, καὶ ἔστι τοῖς μὲν ἀπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΓΛ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΖΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΛ τῷ ΖΛ. ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ οὕτως ἐστὶν ἡ ΓΜ πρὸς τὴν ΜΖ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῇ ΜΖ μήκει. αἱ ΓΜ, ΜΖ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΓΖ ἄρα ἀποτομή ἐστι. λέγω δὴ ὅτι καὶ ἕκτη.

PROP. CIII. THEOR.

Quadratum ejus quæ cum medio medium totum efficit ad rationalem applicatum latitudinem facit apotomen sextam.

SIT quæ cum medio medium totum efficit AB, rationalis autem ΓΔ; & quadrato ex AB æquale parallelogrammum ΓΕ ad ipsam ΓΔ applicetur latitudinem faciens ΓΖ: dico ΓΖ esse apotomen sextam.

Sit enim ipsi AB congruens BH: ergo [per 79. 10.] AH, HB potentia sunt incommensurabiles, facientes compositum quidem ex ipsarum quadratis medium; quod autem bis sub ipsis AH, HB continetur medium, & adhuc quadrata ipsarum AH, HB incommensurabilia rectangulo quod bis continetur sub ipsis AH, HB. itaque ad ΓΔ applicetur quadrato ex AH æquale parallelogrammum ΓΘ latitudinem faciens ΓΚ; quadrato autem ex BH æquale applicetur ΚΛ; totum igitur ΓΛ est æquale quadratis ex AH, HB: ac propterea ΓΛ est medium. & ad rationalem ΓΔ applicatum est latitudinem faciens ΓΜ: ergo [per 23. 10.] ΓΜ rationalis est & ipsi ΓΔ longitudine incommensurabilis. quoniam igitur ΓΛ est æquale quadratis ex AH, HB, ex quibus ΓΕ æquale est quadrato ex AB; erit [per 7. 2.] reliquum ΖΛ æquale ei quod bis sub AH, HB continetur. atque est quod bis continetur sub AH, HB medium: ergo & ΖΛ est medium. & ad rationalem ΖΕ applicatum est latitudinem faciens ΖΜ; est igitur ΖΜ rationalis, & ipsi ΓΔ longitudine incommensurabilis. & quoniam quadrata ex AH, HB incommensurabilia sunt ei quod bis sub AH, HB continetur; atque est quadratis quidem ex AH, HB æquale parallelogrammum ΓΛ, ei vero quod bis continetur sub AH, HB æquale ΖΛ; erit ΓΛ ipsi ΖΛ incommensurabile. sed [per 1. 6.] ut ΓΛ ad ΖΛ ita est ΓΜ ad ΜΖ: quare [per 10. 10.]

Γ M ipſi M Z incommenſurabilis eſt longitudine. & ſunt ambæ rationales: ergo Γ M, M Z rationales ſunt potentia ſolum commenſurabiles; & ob id [per 74. 10.] Γ Z eſt apotome. dico & ſextam eſſe. quoniam enim Z Λ eſt æquale ei quod bis continetur ſub A H, H B, ſecetur Z M bifariam in puncto N; & per N ipſi Γ Δ parallela ducatur N Ξ: utrumque igitur parallelogrammorum ZΞ, NΛ eſt æquale rectangulo ſub A H, H B. & quoniam A H, H B potentia ſunt incommenſurabiles; erit quadratum ex A H incommenſurabile quadrato ex H B. ſed [per conſtr.] quadrato quidem ex A H eſt æquale parallelogrammum Γ Θ, quadrato autem ex H B æquale K Λ: ergo Γ Θ ipſi K Λ eſt incommenſurabile. ut autem Γ Θ ad K Λ ita [per 1. 6.] eſt Γ K ad K M: incommenſurabilis igitur eſt Γ K ipſi K M. & quoniam [per lem. 55. 10.] inter quadrata ex A H, H B medium proportionale eſt rectangulum ſub A H, H B, eſtque quadrato ex A H æquale Γ Θ, & quadrato ex H B æquale K Λ, rectangulo quoque ſub A H, H B æquale N Λ; erit & inter parallelogramma Γ Θ, K Λ medium proportionale N Λ. & eadem ratione [atque in præced.] Γ M plus poterit quam M Z quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis. & neutra ipſarum eſt commenſurabilis longitudine expoſitæ rationali Γ Δ: ergo [per 6. deff. tert. 10.] Γ Z eſt ſexta apotome.



Quadratum igitur ejus quæ cum medio medium totum efficit ad rationalem applicatum latitudinem facit apotomen ſextam. quod erat demonſtrandum.

μετρῷ· ἄρα ἐστὶν ἡ Γ M τῇ M Z μήκει. καί εἰσιν αἱ Γ M, M Z ἄρα ῥηταὶ εἰσὶ δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ Γ Z. λέγω δὴ ὅτι καὶ ἕκτη. ἐπεὶ γὰρ τὸ Z Λ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν A H, H B, τετμήσθω δίχα ἡ Z M κατὰ τὸ N, καὶ ἤχθω διὰ τοῦ N τῇ Γ Δ παράλληλος ἡ N Ξ· ἑκάτερον ἄρα τῶν Z Ξ, N Λ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν A H, H B. καὶ ἐπεὶ αἱ A H, H B δυνάμει εἰσὶν ἀσύμμετροι, ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς A H τῷ ἀπὸ τῆς H B. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς A H ἴσον ἐστὶ τὸ Γ Θ, τῷ δὲ ἀπὸ τῆς H B ἴσον ἐστὶ τὸ K Δ· ἀσύμμετρον ἄρα τὸ Γ Θ τῷ K Λ. ὡς δὲ τὸ Γ Θ πρὸς τὸ K Λ οὕτως ἡ Γ K πρὸς τὴν K M· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Γ K τῇ K M. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν A H, H B μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν A H, H B, καὶ ἔστι τῷ μὲν ἀπὸ τῆς A H ἴσον τὸ Γ Θ, τῷ δὲ ἀπὸ τῆς H B ἴσον τὸ K Λ, τῷ δὲ ὑπὸ τῶν A H, H B ἴσον τὸ N Λ· καὶ τῶν ἄρα Γ Θ, K Λ μέσον ἀνάλογόν ἐστι τὸ N Λ. καὶ διὰ τὰ αὐτὰ ἡ Γ M τῆς M Z μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ οὐδετέρα αὐτῶν σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ Γ Δ· ἡ Γ Z ἄρα ἀποτομή ἐστιν ἕκτη.

Τὸ ἄρα ἀπὸ τῆς μετὰ μέσου μέσον τὸ ὅλον παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν ἕκτην. ὅπερ ἔδει δεῖξαι.

Prop. CIV. Theor.

Recta linea apotomæ longitudine commenſurabilis & ipſa apotome eſt atque ordine eadem.

SIT apotome A B, & ipſi A B longitudine commenſurabilis ſit Γ Δ: dico Γ Δ apotomen eſſe atque ordine eandem quæ A B.

Quoniam enim A B eſt apotome, ſit ipſi congruens B E; ergo [per 74. 10.] A E, E B rationales ſunt potentia ſolum commenſurabiles. & fiat ratio B E ad Δ Z eadem quæ eſt A B ad Γ Δ: quare [per 12. 5.] ut una ad unam ita erunt omnes ad omnes: eſt igitur ut tota A E ad totam Γ Z ita A B ad Γ Δ. commenſurabilis autem eſt A B ipſi Γ Δ longitudine: ergo [per 10. 10.] & A E ipſi Γ Z longitudine commenſurabilis erit, & B E ipſi Δ Z. ſunt autem A E, E B rationales potentia ſolum commenſurabiles: ergo [per 10. 10.] & Γ Z, Z Δ rationales erunt potentia ſolum commenſurabiles; ac propterea [per 74. 10.] Γ Δ eſt apo-



ΠΡΟΤΑΣΙΣ ρδ'.

Η τῇ ἀποτομῇ μήκει σύμμετρος ἀποτομή ἐστι καὶ τῇ τάξει ἡ αὐτή.

Ἔστω ἀποτομὴ ἡ A B, καὶ τῇ A B σύμμετρος ἔστω μήκει ἡ Γ Δ· λέγω ὅτι καὶ ἡ Γ Δ ἀποτομή ἐστι καὶ τῇ τάξει ἡ αὐτὴ τῇ A B.

Ἐπεὶ γὰρ ἀποτομή ἐστιν ἡ A B, ἔστω αὐτῇ προσαρμόζουσα ἡ B E. αἱ A E, E B ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ τῷ τῆς A B πρὸς τὴν Γ Δ λόγῳ ὁ αὐτὸς γεγονέτω ὁ τῆς B E πρὸς τὴν Δ Z· καὶ ὡς ἓν ἄρα ἐστὶ πρὸς ἕν, πάντα ἐστὶ πρὸς πάντα· ἔστιν ἄρα καὶ ὡς ὅλη ἡ A E πρὸς ὅλην τὴν Γ Z οὕτως ἡ A B πρὸς τὴν Γ Δ. σύμμετρος δὲ ἡ A B τῇ Γ Δ μήκει· σύμμετρος ἄρα καὶ ἡ μὲν A E τῇ Γ Z, ἡ δὲ B E τῇ Δ Z. αἱ δὲ A E, E B ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· καὶ αἱ Γ Z, Z Δ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ Γ Δ.

ἡ ΓΔ. λέγω δὴ ὅτι καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΓΖ ἕτως ἡ ΒΕ πρὸς τὴν ΖΔ· ἐναλλὰξ ἄρα ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ ἕτως ἡ ΓΖ πρὸς τὴν ΖΔ. ἤτοι δὲ ἡ ΑΕ τοῦ ΕΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. εἰ μὲν οὖν ἡ ΑΕ τοῦ ΕΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΓΖ τοῦ ΖΔ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΑΕ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΓΖ. εἰ δὲ ἡ ΕΒ, καὶ ἡ ΔΖ. εἰ δὲ ἑκατέρα τῶν ΑΕ, ΕΒ, καὶ ἑκατέρα τῶν ΓΖ, ΖΔ. εἰ δὲ ἡ ΑΕ τοῦ ΕΒ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἡ ΓΖ τοῦ ΖΔ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΑΕ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΓΖ. εἰ δὲ ἡ ΒΕ, καὶ ἡ ΖΔ. εἰ δὲ ἑκατέρα τῶν ΑΕ, ΕΒ, ἑκατέρα τῶν ΓΖ, ΖΔ· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΓΔ καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ρε'.

Ἡ τῇ μέσης ἀποτομῇ σύμμετρος μέσης ἀποτομή ἐστι καὶ τῇ τάξει ἡ αὐτή.

Ἔστω μέσης ἀποτομὴ ἡ ΑΒ, καὶ τῇ ΑΒ μήκει σύμμετρος ἔστω ἡ ΓΔ· λέγω ὅτι καὶ ἡ ΓΔ μέσης ἀποτομή ἐστι καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ.



Ἐπεὶ γὰρ μέσης ἀποτομή ἐστιν ἡ ΑΒ, ἔστω αὐτῇ συγκειμένη ἡ ΒΕ· αἱ ΑΕ, ΕΒ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι, καὶ γεγονέτω ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ ἕτως ἡ ΒΕ πρὸς τὴν ΔΖ, αἱ δὲ ΑΕ, ΕΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι· μέσης ἄρα ἀποτομή ἐστιν ἡ ΓΔ. δεικτέον δὴ ὅτι καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ ἕτως ἡ ΓΖ πρὸς τὴν ΖΔ, ἀλλ' ὡς μὲν ἡ ΑΕ πρὸς τὴν ΕΒ ἕτως τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ, ὡς δὲ ἡ ΓΖ πρὸς τὴν ΖΔ ἕτως τὸ ἀπὸ τῆς ΓΖ πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ· ἔστιν ἄρα καὶ ὡς τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ ἕτως τὸ ἀπὸ τῆς ΓΖ πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ· ἐναλλὰξ ἄρα ὡς τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ἀπὸ τῆς ΓΖ ἕτως τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ. σύμμετρον δὲ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ τῆς ΓΖ· σύμμετρον ἄρα καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ τῷ ὑπὸ τῶν ΓΖ, ΖΔ. ἔστι δὲ ῥητὸν ἐστὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ, ῥητὸν ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ· ἔστι μέσον ἐστὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ, μέσον ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ· μέσης ἄρα ἀποτομή ἐστιν ἡ ΓΔ καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ. ὅπερ ἔδει δεῖξαι.

tome: dico & ordine eandem esse quæ AB. quoniam enim est ut AE ad ΓZ ita BE ad ZΔ, erit permutando [per 16. 5.] ut AE ad EB ita ΓZ ad ZΔ. vel igitur AE plus potest quam EB quadrato rectæ lineæ sibi longitudine commensurabilis, vel incommensurabilis. si quidem AE plus potest quam EB quadrato lineæ sibi longitudine commensurabilis, & ΓZ plus poterit quam ZΔ quadrato rectæ lineæ sibi longitudine commensurabilis. & si quidem AE commensurabilis est longitudine expositæ rationali, & ΓZ etiam erit. si vero EB est commensurabilis, & ΔZ commensurabilis erit. & si neutra ipsarum AE, EB commensurabilis est longitudine expositæ rationali, & neutra ipsarum ΓZ, ZΔ eidem longitudine erit commensurabilis. quod si AE plus possit quam EB quadrato rectæ lineæ sibi incommensurabilis longitudine, & ΓZ plus poterit quam ZΔ quadrato rectæ lineæ sibi longitudine incommensurabilis. & si quidem AE sit commensurabilis expositæ rationali longitudine, & ΓZ eidem longitudine commensurabilis erit. si vero BE, & ZΔ. & si neutra ipsarum AB, EB, & neutra ipsarum ΓZ, ZΔ erit expositæ rationali longitudine commensurabilis: ergo [per deff. tert.] ΓΔ apoome est & ordine eadem quæ AB. quod erat demonstr.

PROP. CV. THEOR.

Recta linea mediæ apotomæ commensurabilis & ipsa mediæ apotome est atque ordine eadem.

SIT mediæ apotome AB, & ipsi AB longitudine commensurabilis sit ΓΔ: dico ΓΔ mediæ apotomen esse & ordine eandem quæ AB.

Quoniam enim mediæ apotome est AB, sit BE ipsi AB congruens: ergo [per 75 & 76. 10.] AE, EB mediæ sunt potentia solum commensurabiles. & fiat ut AB ad ΓΔ ita BE ad ΔZ, sunt autem AE, EB mediæ potentia solum commensurabiles: [*ergo & ΓZ, ZΔ mediæ potentia solum commensurabiles erunt;] ac propterea mediæ apotome est ΓΔ. ostendendum est & ordine eandem esse quæ AB. quoniam enim ut AE ad EB ita ΓZ ad ZΔ; ut autem AE ad EB ita [per 1. 6.] quadratum ex AE ad rectangulum sub AE, EB; & ut ΓZ ad ZΔ ita quadratum ex ΓZ ad rectangulum sub ΓZ, ZΔ: erit & ut quadratum ex AE ad rectangulum sub AE, EB ita quadratum ex ΓZ ad rectangulum sub ΓZ, ZΔ. permutando igitur est ut quadratum ex AE ad quadratum ex ΓZ ita rectangulum sub AE, EB ad rectangulum sub ΓZ, ZΔ. sed quadratum ex AB commensurabile est quadrato ex ΓZ: rectangulum igitur sub AE, EB rectangulo sub ΓZ, ZΔ est commensurabile. & si quidem rationale est rectangulum sub AE, EB, & rectangulum sub ΓZ, ZΔ rationale erit: si vero rectangulum sub AE, EB medium est, & medium erit rectangulum sub ΓZ, ZΔ: mediæ igitur apotome est ΓΔ atque ordine eadem quæ AB. quod erat demonstr.

*Illa uncis inclusa non exstant in exemplaribus Græcis.

PROP. CVI. THEOR.

Recta linea minori commenſurabilis & ipſa minor eſt.

SIT minor AB, & ipſi AB commenſurabilis ſit ΓΔ: dico & ΓΔ minorem eſſe.

H primi inter ſe ſunt. dico primum H non eſſe unitatem. ſi enim fieri poteſt, ſit H unitas. & quoniam eſt ut A ad B ita EZ ad H, erit & ut quadratum ex A ad quadratum ex B ita quadratus ex EZ ad eum qui fit ex H quadratum. duplum autem eſt quadratum ex A quadrati ex B: ergo & quadratus ex EZ quadrati ex H eſt duplus. atque eſt H unitas: binarius igitur eſt quadratus ex EZ, quod fieri non poteſt: ergo H non eſt unitas; igitur eſt numerus. & quoniam eſt ut quadratum ex A ad quadratum ex B ita quadratus ex EZ ad quadratum ex H, & invertendo ut quadratum ex B ad quadratum ex A ita quadratus ex H ad quadratum ex EZ. ſed quadratum ex B metitur quadratum ex A: ergo & qui fit ex H quadratus metitur eum qui fit ex EZ; & propterea [per 14.8.] latus H ipſum EZ latus metitur. metitur autem & ſeipſum: ergo H numeros EZ, H metitur, primos inter ſe exiſtentes, quod fieri non poteſt: non igitur A ipſi B longitudine eſt commenſurabilis: ergo eſt incommenſurabilis. quod erat demonſtrandum.



τοι πρὸς ἀλλήλους εἰσί. λέγω πρῶτον ὅτι ὁ H οὐκ ἔστι μονάς. εἰ γὰρ δυνατόν, ἔστω μονάς. καὶ ἐπεί ἐστιν ὡς ἡ A πρὸς τὸν B οὕτως ὁ EZ πρὸς τὸν H· καὶ ὡς ἄρα τὸ ἀπὸ τοῦ A πρὸς τὸ ἀπὸ τοῦ B οὕτως ὁ ἀπὸ τοῦ EZ πρὸς τὸν ἀπὸ τοῦ H. διπλάσιον δὲ τὸ ἀπὸ τῆς A τοῦ ἀπὸ τοῦ B· διπλάσιος ἄρα καὶ ὁ ἀπὸ τοῦ EZ τοῦ ἀπὸ τοῦ H. καὶ ἔστι μονὰς ὁ H· δυὰς ἄρα ὁ ἀπὸ τοῦ EZ τετράγωνος, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα μονάς ἐστιν ὁ H· ἀριθμὸς ἄρα. καὶ ἐπεί ἐστιν ὡς τὸ ἀπὸ τῆς A πρὸς τὸ ἀπὸ τῆς B οὕτως ὁ ἀπὸ τοῦ EZ πρὸς τὸ ἀπὸ τοῦ H, καὶ ἀνάπαλιν ὡς τὸ ἀπὸ τῆς B πρὸς τὸ ἀπὸ τοῦ A οὕτως ὁ ἀπὸ τοῦ H πρὸς τὸν ἀπὸ τοῦ EZ. μετρεῖ δὲ τὸ ἀπὸ τῆς B τὸ ἀπὸ τοῦ A· μετρεῖ ἄρα καὶ ὁ ἀπὸ τοῦ H τετράγωνος τὸ ἀπὸ τοῦ EZ· ὥστε καὶ ἡ πλευρὰ αὐτοῦ ὁ H τὸν EZ μετρεῖ. μετρεῖ δὲ καὶ ἑαυτὸν ὁ H· ὁ H ἄρα τοὺς EZ, H μετρεῖ, πρώτους ὄντας ἀλλήλους, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα σύμμετρός ἐστιν ἡ A τῇ B μήκει· ἀσύμμετρος ἄρα. ὅπερ ἔδει δεῖξαι.

SCHOLIUM.

* Itaque inventis longitudine incommenſurabilibus rectis lineis, ut A, B, invenientur & aliæ quamplurimæ magnitudines ex duabus dimenſionibus, nimirum ſuperficies incommenſurabiles inter ſeſe. ſi enim [per 13.6.] inter ipſas A, B mediam proportionalem ſumamus rectam lineam Γ, erit [per 20.6.] ut A ad B ita figura quæ fit ex A ad eam quæ ex Γ ſimilem & ſimiliter deſcriptam, ſive quadrata, ſive alia rectilinea ſimilia, ſive circuli qui circa diametros A Γ deſcribantur; quandoquidem circuli [per 2.12.] inter ſe ſunt ut diametrorum quadrata: inventa ſunt igitur ſpatia plana inter ſe incommenſurabilia. quod erat demonſtrandum.



Oſtenſis autem figuris diverſis incommenſurabilibus duarum dimenſionum, oſtendemus ex ſolidorum contemplatione dari etiam ſolida commenſurabilia & incommenſurabilia inter ſeſe. nam ſi ſuper quadrata ex A, B, vel rectilinea quæ ipſis æqualia ſint, ſolida æque alta conſtituamus, ſive pyramides ſive priſmata, erunt [per 32.11. & 5. vel 6.12.] ea inter ſe uti baſes. & ſi quidem baſes commenſurabiles ſint, [per 10.10.] erunt ſolida commenſurabilia: ſi vero incommenſurabiles, & ipſa incommenſurabilia erunt. quod erat demonſtrandum.

Sed & duobus circulis exiſtentibus A, B, ſi ſuper ipſos conos æque altos ſive cylindros conſtituamus, erunt hi [per 11.12.] inter ſe uti ipſorum baſes, hoc eſt ut A, B circuli. & ſi quidem circuli commenſurabiles ſint, [per 10.10.] commenſurabiles erunt & coni inter ſeſe & cylindri: ſi vero incommenſurabiles, & coni & cylindri incommenſurabiles erunt. ex quibus perſpicuum eſt non ſolum in lineis & ſuperficiebus eſſe commenſurabilitatem & incommenſurabilitatem, ſed & in ſolidis figuris.

ΣΧΟΛΙΟΝ.

* Εὑρημένων δὴ τῶν μήκει ἀσυμμέτρων εὐθειῶν, οἷς τῶν A, B, εὑρίσκεται καὶ ἄλλα πλείονα μεγέθη οὐκ δύο διαστάσεων, λέγω δὴ ἐπίπεδα ἀσύμμετρα ἀλλήλοις. ἐὰν γὰρ τῶν A, B μέσον ἀνάλογον λάβωμεν τὴν Γ, ἔσται ὡς ἡ A πρὸς τὴν B οὕτως τὸ ἀπὸ τῆς A εἶδος πρὸς τὸ ἀπὸ τῆς Γ, τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον, εἴτε τετράγωνα εἴη τὰ ἀναγεγραμμένα, εἴτε ἕτερα εὐθύγραμμα ὅμοια, εἴτε κύκλοι ὡσὶ διάμετροι τοῖς A, Γ, ἐπείπερ οἱ κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα· εὕρηνται ἄρα ἐπίπεδα χωρία ἀσύμμετρα ἀλλήλοις. ὅπερ ἔδει δεῖξαι.

Δεδειγμένων δὴ καὶ τῶν ἐκ δύο διαστάσεων διαφόρων χωρίων ἀσυμμέτρων, δείξομεν ἀπὸ τῶν στερεῶν θεωρίας, ὡς ἔστι καὶ στερεὰ σύμμετρά τε καὶ ἀσύμμετρα ἀλλήλοις. ἐὰν γὰρ ἐπὶ τῶν ἀπὸ τῶν A, B τετραγώνων, ἢ τῶν ἴσων αὐτοῖς εὐθυγράμμων, ἀναστήσωμεν ἰσοϋψῆ στερεά, τουτέστι παραλληλεπίπεδα, ἢ πυραμίδας, ἢ πρίσματα, ἔσται τὰ ἀναστα θέντα πρὸς ἄλληλα ὡς αἱ βάσεις. καὶ εἰ μὲν σύμμετροί εἰσιν αἱ βάσεις, σύμμετρα ἔσται τὰ στερεά· εἰ δὲ ἀσύμμετροι, ἀσύμμετρα. ὅπερ ἔδει δεῖξαι.

Ἀλλὰ μὴν καὶ δύο κύκλων ὄντων τῶν A, B, ἐὰν ἀπ' αὐτῶν ἰσοϋψεῖς κῶνοι, ἢ κυλίνδροι ἀναγράψωμεν, ἔσονται πρὸς ἀλλήλους ὡς αἱ βάσεις, τουτέστιν ὡς οἱ A, B κύκλοι. καὶ εἰ μὲν σύμμετροί εἰσιν οἱ κύκλοι, σύμμετροι ἔσονται καὶ οἱ κῶνοι καὶ οἱ κύλινδροι· εἰ δὲ ἀσύμμετροί εἰσιν οἱ κύκλοι, ἀσύμμετροι ἔσονται καὶ οἱ κῶνοι καὶ οἱ κύλινδροι. καὶ φανερὸν ἡμῖν γέγονεν ὅτι ἐπὶ μόνον τοῦ μήκους ἐστὶ συμμετρία καὶ ἀσυμμετρία, ἀλλὰ καὶ ἐπὶ τῶν στερεῶν σχημάτων.

* Sequentia videntur non eſſe Euclidis. Saltem loco non ſuo poſita ſunt; quippe ex ſequentibus pendentia.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ,
Καὶ Στερεῶν πρῶτον.

EUCLIDIS
ELEMENTORUM
LIBER UNDECIMUS,
Et Solidorum primus.

ΟΡΟΙ.

α'. ΣΤΕΡΕΟΝ ἐστι, τὸ μῆκος καὶ πλάτος καὶ βάθος ἔχον.

β'. Στερεοῦ δὲ πέρας, ἐπιφάνεια.

γ'. Εὐθεῖα πρὸς ἐπίπεδον ὀρθή ἐστιν, ὅταν πρὸς πάσας τὰς ἁπομένας αὐτῆς εὐθείας, καὶ οὔσας ἐν τῷ αὐτῷ ὑποκειμένῳ ἐπιπέδῳ, ὀρθὰς ποιῇ γωνίας.

δ'. Επίπεδον πρὸς ἐπίπεδον ὀρθόν ἐστιν, ὅταν αἱ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων πρὸς ὀρθὰς ἀγόμεναι εὐθεῖαι ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ λοιπῷ ἐπιπέδῳ πρὸς ὀρθάς εἰσιν.

ε'. Εὐθείας πρὸς ἐπίπεδον κλίσις ἐστίν, ὅταν ἀπὸ τοῦ μετεώρου πέρατος τῆς εὐθείας ἐπὶ τὸ ἐπίπεδον κάθετος ἀχθῇ, καὶ ἀπὸ τοῦ γενομένου σημείου καὶ ἀπὸ τοῦ ἐν τῷ ἐπιπέδῳ πέρατος τῆς εὐθείας εὐθεῖα ἐπιζευχθῇ, ἡ περιεχομένη ὀξεῖα γωνία ὑπὸ τῆς ἀχθείσης καὶ τῆς ἐφεστώσης.

ς'. Επιπέδων πρὸς ἐπίπεδον κλίσις ἐστίν, ἡ περιεχομένη ὀξεῖα γωνία ὑπὸ τῶν πρὸς ὀρθὰς τῇ κοινῇ τομῇ ἀγομένων πρὸς τῷ αὐτῷ σημείῳ ἐν ἑκατέρῳ τῶν ἐπιπέδων.

ζ'. Επίπεδον πρὸς ἐπίπεδον ὁμοίως κε-

DEFINITIONES.

1. SOLIDUM est, quod longitudinem & latitudinem & crassitudinem habet.

2. Solidi autem terminus est superficies.

3. Recta linea ad planum recta est, quando ad rectas omnes lineas, quæ ipsam contingunt & in subjecto plano jacent, rectos angulos efficiat.

4. Planum ad planum rectum est, quando rectæ lineæ, quæ communi planorum sectioni ad rectos angulos & in uno plano ducuntur, alteri plano ad angulos rectos fuerint.

5. Rectæ lineæ ad planum inclinatio est, quando à sublimi termino rectæ illius lineæ ad planum acta perpendiculari, à puncto facto ad terminum lineæ, qui est in plano, recta linea juncta fuerit, angulus nempe acutus qui juncta linea & insistente continetur.

6. Plani ad planum inclinatio est angulus acutus rectis lineis contentus, quæ ad rectos angulos communi planorum sectioni ad unum ipsius punctum in utroque planorum ducuntur.

7. Planum ad planum similiter incli-

nari dicitur, atque alterum ad alterum, quando dicti inclinationum anguli inter ſe fuerint æquales.

8. Plana parallela ſunt, quæ inter ſe non conveniunt.

9. Similes figuræ ſolidæ ſunt, quæ ſimilibus planis ac multitudine æqualibus continentur.

10. Æquales vero & ſimiles figuræ ſolidæ ſunt, quæ ſimilibus planis multitudine ſimul & magnitudine æqualibus continentur.

11. Solidus angulus eſt plurium, quam duarum linearum, quæ ſeſe contingant & non in eadem ſint ſuperficie, ad omnes lineas inclinatio. ALITER. Solidus angulus eſt, qui pluribus quam duobus planis angulis in eodem non jacentibus plano atque ad unum punctum conſtitutis comprehenditur.

12. Pyramis eſt figura ſolida planis comprehenſa, quæ ab uno plano ad unum punctum conſtituitur.

13. Priſma eſt figura ſolida planis comprehenſa, quorum adverſa duo æqualia & ſimilia parallela ſunt; reliqua vero parallelogramma.

14. Sphæra eſt figura quidem comprehenſa, cum circa manentem diametrum ſemicirculus convertitur, donec in eundem locum, à quo moveri cœperat, rurſus reſtituatur.

15. Axis vero ſphæræ eſt manens illa recta linea, circa quam ſemicirculus convertitur.

16. Centrum autem ſphæræ eſt idem illud quod & ſemicirculi.

17. Diameter vero ſphæræ eſt recta linea quædam per centrum ducta, & ex utraque parte à ſphæræ ſuperficie terminata.

18. Conus eſt figura quidem comprehenſa, cum rectanguli trianguli manente uno latere eorum, quæ circa rectum angulum ſunt, triangulum ipſum convertitur, donec in eundem locum, à quo moveri cœperat, rurſus reſtituatur. Verum ſi manens recta linea æqualis fuerit reliquo lateri, quod circa rectum angulum convertitur, conus orthogonius erit: ſi vero minor, amblygonius: & ſi major, oxygonius.

19. Axis autem coni eſt manens illa recta linea circa quam triangulum convertitur.

κλίσθαι λέγεται, ἡ ἕτερον πρὸς ἕτερον, ὅταν αἱ εἰρημέναι τῶν κλίσεων γωνίαι ἴσαι ἀλλήλαις ὦσι.

ν'. Παράλληλα ἐπίπεδά ἐστι τὰ ἀσύμπτωτα.

ξ'. Ὅμοια στερεὰ σχήματά ἐστι τὰ ὑπὸ ὁμοίων ἐπιπέδων περιεχόμενα ἴσων τὸ πλῆθος.

ο'. Ἴσα δὲ καὶ ὅμοια στερεὰ σχήματά ἐστι τὰ πρὸς ὁμοίων ἐπιπέδων περιεχόμενα ἴσων τῷ πλήθει καὶ τῷ μεγέθει.

οα'. Στερεὰ γωνία ἐστὶν ἡ ὑπὸ πλειόνων ἢ δύο γραμμῶν ἀπομένων ἀλλήλων καὶ μὴ ἐν τῇ αὐτῇ ἐπιφανείᾳ οὐσῶν πρὸς πάσας τὰς γραμμὰς κλίσις. ΑΛΛΩΣ. Στερεὰ γωνία ἐστὶν ἡ ὑπὸ πλειόνων ἢ δύο ἐπιπέδων γωνιῶν περιεχομένη, μὴ οὐσῶν ἐν τῷ αὐτῷ ἐπιπέδῳ, πρὸς ἑνὶ σημείῳ συνισταμένων.

οβ'. Πυραμίς ἐστι σχῆμα στερεὸν ἐπιπέδοις περιεχόμενον, ἀπὸ ἑνὸς ἐπιπέδου πρὸς ἑνὶ σημείῳ συνεστώς.

ογ'. Πρίσμα ἐστὶ σχῆμα στερεὸν ἐπιπέδοις περιεχόμενον, ὧν δύο τὰ ἀπεναντίον ἴσα τε καὶ ὅμοιά ἐστι καὶ παράλληλα, τὰ δὲ λοιπὰ παραλληλόγραμμα.

οδ'. Σφαῖρά ἐστιν, ὅταν ἡμικυκλίου μενούσης τῆς διαμέτρου, περιενεχθὲν τὸ ἡμικύκλιον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν σχῆμα.

οε'. Ἄξων δὲ τῆς σφαίρας ἐστὶν ἡ μένουσα εὐθεῖα περὶ ἣν τὸ ἡμικύκλιον στρέφεται.

οϛ'. Κέντρον δὲ τῆς σφαίρας ἐστὶ τὸ αὐτὸ ὃ καὶ τοῦ ἡμικυκλίου.

οζ'. Διάμετρος δὲ τῆς σφαίρας ἐστὶν εὐθεία τις διὰ τοῦ κέντρου ἠγμένη, καὶ περατουμένη ἑφ' ἑκάτερα τὰ μέρη ὑπὸ τῆς ἐπιφανείας τῆς σφαίρας.

οη'. Κῶνός ἐστιν, ὅταν ὀρθογωνίου τριγώνου μενούσης μιᾶς πλευρᾶς τῶν περὶ τὴν ὀρθὴν γωνίαν, περιενεχθὲν τὸ τρίγωνον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν σχῆμα. καὶ ἂν μὲν ἡ μένουσα εὐθεῖα ἴση ᾖ τῇ λοιπῇ τῇ περὶ τὴν ὀρθὴν περιφερομένῃ, ὀρθογώνιος ἔσται κῶνος· ἐὰν δὲ ἐλάσσων, ἀμβλυγώνιος· ἐὰν δὲ μείζων, ὀξυγώνιος.

οθ'. Ἄξων δὲ κώνου ἐστὶν ἡ μένουσα περὶ ἣν τὸ τρίγωνον στρέφεται.

ν'. Βάσις

κ'. Βάσις δὲ, ὁ κύκλος ὁ ὑπὸ τῆ περιφερομένης εὐθείας γραφόμενος.

κα'. Κύλινδρος δὲ, ὅταν ὀρθογωνίου παραλληλογράμμου μενούσης μιᾶς πλευρᾶς τῶν περὶ τὴν ὀρθὴν, περιενεχθὲν τὸ παραλληλόγραμμον εἰς τὸ αὐτὸ πάλιν ἀποκαταστᾶθῆ, ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν σχῆμα.

κβ. Ἄξων δὲ τοῦ κυλίνδρου ἐστὶν ἡ μένουσα εὐθεῖα περὶ ἣν τὸ παραλληλόγραμμον στρέφεται.

κγ'. Βάσεις δὲ, οἱ κύκλοι οἱ ὑπὸ τῶν ἀπεναντίον περιαγομένων δύο πλευρῶν γραφόμενοι.

κδ'. Ὅμοιοι κῶνοι καὶ κύλινδροί εἰσιν, ὧν οἵ τε ἄξονες καὶ αἱ διάμετροι τῶν βάσεων ἀνάλογόν εἰσιν.

κε'. Κύβος ἐστὶ σχῆμα στερεὸν ὑπὸ ἓξ τετραγώνων ἴσων περιεχόμενον.

κϛ'. Τετράεδρόν ἐστι σχῆμα στερεὸν ὑπὸ τεσσάρων τριγώνων ἴσων καὶ ἰσοπλεύρων περιεχόμενον.

κζ'. Ὀκτάεδρόν ἐστι σχῆμα στερεὸν ὑπὸ ὀκτὼ τριγώνων ἴσων καὶ ἰσοπλεύρων περιεχόμενον.

κη'. Δωδεκάεδρόν ἐστι σχῆμα στερεὸν ὑπὸ δώδεκα πενταγώνων ἴσων καὶ ἰσοπλεύρων καὶ ἰσογωνίων περιεχόμενον.

κθ'. Εἰκοσάεδρόν ἐστι σχῆμα στερεὸν ὑπὸ εἴκοσι τριγώνων ἴσων καὶ ἰσοπλεύρων περιεχόμενον.

20. Basis vero, circulus à conversa recta linea descriptus.

21. Cylindrus est figura comprehensa, quando rectanguli parallelogrammi manente uno latere eorum quæ circa rectum angulum sunt, parallelogrammum ipsum convertitur, donec in eundem locum, à quo moveri cœperat, rursus restituatur.

22. Axis vero cylindri est manens illa recta linea, circa quam parallelogrammum convertitur.

23. Bases autem sunt circuli, qui à duobus ex adverso circumactis lateribus describuntur.

24. Similes coni & cylindri sunt, quorum & axes & basium diametri proportionales sunt.

25. Cubus est figura solida sex quadratis æqualibus contenta.

26. Tetraëdrum est figura solida quatuor triangulis æqualibus & æquilateris comprehensa.

27. Octaëdrum est figura solida octo triangulis æqualibus & æquilateris comprehensa.

28. Dodecaëdrum est figura solida quæ duodecim pentagonis æqualibus & æquilateris & æquiangulis continetur.

29. Icosaëdrum est figura solida quæ viginti triangulis æqualibus & æquilateris comprehenditur.

ΠΡΟΤΑΣΙΣ α'.

Εὐθείας γραμμῆς μέρος μέν τι ἐστὶν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μέρος δέ τι ἐν τῷ μετεώρῳ.

Εἰ γὰρ δυνατὸν, εὐθείας γραμμῆς τῆς ΑΒΓ μέρος μόν τι τὸ ΑΒ ἔστω ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μέρος δέ τι τὸ ΒΓ ἐν μετεώρῳ.

Ἔσται δή τις τῇ ΑΒ συνεχὴς εὐθεῖα ἐπ' εὐθείας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ. ἔστω ἡ ΒΔ.* δύο δὴ δοθεισῶν εὐθειῶν τῶν ΑΒΓ, ΑΒΔ κοινὸν τμῆμά ἐστιν ἡ ΑΒ, ὅπερ ἀδύνατον· εὐθεῖα γὰρ εὐθείᾳ οὐ συμβάλλει κατὰ πλείονα σημεῖα ἢ καθ' ἕν· αἱ δὲ μὴ, ἐφαρμόσουσιν ἀλλήλαις αἱ εὐθεῖαι.



Εὐθείας ἄρα γραμμῆς μέρος μόν τι οὐκ ἔστιν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μέρος δέ τι ἐν τῷ μετεώρῳ. ὅπερ ἔδει δεῖξαι.

Prop. I. Theor.

Rectæ lineæ pars quædam non est in subjecto plano, quædam vero in sublimi.

Si enim fieri potest, rectæ lineæ ΑΒΓ pars quidem ΑΒ sit in subjecto plano, pars vero ΒΓ in sublimi.

Erit igitur recta linea quædam ipsi ΑΒ in directum continuata in subjecto plano. sit ΒΔ. duabus igitur datis rectis lineis ΑΒΓ, ΑΒΔ commune segmentum est ΑΒ, quod fieri non potest: recta enim linea cum recta linea non convenit in pluribus punctis, quam uno; alias rectæ lineæ sibi ipsis congruent.

Non igitur rectæ lineæ pars quædam est in subjecto plano, quædam vero in sublimi. quod erat demonstrandum.

* Hic in ora *Codd. MSS.* adscribitur πᾶσαν γὰρ δυνατὸν εὐθεῖαν ἐπ' εὐθείας ἐκβαλεῖν.

PROP. II. THEOR.

Si duæ rectæ lineæ se invicem secent, in uno sunt plano, item omne triangulum in uno plano consistit.

DUÆ enim rectæ lineæ AB, ΓΔ se invicem in puncto E secent: dico ipsas AB, ΓΔ in uno esse plano, nec non omne triangulum in uno plano consistere.



Sumantur enim in ipsis EB, EΓ quævis puncta Z, H; jungunturque ΓB, ZH, atque ducantur ZΘ, HK: dico primum EBΓ triangulum consistere in uno plano. si enim trianguli EBΓ pars quidem ZΘΓ, vel HBK in subjecto plano est, reliqua vero in alio plano; erit & unius linearum EΓ, EB pars in subjecto plano, & pars in alio. quod si trianguli EΓB pars ZΓBH sit in subjecto plano, reliqua vero in alio, utrarumque rectarum linearum EΓ EB quædam pars erit in subjecto plano, quædam vero in alio. quod absurdum esse ostendimus: triangulum igitur EBΓ in uno est plano. in quo autem plano est BΓE triangulum in hoc est utraque ipsarum EΓ, EB: in quo autem utraque ipsarum EΓ, EB, in hoc [per 1.11.] sunt & AB, ΓΔ: ergo rectæ lineæ AB, ΓΔ in uno sunt plano, & omne triangulum in uno plano consistit. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ β.

Ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, ἐν ἑνί εἰσιν ἐπιπέδῳ, καὶ πᾶν τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ.

Δύο γὰρ εὐθεῖαι αἱ AB, ΓΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ E σημεῖον· λέγω ὅτι αἱ AB, ΓΔ ἐν ἑνί εἰσιν ἐπιπέδῳ, καὶ πᾶν τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ.

Εἰλήφθω γὰρ ἐπὶ τῶν EB, EΓ τυχόντα σημεῖα, τὰ Z, H, καὶ ἐπεζεύχθωσαν αἱ ΓB, ZH, καὶ διήχθωσαν αἱ ZΘ, HK· λέγω πρῶτον ὅτι τὸ EBΓ τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. εἰ γὰρ ἔστι τοῦ EBΓ τριγώνου μέρος ἡ τὸ ZΘΓ, ἢ τὸ HBK ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τὸ δὲ λοιπὸν ἐν ἄλλῳ, ἔσται τι μιᾶς τῶν EΓ, EB εὐθειῶν μέρος μέν τι ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τὸ δὲ ἐν ἄλλῳ. εἰ δὲ τὸ EΓB τρίγωνον τὸ ZΓBH μέρος ἐστὶ τοῦ ὑποκειμένου ἐπιπέδου, τὸ δὲ λοιπὸν ἐν ἄλλῳ, ἔσται τι ἀμφοτέρων τῶν EΓ, EB εὐθειῶν μέρος μέν τι ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τὸ δὲ ἐν ἄλλῳ, ὅπερ ἄτοπον ἐδείχθη· τὸ ἄρα EBΓ τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. ἐν ᾧ δὲ ἐστι τὸ BΓE τρίγωνον ἐν τούτῳ ἕκατέρα τῶν EΓ, EB, ἐν ᾧ δὲ ἑκατέρα τῶν EΓ, EB ἐν τούτῳ καὶ αἱ AB, ΓΔ· αἱ AB, ΓΔ ἄρα εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ, καὶ πᾶν τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. ὅπερ ἔδει δεῖξαι.

PROP. III. THEOR.

Si duo plana se invicem secent, communis ipsorum sectio est linea recta.

DUO enim plana AB, BΓ se invicem secent, communis autem ipsorum sectio sit ΔB linea: dico lineam ΔB rectam esse.



Si enim non ita sit, ducatur à puncto Δ ad B in plano quidem AB recta linea ΔEB; in plano autem BΓ recta linea ΔZB: erunt ergo duarum rectarum linearum ΔEB, ΔZB iidem termini, & ipsæ spatium continebunt, quod [per 12.ax.] est absurdum; non igitur ΔEB, ΔZB rectæ lineæ sunt. similiter ostendemus neque aliam quampiam, quæ à puncto Δ ad B ducitur rectam esse, præter ipsam ΔB, communem scilicet planorum AB, BΓ sectionem.

Si igitur duo plana se invicem secent, communis ipsorum sectio recta linea erit. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν δύο ἐπίπεδα τέμνῃ ἄλληλα, ἡ κοινὴ αὐτῶν τομὴ εὐθεῖά ἐστι.

Δύο γὰρ ἐπίπεδα τὰ AB, BΓ τεμνέτωσαν ἀλλήλα, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΔB γραμμή· λέγω ὅτι ἡ ΔB γραμμὴ εὐθεῖά ἐστιν.

Εἰ γὰρ μή, ἐπεζεύχθω ἀπὸ τοῦ Δ ἐπὶ τὸ B, ἐν μὲν τῷ AB ἐπιπέδῳ εὐθεῖα ἡ ΔEB, ἐν δὲ τῷ BΓ ἐπιπέδῳ εὐθεῖα ἡ ΔZB· ἔσται δὴ δύο εὐθειῶν τῶν ΔEB, ΔZB τὰ αὐτὰ πέρατα, καὶ περιέξουσι δηλαδὴ χωρίον, ὅπερ ἄτοπον· οὐκ ἄρα αἱ ΔEB, ΔZB εὐθεῖαί εἰσιν. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις, πλὴν τῆς Δ ἐπὶ τὸ B ἐπιζευγνυμένης, εὐθεῖα ἔσται· μία ἄρα τῆς ΔB κοινῆς τομῆς τῶν AB, BΓ ἐπιπέδων.

Ἐὰν ἄρα δύο ἐπίπεδα τέμνῃ ἄλληλα, ἡ κοινὴ αὐτῶν τομὴ εὐθεῖά ἐστιν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ δ'.

Ἐὰν εὐθεῖα δύο εὐθείαις τεμνούσας ἀλλήλας ταῖς ὀρθὰς ἐπὶ τῆς κοινῆς τομῆς ἐπιζευχθῇ, καὶ τῷ διʼ αὐτῶν ἐπιπέδῳ ταῖς ὀρθὰς ἔσται.

Εὐθεῖα γάρ τις ἡ ΕΖ δύο εὐθείας τὰς ΑΒ, ΓΔ τεμνέτω ἀλλήλας κατὰ τὸ Ε σημεῖον ὥστε τὰς ὑπὸ ΑΕΖ, ΖΕΒ, ΖΕΓ, ΖΕΔ γωνίας ἴσας ἀλλήλαις εἶναι· λέγω ὅτι ἡ ΕΖ καὶ τῷ διὰ τῶν ΑΒ, ΓΔ ἐπιπέδῳ ταῖς ὀρθὰς ἐστί.

Ἀπειλήφθωσαν γὰρ αἱ ΑΕ, ΕΒ, ΓΕ, ΕΔ ἴσαι ἀλλήλαις, καὶ διήχθω τις διὰ τοῦ Ε, ὡς ἔτυχεν, ἡ ΗΕΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΓΒ, καὶ ἔτι ἀπὸ τυχόντος τοῦ Ζ ἐπεζεύχθωσαν αἱ ΖΑ, ΖΗ, ΖΔ, ΖΓ, ΖΘ, ΖΒ. καὶ ἐπεὶ δύο αἱ ΑΕ, ΕΔ δυσὶ ταῖς ΓΕ, ΕΒ ἴσαι εἰσὶ, καὶ γωνίας ἴσους περιέχουσι, βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΓΒ ἴση ἐστὶ, καὶ τὸ ΑΕΔ τρίγωνον τῷ ΓΕΒ ἴσον ἔσται, ὥστε καὶ γωνία ἡ ὑπὸ ΔΑΕ γωνίᾳ τῇ ὑπὸ ΕΒΓ ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΕΗ γωνία τῇ ὑπὸ ΒΕΘ ἴση· δύο δὴ τρίγωνά ἐστι τὰ ΑΗΕ, ΒΕΘ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν πρὸς ταῖς ἴσαις γωνίαις τὴν ΑΕ τῇ ΕΒ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξουσιν· ἴση ἄρα ἡ μὲν ΗΕ τῇ ΕΘ, ἡ δὲ ΑΗ τῇ ΒΘ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΒ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΖΕ, βάσις ἄρα ἡ ΖΑ βάσει τῇ ΖΒ ἴση ἐστί· διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΖΓ τῇ ΖΔ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΓΒ, ἔστι δὲ καὶ ἡ ΖΑ τῇ ΖΒ ἴση· δύο δὴ αἱ ΖΑ, ΑΔ δυσὶ ταῖς ΖΒ, ΒΓ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ. καὶ βάσις ἡ ΖΔ βάσει τῇ ΖΓ ἐδείχθη ἴση· καὶ γωνία ἄρα ἡ ὑπὸ ΖΑΔ γωνίᾳ τῇ ὑπὸ ΖΒΓ ἴση ἐστίν. καὶ πάλιν ἐδείχθη ἡ ΑΗ τῇ ΒΘ ἴση, ἀλλὰ μὴν καὶ ἡ ΖΑ τῇ ΖΒ ἴση· δύο δὴ αἱ ΖΑ, ΑΗ δυσὶ ταῖς ΖΒ, ΒΘ ἴσαι εἰσί. καὶ γωνία ἡ ὑπὸ ΖΑΗ ἐδείχθη ἴση τῇ ὑπὸ ΖΒΘ· βάσις ἄρα ἡ ΖΗ βάσει τῇ ΖΘ ἐστὶν ἴση. ἐπεὶ πάλιν ἐδείχθη ἴση ἡ ΗΕ τῇ ΕΘ, κοινὴ δὲ ἡ ΕΖ, δύο δὴ αἱ ΗΕ, ΕΖ δυσὶ ταῖς ΘΕ, ΕΖ ἴσαι εἰσί. καὶ βάσις ἡ ΖΘ βάσει τῇ ΖΗ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΗΕΖ γωνίᾳ τῇ ὑπὸ ΘΕΖ ἴση ἐστίν· ὀρθὴ ἄρα ἑκατέρα τῶν ὑπὸ ΗΕΖ, ΘΕΖ γωνιῶν· ἡ ΖΕ ἄρα πρὸς τὴν ΗΘ τυχόντως διὰ τοῦ Ε ἀχθεῖσαν ὀρθή ἐστιν. ὁμοίως δὴ δείξομεν ὅτι ἡ ΖΕ καὶ πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ διὰ τῶν ΑΒ, ΓΔ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. εὐθεῖα δὲ πρὸς ἐπίπεδον ὀρθή ἐστιν, ὅταν πρὸς πάσας τὰς ἁπτομένας



PROP. IV. THEOR.

Si recta linea duabus rectis lineis ſe invicem ſecantibus in communi ſectione ad rectos angulos inſiſtat, etiam ducto per ipſas plano ad rectos angulos erit.

REcta enim linea quædam EZ duabus rectis lineis AB, ΓΔ ſe invicem ſecantibus in E puncto ab ipſo E ad rectos angulos inſiſtat: dico EZ etiam plano per AB, ΓΔ ducto ad rectos angulos eſſe.

Sumantur enim rectæ lineæ AE, EB, ΓE, EΔ inter ſe æquales: perque E ducatur recta linea HEΘ utcunque, & jungantur AΔ, ΓB; deinde à quovis puncto Z ducantur ZA, ZH, ZΔ, ZΓ, ZΘ, ZB. & quoniam duæ rectæ lineæ AE, EΔ duabus rectis lineis ΓE, EB æquales ſunt, & [per 15. 1.] angulos æquales continent, erit [per 4. 1.] AΔ baſis baſi ΓB æqualis, & triangulum AEΔ triangulo ΓEB æquale, & etiam angulus ΔAE æqualis eſt angulo EBΓ. eſt autem [per 15. 1.] & angulus AEH æqualis angulo BEΘ: duo igitur triangula ſunt AHE, BEΘ duos angulos duobus angulis æquales habentia, alterum alteri, & unum latus AE uni lateri EB æquale, quod æqualibus adjacet angulis: quare [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt: ergo HE quidem eſt æqualis EΘ; AH vero ipſi BΘ. & quoniam AE eſt æqualis EB, communis autem & ad rectos angulos ZE; erit [per 4. 1.] baſis ZA baſi ZB æqualis: eadem quoque ratione & ZΓ æqualis erit ipſi ZΔ. præterea quoniam AΔ eſt æqualis ΓB, & ZA ipſi ZB; erunt duæ ZA, AΔ duabus ZB, BΓ æquales, altera alteri. & oſtenſa eſt baſis ZΔ æqualis baſi ZΓ: angulus igitur ZAΔ angulo ZBΓ [per 8. 1.] eſt æqualis. rurſus oſtenſa eſt AH æqualis BΘ; ſed & ZA ipſi ZB eſt æqualis: duæ igitur ZA, AH duabus ZB, BΘ æquales ſunt. & angulus ZAH oſtenſus eſt æqualis angulo ZBΘ: baſis igitur ZH baſi ZΘ [per 4. 1.] eſt æqualis. & quoniam rurſus HE oſtenſa eſt æqualis EΘ, communis autem EZ; erunt duæ HE, EZ æquales duabus ΘE, EZ. & baſis ZΘ eſt æqualis baſi ZH; angulus igitur HEZ angulo ΘEZ [per 8. 1.] eſt æqualis; & idcirco rectus eſt uterque angulorum HEZ, ΘEZ: ergo ZE ad HΘ utcunque per E ductam rectos efficit angulos. ſimiliter oſtendemus ZE etiam ad omnes rectas lineas, quæ ipſam contingunt, & in ſubjecto ſunt plano, rectos angulos efficere. recta autem ad planum recta eſt [per 3. def. 11.] quando ad omnes rectas lineas ipſam contin-

contingentes & in eodem exiſtentes plano rectos efficit angulos: quare E Z ſubjecto plano ad rectos angulos inſiſtit. at ſubjectum planum eſt quod per rectas lineas A B, Γ Δ ducitur: ergo E Z ad rectos angulos erit ducto per A B, Γ Δ plano.

Si igitur recta linea duabus rectis lineis ſe invicem ſecantibus in communi ſectione ad rectos angulos inſiſtat, etiam ducto per ipſas plano ad rectos angulos erit. quod erat demonſtrandum.

Prop. V. Theor.

Si recta linea tribus rectis lineis ſeſe tangentibus in communi ſectione ad rectos angulos inſiſtat, tres illæ rectæ lineæ in uno plano erunt.

Recta enim linea quædam A B tribus rectis lineis B Γ, B Δ, B E in contactu B ad rectos angulos inſiſtat: dico B Γ, B Δ, B E in uno plano eſſe.



Non enim, ſed ſi fieri poteſt, ſint B Δ, B E quidem in ſubjecto plano, B Γ vero in ſublimi, & planum per A B, B Γ producatur: communem igitur ſectionem in ſubjecto plano faciet [per 3. 11.] rectam lineam. faciat B Z. in uno igitur ſunt plano per A B, B Γ ducto tres rectæ lineæ A B, B Γ, B Z. & quoniam A B utrique ipſarum B Δ, B E ad rectos angulos inſiſtit, & ducto per ipſas Δ B, B E plano [per 4. 11.] ad rectos angulos erit. planum autem per Δ B, B E eſt ſubjectum planum: ergo A B ad ſubjectum planum recta eſt: quare [per 3. deff. 11.] & ad omnes rectas lineas ipſam contingentes, quæ in eodem plano ſunt, rectos faciet angulos. ſed ipſam tangit B Z in ſubjecto exiſtens plano: ergo angulus A B Z rectus eſt. ponitur autem & angulus A B Γ rectus: æqualis igitur eſt angulus A B Z angulo A B Γ. & in eodem ſunt plano: quod [per 9. ax.] fieri non poteſt: recta igitur linea B Γ non eſt in plano ſublimi: quare tres rectæ lineæ B Γ, B Δ, B E ſunt in uno plano.

Si igitur recta linea tribus rectis lineis ſeſe tangentibus in communi ſectione ad rectos angulos inſiſtat, tres illæ rectæ in uno plano erunt. quod erat demonſtrandum.

Prop. VI. Theor.

Si duæ rectæ lineæ eidem plano ad rectos angulos fuerint, parallelæ erunt ipſæ rectæ lineæ.

Duæ enim rectæ lineæ A B, Γ Δ ſubjecto plano ſint ad rectos angulos: dico A B ipſi Γ Δ parallelam eſſe.

νας αὐτῆς εὐθείας κ᾽ ὔσας ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὀρθὰς ποιεῖ γωνίας· ἡ Ε Ζ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι. τὸ δὲ ὑποκείμενον ἐπίπεδόν ἐστι τὸ διὰ τῶν Α Β, Γ Δ εὐθειῶν· ἡ Ε Ζ ἄρα πρὸς ὀρθάς ἐστι τῷ διὰ τῶν Α Β, Γ Δ ἐπιπέδῳ.

Ἐὰν ἄρα εὐθεῖα δύο εὐθείας τεμνούσας ἀλλήλας πρὸς ὀρθὰς ἀπὶ τὴν κοινὴν τομὴν ἐπιζευθῇ, κ᾽ τῷ δι᾽ αὐτῶν ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ε΄.

Ἐὰν εὐθεῖα τρισὶν εὐθείαις ἀπομμένοις ἀλλήλων πρὸς ὀρθὰς ἀπὶ τὴν κοινὴν τομὴν ἀπιζευθῇ, αἱ τρεῖς εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ.

Ἐυθεῖα γάρ τις ἡ Α Β τρισὶν εὐθείαις ταῖς Β Γ, Β Δ, Β Ε πρὸς ὀρθὰς ἐπὶ τῇ κατὰ τὸ Β ἁφῆς ἐφθέτω· λέγω ὅτι αἱ Β Γ, Β Δ, Β Ε ἐν ἑνί εἰσιν ἐπιπέδῳ.

Μὴ γάρ, ἀλλ᾽ εἰ δυνατόν, ἔστωσαν αἱ μὲν Β Δ, Β Ε ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, ἡ δὲ Β Γ ὑμετεώρῳ, κ᾽ ἐκβεβλήσθω τὸ διὰ τῶν Α Β, Β Γ ἐπίπεδον· κοινὴν τομὴν δὴ ποιήσει ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ εὐθεῖαν. ποιείτω τὴν Β Ζ. ἐν ἑνὶ ἄρα εἰσὶν ἐπιπέδῳ τῷ δηγμένῳ διὰ τῶν Α Β, Β Γ αἱ τρεῖς εὐθεῖαι αἱ Α Β, Β Γ, Β Ζ. κ᾽ ἐπεὶ ἡ Α Β ὀρθή ἐστι πρὸς ἑκάτερον τῶν Β Δ, Θ Ε· κ᾽ τῷ διὰ τῶν Δ Β, Β Ε ἄρα ἐπιπέδῳ ὀρθή ἐστιν ἡ Α Β. τὸ δὲ διὰ τῶν Δ Β, Β Ε ἐπίπεδον τὸ ὑποκείμενόν ἐστιν· ἡ Α Β ἄρα ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον· ὥστε κ᾽ πρὸς πάσας τὰς ἁπομμένας αὐτῇ εὐθείας κ᾽ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας ἡ Α Β. ἅπτεται δὲ ἡ Β Ζ αὐτῆς οὔσα ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ· ἡ ἄρα ὑπὸ Α Β Ζ γωνία ὀρθή ἐστιν. ὑπόκειται δὲ κ᾽ ἡ ὑπὸ Α Β Γ ὀρθή· ἴση ἄρα ἡ ὑπὸ Α Β Ζ γωνία τῇ ὑπὸ Α Β Γ. καί εἰσιν ἐν ἑνὶ ἐπιπέδῳ, ὅπερ ἀδύνατον· οὐκ ἄρα ἡ Β Γ εὐθεῖα ἐν μετεώρῳ ἐστὶν ἐπιπέδῳ· αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ Β Γ, Β Δ, Β Ε ἐν ἑνί εἰσιν ἐπιπέδῳ.

Ἐὰν ἄρα εὐθεῖα τρισὶν εὐθείαις ἀπομέναις ἀλλήλων πρὸς ὀρθὰς ἐπὶ τῇ κοινῇ τομῇ ἐπιζευθῇ, αἱ τρεῖς εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ϛ΄.

Ἐὰν δύο εὐθεῖαι τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσι, παράλληλοι ἔσονται αἱ εὐθεῖαι.

Δύο γὰρ εὐθεῖαι αἱ Α Β, Γ Δ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔστωσαν· λέγω ὅτι παράλληλός ἐστιν ἡ Α Β τῇ Γ Δ.

Συμβαλλέ-

Συμβαλλέτωσαν γὰρ τῷ ὑποκειμένῳ ἐπιπέδῳ κατὰ τὰ Β, Δ σημεῖα, καὶ ἐπεζεύχθω ἡ ΒΔ εὐθεῖα, καὶ ἤχθω τῇ ΒΔ πρὸς ὀρθὰς ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ἡ ΔΕ, καὶ κείσθω τῇ ΑΒ ἴση ἡ ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΕ, ΑΕ, ΑΔ.

Occurrant enim ſubjecto plano in punctis Β, Δ, jungaturque ΒΔ recta linea, cui ad rectos angulos in ſubjecto plano ducatur ΔΕ; & poſita ΔΕ ipſi ΑΒ æquali jungantur ΒΕ, ΑΕ, ΑΔ.

Καὶ ἐπεὶ ἡ ΑΒ ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας, καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθάς, ποιήσει γωνίας. ἅπτεται δὲ τῆς ΑΒ ἑκατέρα τῶν ΒΔ, ΒΕ, οὖσαι ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ· ὀρθὴ ἄρα ἑκατέρα τῶν ὑπὸ ΑΒΔ, ΑΒΕ γωνιῶν. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΓΔΒ, ΓΔΕ ὀρθή ἐστι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΔΕ, κοινὴ δὲ ἡ ΒΔ, δύο δὴ αἱ ΑΒ, ΒΔ δυσὶ ταῖς ΕΔ, ΔΒ ἴσαι εἰσί, καὶ γωνίας ὀρθὰς περιέχουσι· βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΒΕ ἐστὶν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΔΕ, ἀλλὰ καὶ ἡ ΑΔ τῇ ΒΕ, δύο δὴ αἱ ΑΒ, ΒΕ δυσὶ ταῖς ΕΔ, ΔΒ ἴσαι εἰσὶ, καὶ βάσις αὐτῶν κοινὴ ἡ ΑΕ· γωνία ἄρα ἡ ὑπὸ ΑΒΕ γωνίᾳ τῇ ὑπὸ ΕΔΑ ἴση ἐστίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΑΒΕ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΕΔΑ· ἡ ΕΔ ἄρα πρὸς τὴν ΔΑ ὀρθή ἐστιν. ἔστι δὲ καὶ πρὸς ἑκατέραν τῶν ΒΔ, ΔΓ ὀρθή· ἡ ΕΔ ἄρα τρισὶν εὐθείαις ταῖς ΒΔ, ΔΑ, ΔΓ πρὸς ὀρθὰς ἐπὶ τῆς ἁφῆς ἐφέστηκεν· αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ ΒΔ, ΔΑ, ΔΓ ἐν ἑνί εἰσιν ἐπιπέδῳ. ἐν ᾧ δὲ αἱ ΔΒ, ΔΑ, ἐν τούτῳ καὶ ἡ ΑΒ, πᾶν γὰρ τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ· αἱ ἄρα ΑΒ, ΒΔ, ΔΓ ἐν ἑνί εἰσιν ἐπιπέδῳ. καὶ ἔστιν ὀρθὴ ἑκατέρα τῶν ὑπὸ ΑΒΔ, ΒΔΓ γωνιῶν· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.

Quoniam igitur ΑΒ recta eſt ad ſubjectum planum; & ad omnes rectas lineas quæ ipſam contingunt & in ſubjecto ſunt plano [per 3. def. 11.] rectos angulos efficiet. contingit autem ipſam ΑΒ utraque ipſarum ΒΔ, ΒΕ exiſtens in ſubjecto plano: ergo uterque angulorum ΑΒΔ, ΑΒΕ rectus eſt. eadem ratione rectus etiam eſt uterque ipſorum ΓΔΒ, ΓΔΕ. quoniam autem ΑΒ æqualis eſt ipſi ΔΕ, communis autem ΒΔ, duæ quidem ΑΒ, ΒΔ duabus ΕΔ, ΔΒ ſunt æquales, & rectos angulos continent: baſis igitur ΑΔ [per 4. 1.] baſi ΒΕ eſt æqualis. & quoniam ΑΒ eſt æqualis ΔΕ & ΑΔ ipſi ΒΕ, duæ quidem ΑΒ, ΒΕ duabus ΕΔ, ΔΒ æquales ſunt, & baſis ipſarum ΑΕ communis: ergo [per 8. 1.] angulus ΑΒΕ angulo ΕΔΑ eſt æqualis. ſed ΑΒΕ rectus eſt: rectus igitur & ΕΔΑ; & idcirco ΕΔ ad ΔΑ eſt perpendicularis. ſed & perpendicularis eſt ad utramque ipſarum ΒΔ, ΔΓ: quare ΕΔ tribus rectis lineis ΒΔ, ΔΑ, ΔΓ in contactu ad rectos inſiſtit angulos: tres igitur rectæ lineæ ΒΔ, ΔΑ, ΔΓ [per 5. 11.] in uno ſunt plano. in quo autem ſunt ΒΔ, ΔΑ, in hoc eſt & ΑΒ, omne enim triangulum [per 2. 11.] in uno eſt plano: ergo ΑΒ, ΒΔ, ΔΓ in uno plano ſunt. atque eſt uterque angulorum ΑΒΔ, ΒΔΓ rectus: parallela igitur [per 28. 1.] eſt ΑΒ ipſi ΓΔ.



Ἐὰν ἄρα δύο εὐθεῖαι τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσι, παράλληλοι ἔσονται αἱ εὐθεῖαι. ὅπερ ἔδει δεῖξαι.

Quare ſi duæ rectæ lineæ eidem plano ad rectos angulos fuerint, parallelæ erunt ipſæ rectæ lineæ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν ὦσι δύο εὐθεῖαι παράλληλοι, ληφθῇ δὲ ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα· ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἐστὶ ταῖς παραλλήλοις.

PROP. VII. THEOR.

Si duæ rectæ lineæ parallelæ ſint, ſumantur autem in utraque ipſarum quælibet puncta; quæ dicta puncta conjungit recta linea in eodem cum parallelis plana erit.

Ἔστωσαν δύο εὐθεῖαι παράλληλοι αἱ ΑΒ, ΓΔ, καὶ εἰλήφθω ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα τὰ Ε, Ζ· λέγω ὅτι ἡ ἐπὶ τὰ Ε, Ζ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἐστὶ ταῖς παραλλήλοις.

Sint duæ rectæ lineæ parallelæ ΑΒ, ΓΔ, & in utraque ipſarum ſumantur quælibet puncta Ε, Ζ: dico rectam lineam quæ puncta Ε, Ζ conjungit in eodem plano eſſe cum parallelis.



Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν ἔστω ἐν μετεώρῳ, ὡς ἡ ΕΗΖ, καὶ διήχθω τὸ διὰ τῆς ΕΗΖ ἐπίπεδον· τεμεῖ δὴ τὸ ποιήσει ἐν ὑποκειμένῳ ἐπιπέδῳ εὐθεῖαν. ποιείτω ὡς τὴν ΕΖ· δύο ἄρα εὐθεῖαι αἱ ΕΗΖ, ΕΖ χωρίον περιέξουσιν, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα

Non enim ſit, ſed ſi fieri poteſt, ſit in ſublimi ut ΕΗΖ, & per ΕΗΖ planum ducatur, quod in ſubjecto plano [per 3. 11.] ſectionem faciat rectam lineam. faciat ut ΕΖ: ergo duæ rectæ lineæ ΕΗΖ, ΕΖ ſpatium continebunt, quod [per 12. ax.] fieri non poteſt: non igi-

tur quæ à puncto E ad Z ducitur recta linea in ſublimi eſt plano: quare erit in eo quod per parallelas AB, Γ Δ tranſit.

Si igitur duæ rectæ lineæ parallelæ ſint, ſumantur autem in utraque ipſarum quælibet puncta; quæ dicta puncta conjungit recta linea in eodem cum parallelis plano erit. quod erat demonſtrandum.

PROP. VIII. THEOR.

Si fuerint duæ rectæ lineæ parallelæ, atque altera earum plano alicui ſit ad rectos angulos; & reliqua quoque eidem plano ad rectos angulos erit.

SInt duæ rectæ lineæ parallelæ AB, Γ Δ, & altera ipſarum AB ſubjecto plano ſit ad rectos angulos: dico & reliquam Γ Δ eidem plano ad rectos angulos eſſe.

Occurrant enim AB, Γ Δ ſubjecto plano in punctis B, Δ, & B Δ jungatur: ergo [per 7. 11.] A B, Δ Γ, B Δ in uno ſunt plano. ducatur ipſi B Δ ad rectos angulos in ſubjecto plano Δ E, dein ponatur Δ E ipſi AB æqualis, junganturque BE, A E, A Δ. quoniam autem A B perpendicularis eſt ad ſubjectum planum, & ad omnes rectas lineas quæ ipſam contingunt, atque in ſubjecto plano ſunt [per 3. deff. 11.] perpendicularis erit: rectus igitur eſt uterque angulorum ABΔ, ABE: quoniam vero in parallelas rectas lineas AB, Γ Δ recta incidit BΔ, erunt anguli ABΔ, ΓΔB [per 29. 1.] duobus rectis æquales. rectus autem eſt ABΔ: ergo & ΓΔB eſt rectus; quare Γ Δ perpendicularis eſt ad BΔ. & quoniam AB eſt æqualis Δ E, communis autem BΔ, duæ quidem AB, BΔ duabus EΔ, ΔB æquales ſunt, & angulus AΔB eſt æqualis angulo EΔB, rectus enim uterque eſt; baſis igitur AΔ [per 4. 1.] baſi BE eſt æqualis. & quoniam AB æqualis eſt Δ E, & BE ipſi AΔ, duæ quidem AB, BE duabus EΔ, Δ A erunt æquales, altera alteri, & baſis earum communis AE: ergo [per 8. 1.] angulus ABE eſt æqualis angulo EΔA. rectus autem eſt ABE; ergo & EΔA eſt rectus, adeoque EΔ ad ΔA perpendicularis. ſed & perpendicularis eſt ad BΔ: ergo [per 4. 11.] EΔ etiam ad planum per BΔ, ΔA perpendicularis erit: & ad omnes rectas lineas quæ in eodem plano ipſam contingunt rectos faciet angulos. at in plano per BA, AΔ eſt Δ Γ, quia in plano per BΔ, ΔA [per 2. 11.] ſunt AB, BΔ. in quo autem ſunt AB, BΔ [per 7. 11.] in eodem eſt & ipſa Δ Γ: quare EΔ ipſi Δ Γ eſt ad rectos angulos: ideoque Γ Δ ad rectos angulos eſt ipſi Δ E. ſed & Γ Δ ipſi BΔ: ergo Γ Δ duabus rectis lineis Δ E, ΔB ſe mutuo ſecantibus in communi ſectione Δ ad rectos angulos inſiſtit; ac propterea ipſa Γ Δ [per 4. 11.] plano



ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη εὐθεῖα ἐν μεπώρῳ ἐστὶν ἐπιπέδῳ· ἐν τῷ διὰ τῶν ΔΒ, ΓΔ ἄρα παραλλήλων ἐστὶν ἐπιπέδῳ ἡ ἀπὸ τοῦ Ε ἐπιζευγνυμένη εὐθεῖα.

Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι παράλληλοι, ληφθῇ δὲ ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα· ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἐστὶ ταῖς παραλλήλοις. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν ὦσι δύο εὐθεῖαι παράλληλοι, ἡ δὲ ἑτέρα αὐτῶν ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ· καὶ ἡ λοιπὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Ἔστωσαν δύο εὐθεῖαι παράλληλοι αἱ ΑΒ, ΓΔ, ἡ δὲ ἑτέρα αὐτῶν ἡ ΑΒ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔστω· λέγω ὅτι καὶ ἡ λοιπὴ ἡ ΓΔ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Συμβαλλέτωσαν γὰρ αἱ ΑΒ, ΓΔ τῷ ὑποκειμένῳ ἐπιπέδῳ κατὰ τὰ Β, Δ σημεῖα, καὶ ἐπεζεύχθω ἡ ΒΔ· αἱ ἄρα ΑΒ, ΓΔ, ΒΔ ἐν ἑνί εἰσιν ἐπιπέδῳ. ἤχθω τῇ ΒΔ πρὸς ὀρθὰς ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ἡ ΔΕ, καὶ κείσθω τῇ ΑΒ ἴση ἡ ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΕ, ΑΕ, ΑΔ. καὶ ἐπεὶ ἡ ΑΒ ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπομένας αὐτῇ εὐθείας, καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, ὀρθή ἐστιν ἡ ΑΒ· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ ΑΒΔ, ΑΒΕ γωνιῶν. καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΑΒ, ΓΔ εὐθείας ἐμπέπτωκεν ἡ ΒΔ, αἱ ἄρα ὑπὸ ΑΒΔ, ΓΔΒ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΑΒΔ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΓΔΒ· ἡ ΓΔ ἄρα πρὸς τὴν ΒΔ ὀρθή ἐστι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΔΕ, κοινὴ δὲ ἡ ΒΔ· δύο δὴ αἱ ΑΒ, ΒΔ δυσὶ ταῖς ΕΔ, ΔΒ ἴσαι εἰσί, καὶ γωνία ἡ ὑπὸ ΑΒΔ γωνίᾳ τῇ ὑπὸ ΕΔΒ ἴση, ὀρθὴ γὰρ ἑκατέρα· βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΒΕ ἐστὶν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΒΕ τῇ ΑΔ· δύο δὴ αἱ ΑΒ, ΒΕ δυσὶ ταῖς ΕΔ, ΔΑ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις αὐτῶν κοινὴ ἡ ΑΕ· γωνία ἄρα ἡ ὑπὸ ΑΒΕ γωνίᾳ τῇ ὑπὸ ΕΔΑ ἐστὶν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΑΒΕ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΕΔΑ· ἡ ΕΔ ἄρα πρὸς τὴν ΑΔ ὀρθή ἐστιν. ἔστι δὲ καὶ πρὸς τὴν ΒΔ ὀρθή· ἡ ΕΔ ἄρα καὶ τῷ διὰ τῶν ΒΔ, ΔΑ ἐπιπέδῳ ὀρθή ἐστι· καὶ πρὸς πάσας ἄρα τὰς ἁπομένας αὐτῇ εὐθείας, καὶ οὔσας ἐν τῷ διὰ τῶν ΑΔ, ΔΒ ἐπιπέδῳ, ὀρθὰς ποιήσει γωνίας ἡ ΕΔ. ἐν δὲ τῷ διὰ τῶν ΒΑ, ΑΔ ἐπιπέδῳ ἐστὶν ἡ ΔΓ, ἐπειδήπερ ἐν τῷ διὰ τῶν ΒΔ, ΔΑ ἐπιπέδῳ εἰσὶν αἱ ΑΒ, ΒΔ. ἐν ᾧ δὲ αἱ ΑΒ, ΒΔ ἐν τούτῳ ἐστὶ καὶ ἡ ΔΓ· ἡ ΕΔ ἄρα τῇ ΔΓ πρὸς ὀρθάς ἐστιν· ὥστε καὶ ἡ ΓΔ τῇ ΔΕ πρὸς ὀρθάς ἐστιν. ἔστι δὲ καὶ ἡ ΓΔ τῇ ΒΔ· ἡ ΓΔ ἄρα δύο εὐθείαις τεμνούσαις ἀλλήλας ταῖς ΔΕ, ΔΒ ἀπὸ τοῦ κατὰ τὸ Δ τομῆς πρὸς ὀρθὰς ἐφέστηκεν· ὥστε καὶ ἡ ΓΔ καὶ τῷ

ἀφὰ τ ΔΕ, ΔΒ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι· τὸ δὲ ἀφὰ τῶν ΔΕ, ΔΒ ἐπίπεδον τὸ ὑπκειμένον ἐστὶν· ἡ ΓΔ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. ὅπερ ἔδει δεῖξαι.

per ΔΕ, ΔΒ est ad rectos angulos. planum autem per ΔΕ, ΔΒ est subjectum planum: ergo ΓΔ subjecto plano ad rectos angulos erit. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ θ'.

Αἱ τῇ αὐτῇ εὐθείᾳ παράλληλοι, κὰ μὴ οὖσαι αὐτῇ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, κὰ ἀλλήλαις εἰσὶ παράλληλοι.

PROP. IX. THEOR.

Quæ eidem rectæ lineæ sunt parallelæ, sed non in eodem cum illa plano, etiam inter se parallelæ sunt.

ΕΣτω γὰρ ἑκατέρα τ ΑΒ, ΓΔ παράλληλος τῇ ΕΖ, μὴ οὖσαι αὐτῇ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ.



Εἰλήφθω γὰρ ἐπὶ τ ΕΖ τυχὸν σημεῖον τὸ Η, κὰ ἀπ' αὐτοῦ τῇ ΕΖ ἐν μὲν τῷ ἀφὰ τ ΕΖ, ΑΒ ἐπιπέδῳ πρὸς ὀρθὰς ἤχθω ἡ ΗΘ, ἐν δὲ τῷ διὰ τ ΖΕ, ΓΔ τῇ ΕΖ πάλιν πρὸς ὀρθὰς ἤχθω ἡ ΗΚ. ἐπεὶ οὖν ἡ ΕΖ πρὸς ἑκατέραν τ ΗΘ, ΗΚ ὀρθή ἐστιν, ἡ ΕΖ ἄρα κὰ τῷ διὰ τ ΗΘ, ΗΚ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι. καί ἐστιν ἡ ΕΖ τῇ ΑΒ παράλληλος· κὰ ἡ ΑΒ ἄρα τῷ διὰ τ Θ, Η, Κ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι. διὰ τὰ αὐτὰ δὴ κὰ ἡ ΓΔ τῷ διὰ τ Θ, Η, Κ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ἑκατέρα ἄρα τ ΑΒ, ΓΔ τῷ διὰ τ Θ, Η, Κ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. ἐὰν δὲ δύο εὐθεῖαι τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσι, παράλληλοι εἰσὶν αἱ εὐθεῖαι· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ. ὅπερ ἔδει δεῖξαι.

Sumatur in ΕΖ quodvis punctum Η, à quo ipsi ΕΖ in plano quidem per ΕΖ, ΑΒ transeunte ad rectos angulos ducatur ΗΘ; in plano autem transeunte per ΖΕ, ΓΔ rursus ducatur ipsi ΕΖ ad rectos angulos ΗΚ. quoniam ergo ΕΖ ad utramque ipsarum ΗΘ, ΗΚ est perpendicularis, erit ΕΖ [per 4. 11.] etiam ad rectos angulos plano per ΗΘ, ΗΚ transeunte. atque ΕΖ ipsi ΑΒ parallela est: ergo [per 8. 11.] & ΑΒ plano per Θ, Η, Κ ad rectos angulos est. eadem ratione & ΓΔ plano per Θ, Η, Κ est ad rectos angulos: utraque igitur ipsarum ΑΒ, ΓΔ plano per Θ, Η, Κ ad rectos angulos erit. si autem duæ rectæ lineæ eidem plano ad rectos angulos fuerint [per 6. 11.] parallelæ erunt inter se: ergo ΑΒ ipsi ΓΔ parallela est. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ι'.

Ἐὰν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι, μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· ἴσας γωνίας περιέξουσι.

PROP. X. THEOR.

Si duæ rectæ lineæ sese tangentes duabus rectis lineis sese tangentibus sint parallelæ, non autem in eodem plano; illæ æquales angulos continebunt.

ΔΥο γὰρ εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΑΒ, ΒΓ παρὰ δύο εὐθείας τὰς ΔΕ, ΕΖ ἁπτομένας ἀλλήλων ἔστωσαν, μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· λέγω ὅτι ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ.



Ἀπειλήφθωσαν γὰρ αἱ ΒΑ, ΒΓ, ΕΔ, ΕΖ ἴσαι ἀλλήλαις, κὰ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΓΖ, ΒΕ, ΑΓ, ΔΖ. κὰ ἐπεὶ ἡ ΒΑ τῇ ΕΔ ἴση ἐστὶ κὰ παράλληλος, *κὰ ἡ ΑΔ ἄρα τῇ ΒΕ ἴση ἐστὶ κὰ παράλληλος. διὰ τὰ αὐτὰ δὴ κὰ ἡ ΓΖ τῇ ΒΕ ἴση ἐστὶ κὰ παράλληλος· ἑκατέρα ἄρα τ ΑΔ, ΓΖ τῇ ΒΕ ἴση ἐστὶ κὰ παράλληλος. αἱ δὲ τῇ αὐτῇ εὐθείᾳ παράλληλοι κὰ ἀλλήλαις εἰσὶ παράλληλοι· παράλληλος ἄρα ἐστὶν ἡ ΑΔ τῇ ΓΖ καὶ ἴση. καὶ ἐπιζευγνύουσιν αὐτὰς αἱ ΑΓ, ΔΖ· καὶ ἡ ΑΓ

Duæ enim rectæ lineæ sese tangentes ΑΒ, ΒΓ duabus rectis lineis ΔΕ, ΕΖ sese tangentibus sint parallelæ, non autem in eodem plano: dico angulum ΑΒΓ angulo ΔΕΖ æqualem esse.

Assumantur enim ΒΑ, ΒΓ, ΕΔ, ΕΖ inter se æquales; & jungantur ΑΔ, ΓΖ, ΒΕ, ΑΓ, ΔΖ. quoniam igitur ΒΑ ipsi ΕΔ æqualis est & parallela, erit [per 33. 1.] & ΑΔ æqualis & parallela ipsi ΒΕ. eadem ratione & ΓΖ ipsi ΒΕ æqualis & parallela erit: utraque igitur ipsarum ΑΔ, ΓΖ ipsi ΒΕ æqualis est & parallela. quæ autem eidem rectæ lineæ sunt parallelæ, [per 9. 11.] & inter se parallelæ erunt: ergo ΑΔ parallela est ipsi ΓΖ & æqualis. & ipsas conjungunt rectæ ΑΓ, ΔΖ; quare

* Illa κὰ ἡ ΑΔ ἄρα τῇ ΒΕ ἴση ἐστὶ κὰ παράλληλος supplevimus ex *Codd. MSS.*

ΑΓ ipſi ΔΖ æqualis eſt & parallela. & quoniam duæ rectæ lineæ ΑΒ, ΒΓ duabus ΔΕ, ΕΖ æquales ſunt, & baſis ΑΓ æqualis eſt baſi ΔΖ; erit [per 8. 1.] angulus ΑΒΓ angulo ΔΕΖ æqualis.

Si igitur duæ rectæ lineæ ſeſe tangentes duabus rectis lineis ſeſe tangentibus ſint parallelæ, non autem in eodem plano; illæ æquales angulos continebunt. quod erat demonſtrandum.

ἄρα τῇ ΔΖ ἴση ἐστὶ καὶ παράλληλος. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΑΓ βάσει τῇ ΔΖ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ τῇ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἐστὶν ἴση.

Ἐὰν ἄρα δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι, μὴ ἐπὶ τῷ αὐτῷ ἐπιπέδῳ, ἴσας γωνίας περιέξουσι. ὅπερ ἔδει δεῖξαι.

Prop. XI. Probl.

A dato puncto in ſublimi ad ſubjectum planum perpendicularem rectam lineam ducere.

ΠΡΟΤΑΣΙΣ ια'.

Ἀπὸ τοῦ δοθέντος σημείου μετεώρου ὑπὶ τὸ ὑποκείμενον ὑπίπεδον καθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

SIT datum quidem punctum in ſublimi Α, datum autem planum illud quod ſubjectum eſt: oportet à puncto Α ad ſubjectum planum perpendicularem rectam ducere.

In ſubjecto plano ducatur quædam recta linea utcunque ΒΓ, & [per 12. 1.] à puncto Α ad ΒΓ perpendicularis agatur ΑΔ. ſi igitur ΑΔ ſit etiam perpendicularis ad ſubjectum planum; factum jam erit, quod proponebatur: ſin minus, ducatur [per 11. 1.] à puncto Δ ipſi ΒΓ in ſubjecto plano ad rectos angulos ΔΕ; & [per 12. 1.] à puncto Α ad ΔΕ perpendicularis ducatur ΑΖ; denique per Ζ ducatur ΗΘ ipſi ΒΓ parallela.

Et quoniam ΒΓ utrique ipſarum ΔΑ, ΔΕ eſt ad rectos angulos, erit [per 4. 11.] & ΒΓ ad rectos angulos plano per ΕΔ, ΔΑ tranſeunti, atque eſt ipſi parallela ΗΘ. ſi vero ſint duæ rectæ lineæ parallelæ, quarum una plano alicui ſit ad rectos angulos; & reliqua [per 8. 11.] eidem plano ad rectos angulos erit: quare & ΗΘ plano per ΕΔ, ΔΑ tranſeunti ad rectos angulos eſt: ac propterea [per 3. def. 11.] ad omnes rectas lineas, quæ in eodem plano exiſtentes ipſam contingunt, eſt perpendicularis. ipſam autem ΗΘ contingit recta ΑΖ exiſtens in plano per ΕΔ, ΔΑ: ergo ΗΘ perpendicularis eſt ad ΖΑ: & ob id ΖΑ eſt perpendicularis ad ΗΘ. eſt autem [per conſtr.] & ΑΖ ad ΔΕ perpendicularis: ergo ΑΖ perpendicularis eſt ad utramque ipſarum ΗΘ, ΔΕ. ſi autem recta linea duabus rectis lineis ſeſe contingentibus in communi ſectione ad rectos angulos inſiſtat, [per 4. 11.] etiam plano per ipſas ducto ad rectos angulos erit: quare ΖΑ plano per ΕΔ, ΗΘ ducto eſt ad rectos angulos. planum autem per ΕΔ, ΗΘ eſt ſubjectum planum; ergo ΑΖ ad ſubjectum planum eſt perpendicularis.

A dato igitur puncto ſublimi Α ad ſubjectum planum perpendicularis recta linea ducta eſt ΑΖ. quod erat faciendum.



Ἔστω τὸ μὲν δοθὲν σημεῖον μετέωρον τὸ Α, τὸ δὲ δοθὲν ἐπίπεδον τὸ ὑποκείμενον· δεῖ δὴ ἀπὸ τοῦ Α σημείου ἐπὶ τὸ συγκείμενον ἐπίπεδον κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Διήχθω γάρ τις ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ εὐθεῖα ὡς ἔτυχεν ἡ ΒΓ, καὶ ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ. εἰ μὲν οὖν ἡ ΑΔ κάθετός ἐστι, ἓν ἐπὶ τὸ συγκείμενον ἐπίπεδον, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν· εἰ δὲ οὔ, ἤχθω ἀπὸ τοῦ Δ σημείου τῇ ΒΓ ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΔΕ, καὶ ἤχθω ἀπὸ τοῦ Α ἐπὶ τὴν ΔΕ κάθετος ἡ ΑΖ, καὶ διὰ τοῦ Ζ σημείου τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΗΘ.

Καὶ ἐπεὶ ἡ ΒΓ ἑκατέρα τῶν ΔΑ, ΔΕ πρὸς ὀρθάς ἐστιν, ἡ ΒΓ ἄρα καὶ τῷ διὰ τῶν ΕΔ, ΔΑ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι, καὶ ἔστιν αὐτῇ παράλληλος ἡ ΗΘ. ἐὰν δὲ ὦσι δύο εὐθεῖαι παράλληλοι, ἡ δὲ μία αὐτῶν ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ ἡ λοιπὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται· καὶ ἡ ΗΘ ἄρα, τῷ διὰ τῶν ΕΔ, ΔΑ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι· καὶ πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας, καὶ οὔσας ἐν τῷ διὰ τῶν ΕΔ, ΔΑ ἐπιπέδῳ, ὀρθή ἐστιν ἡ ΗΘ. ἅπτεται δὲ αὐτῆς ἡ ΑΖ οὖσα ἐν τῷ διὰ τῶν ΕΔ, ΔΑ ἐπιπέδῳ· ἡ ΗΘ ἄρα ὀρθή ἐστι πρὸς τὴν ΖΑ· ὥστε καὶ ἡ ΖΑ ὀρθή ἐστι πρὸς τὴν ΗΘ. ἔστι δὲ ἡ ΑΖ καὶ πρὸς τὴν ΔΕ ὀρθή· ἡ ΑΖ ἄρα πρὸς ἑκατέραν τῶν ΗΘ, ΔΕ ὀρθή ἐστιν. ἐὰν δὲ εὐθεῖα δυσὶν εὐθείαις ἁπτομέναις ἀλλήλων ἐπὶ τομῆς πρὸς ὀρθὰς ἐπιζευχθῇ, καὶ τῷ διὰ αὐτῶν ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται· ἡ ΖΑ ἄρα τῷ διὰ τῶν ΕΔ, ΗΘ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι. τὸ δὲ διὰ τῶν ΕΔ, ΗΘ ἐπίπεδόν ἐστι τὸ ὑποκείμενον· ἡ ΑΖ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.

Ἀπὸ τοῦ δοθέντος ἄρα σημείου μετεώρου τοῦ Α ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος εὐθεῖα γραμμὴ ἦκται ἡ ΑΖ. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ ιβ'.

Τὸ δοθέντι ἐπιπέδῳ, ἀπὸ δοθέντος σημείου, πρὸς ὀρθὰς εὐθεῖαν γραμμὴν ἀναγαγεῖν.

Ἔστω τὸ μὲν δοθὲν ἐπίπεδον τὸ ὑποκείμενον, τὸ δὲ πρὸς αὐτῷ σημεῖον τὸ Α· δεῖ δὴ ἀπὸ τοῦ Α σημείου τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς εὐθεῖαν γραμμὴν ἀναγαγεῖν.



Νενοήσθω τὸ σημεῖον μετέωρον τὸ Β, καὶ ἀπὸ τοῦ Β ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἤχθω ἡ ΒΓ, καὶ διὰ τοῦ Α σημείου τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΑΔ.

Ἐπεὶ οὖν δύο εὐθεῖαι παράλληλοί εἰσιν αἱ ΑΔ, ΓΒ, ἡ δὲ μία αὐτῶν ἡ ΒΓ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι· καὶ ἡ λοιπὴ ἄρα ἡ ΑΔ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι.

Τῷ ἄρα δοθέντι ἐπιπέδῳ, ἀπὸ τοῦ πρὸς αὐτῷ δοθέντος σημείου, πρὸς ὀρθὰς εὐθεῖα γραμμὴ ἀνέσται. ὅπερ ἔδει ποιῆσαι.

PROP. XII. PROBL.

Dato plano, à puncto quod in ipso datum est, ad rectos angulos rectam lineam constituere.

SIT datum quidem planum subjectum, punctum autem quod in ipso sit A: oportet à puncto A subjecto plano ad rectos angulos rectam lineam constituere.

Intelligatur aliquod punctum sublime B, à quo [per 11. 11.] ad subjectum planum agatur perpendicularis BΓ; & [per 31. 1.] per A ipsi BΓ parallela ducatur AΔ.

Quoniam igitur duæ rectæ lineæ parallelæ sunt AΔ, ΓB, una autem ipsarum BΓ subjecto plano est ad rectos angulos; & reliqua AΔ [per 8. 11.] subjecto plano ad rectos angulos erit.

Dato igitur plano, à puncto quod in ipso datum est, ad rectos angulos recta linea constituta est. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιγ'.

* Τῷ δοθέντι ἐπιπέδῳ, ἀπὸ τοῦ πρὸς αὐτῷ σημείου, δύο εὐθεῖαι πρὸς ὀρθὰς οὐκ ἀναγήσονται ἐπὶ τὰ αὐτὰ μέρη.

Εἰ γὰρ δυνατόν, τῷ δοθέντι ἐπιπέδῳ ἀπὸ τοῦ πρὸς αὐτῷ σημείου τοῦ Α δύο εὐθεῖαι αἱ ΑΒ, ΑΓ πρὸς ὀρθὰς ἀνεστάθωσαν ἐπὶ τὰ αὐτὰ μέρη, καὶ διήχθω διὰ τῶν ΒΑ, ΑΓ ἐπίπεδον, τεμνέτω δὴ αὐτὸ διὰ τοῦ Α ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ εὐθεῖα. τεμνέτω τὰρ ΔΑΕ· αἱ ἄρα ΑΒ, ΑΓ, ΔΑΕ εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ. καὶ ἐπεὶ ἡ ΓΑ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ αὐτῆς ἡ ΔΑΕ οὖσα ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ· ἡ ἄρα ὑπὸ ΓΑΕ γωνία ὀρθή ἐστι. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΒΑΕ ὀρθή ἐστιν· ἴση ἄρα ἡ ὑπὸ ΓΑΕ τῇ ὑπὸ ΒΑΕ, καί εἰσιν ἐν τῷ ἑνὶ ἐπιπέδῳ, ὅπερ ἐστὶν ἀδύνατον.



Οὐκ ἄρα τῷ δοθέντι ἐπιπέδῳ, ἀπὸ τοῦ πρὸς αὐτῷ σημείου, δύο εὐθεῖαι πρὸς ὀρθὰς ἀναγήσονται ἐπὶ τὰ αὐτὰ μέρη. ὅπερ ἔδει δεῖξαι.

PROP. XIII. PROBL.

Dato plano, à puncto quod in ipso est, duæ rectæ lineæ ad rectos angulos non constituentur ab eadem parte.

SI enim fieri possit, dato plano, à puncto A quod in ipso est, duæ rectæ lineæ AB, AΓ ad rectos angulos constituantur ab eadem parte; & ducatur planum per BA, AΓ, quod [per 3. 11.] faciet sectionem per A in subjecto plano rectam lineam. faciat ΔAE: ergo rectæ lineæ AB, AΓ, ΔAE in uno sunt plano. quoniam vero ΓA subjecto plano ad rectos angulos est, [per 3. deff. 11.] & ad omnes rectas lineas, quæ in subjecto plano existentes ipsam contingunt, rectos faciet angulos. ipsam autem ΓA contingit recta ΔAE, in subjecto plano existens: angulus igitur ΓAE est rectus. eadem ratione & BAE est rectus: ergo angulus ΓAE ipsi BAE est æqualis, & in uno sunt plano, quod [per 9. ax.] fieri non potest.

Non igitur dato plano, à puncto quod in ipso est, duæ rectæ lineæ ad rectos angulos constituentur ab eadem parte. quod erat demonstrandum.

* Ἀπὸ δοθέντος σημείου τῷ αὐτῷ ἐπιπέδῳ δύο εὐθεῖαι &c. melius in *Codd. MSS.*

Prop. XIV. Theor.

Ad quæ plana eadem recta linea eſt perpendicularis, ea parallela ſunt.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Πρὸς ἃ ἐπίπεδα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστι, παράλληλά ἐστι τὰ ἐπίπεδα.

REcta enim linea quædam AB ad utrumque ipſorum planorum ΓΔ, EZ ſit perpendicularis: dico ea plana parallela eſſe.

Si enim non ita ſit, producta convenient inter ſe conveniant, facient autem [per 3. 11.] communem ſectionem rectam lineam. faciant HΘ; & in ipſa HΘ, ſumpto quovis puncto K, jungantur AK, BK. quoniam igitur AB recta eſt ad planum EZ, erit [per 3. def. 11.] & perpendicularis ad ipſam BK, rectam in plano EZ producto exiſtentem: quare angulus ABK rectus eſt. eadem ratione & BAK eſt rectus; ideoque trianguli ABK duo anguli ABK, BAK duobus rectis ſunt æquales; quod [per 17. 1.] fieri non poteſt: non igitur plana ΓΔ, EZ producta inter ſe convenient: parallela igitur ſunt plana ΓΔ, EZ.



Ad quæ igitur plana eadem recta linea eſt perpendicularis, ea parallela ſunt. quod erat demonſtrandum.

Εὐθεῖα γάρ τις ἡ AB πρὸς ἑκάτερον τῶν ΓΔ, EZ ἐπιπέδων πρὸς ὀρθὰς ἔστω· λέγω ὅτι παράλληλά ἐστι τὰ ἐπίπεδα.

Εἰ γὰρ μή, ἐκβαλλόμενα συμπεσοῦνται. συμπιπτέτωσαν· ποιήσει δὴ κοινὴν τομὴν εὐθεῖαν. ποιείτωσαν τὴν HΘ, καὶ εἰλήφθω ἐπὶ τῆς HΘ τυχὸν σημεῖον τὸ K, καὶ ἐπεζεύχθωσαν αἱ AK, BK. καὶ ἐπεὶ ἡ AB ὀρθή ἐστι πρὸς τὸ EZ ἐπίπεδον, καὶ πρὸς τὴν BK ἄρα εὐθεῖαν οὖσαν ἐν τῷ EZ ἐκβεβληθέντι ἐπιπέδῳ ὀρθή ἐστιν ἡ AB· ἡ ἄρα ὑπὸ ABK γωνία ὀρθή ἐστι. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ BAK ὀρθή ἐστι, τριγώνου δὲ τοῦ ABK αἱ δύο γωνίαι αἱ ὑπὸ ABK, BAK δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τὰ ΓΔ, EZ ἐπίπεδα ἐκβαλλόμενα συμπεσεῖται· παράλληλα ἄρα ἐστὶ τὰ ΓΔ, EZ ἐπίπεδα.

Πρὸς ἃ ἐπίπεδα ἄρα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστι, παράλληλά ἐστι τὰ ἐπίπεδα. ὅπερ ἔδει δεῖξαι.

Prop. XV. Theor.

Si duæ rectæ lineæ ſeſe tangentes duabus rectis lineis ſeſe tangentibus ſint parallelæ, non autem in eodem plano; & quæ per ipſas tranſeunt plana parallela erunt.

DUÆ enim rectæ lineæ ſeſe tangentes AB, BΓ duabus rectis lineis ſeſe tangentibus ΔE, EZ parallelæ ſint, & non in eodem plano: dico plana quæ per AB, BΓ, ΔE, EZ tranſeunt, ſi producantur, inter ſe non convenire.

Ducatur enim [per 11. 11.] à puncto B ad planum quod per ΔE, EZ tranſit perpendicularis BH, quæ plano in puncto H occurrat; & per H [per 31. 1.] ducatur ipſi quidem EΔ parallela HΘ, ipſi vero EZ parallela HK. itaque quoniam BH perpendicularis eſt ad planum per ΔE, EZ, & [per 3. def. 11.] ad omnes rectas lineas quæ ipſam contingunt, & in eodem ſunt plano, rectos faciet angulos. contingit autem illam utraque ipſarum HΘ, HK, quæ ſunt in plano per ΔE, EZ: rectus igitur eſt uterque angulorum BHΘ,



ΠΡΟΤΑΣΙΣ ιε'.

**Ἐὰν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων τοῦ διὰ δύο εὐθειῶν ἁπτομένων

ΒΗΚ γωνιῶν. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΒΑ τῇ ΗΘ· αἱ ἄρα ὑπὸ ΗΒΑ, ΒΗΘ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΗΘ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΗΒΑ· ἡ ΗΒ ἄρα τῇ ΒΑ πρὸς ὀρθάς ἐστι. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΗ καὶ τῇ ΒΓ ἐστὶ πρὸς ὀρθάς. ἐπεὶ οὖν εὐθεῖα ἡ ΒΗ δυσὶν εὐθείαις ταῖς ΒΑ, ΒΓ τεμνούσαις ἀλλήλας πρὸς ὀρθὰς ἐφέστηκεν, ἡ ΒΗ ἄρα καὶ τῷ διὰ τῶν ΒΑ, ΒΓ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι. [* διὰ τὰ αὐτὰ δὴ ἡ ΒΗ καὶ τῷ διὰ τῶν ΗΘ, ΗΚ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι, τὸ δὲ διὰ τῶν ΗΘ, ΗΚ ἐπίπεδόν ἐστι τὸ διὰ τῶν ΔΕ, ΕΖ· ἡ ΒΗ ἄρα τῷ διὰ τῶν ΔΕ, ΕΖ ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. ἐδείχθη δὲ ἡ ΒΗ καὶ τῷ διὰ τῶν ΑΒ, ΒΓ ἐπιπέδῳ πρὸς ὀρθάς.] ἔστι δὲ καὶ τῷ διὰ τῶν ΔΕ, ΕΖ ἐπιπέδῳ ὀρθή· ἡ ΒΗ ἄρα πρὸς ἑκάτερον τῶν διὰ τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ ἐπιπέδων ὀρθή ἐστι. πρὸς ἃ δὲ ἐπίπεδα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστι, παράλληλά ἐστι τὰ ἐπίπεδα· παράλληλον ἄρα ἐστὶ τὸ διὰ τῶν ΑΒ, ΒΓ ἐπίπεδον τῷ διὰ τῶν ΔΕ, ΕΖ.

Ἐὰν ἄρα δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, παράλληλά ἐστι τὰ δι' αὐτῶν ἐπίπεδα. ὅπερ ἔδει δεῖξαι.

ΒΗΚ. & quoniam ΒΑ parallela eſt ipſi ΗΘ, [per 29. 1.] anguli ΗΒΑ, ΒΗΘ duobus rectis ſunt æquales. rectus autem eſt ΒΗΘ: ergo & ΗΒΑ rectus erit; ideoque ΗΒ ad ΒΑ eſt perpendicularis. eadem ratione & ΒΗ eſt perpendicularis ad ΒΓ. quoniam igitur recta linea ΒΗ duabus rectis lineis ΒΑ, ΒΓ ſe invicem ſecantibus ad rectos angulos inſiſtit, erit [per 4. 11.] ΒΗ etiam ad planum per ΑΒ, ΒΓ ductum perpendicularis. *[& ob eandem cauſam ΒΗ eſt perpendicularis ad planum per ΗΘ, ΗΚ. ſed planum per ΗΘ, ΗΚ eſt illud, quod per ΔΕ, ΕΖ tranſit: quare ΒΗ ad planum quod tranſit per ΔΕ, ΕΖ eſt perpendicularis. oſtenſa autem eſt ΒΗ etiam perpendicularis ad planum per ΑΒ, ΒΓ.] atque eſt ad planum per ΔΕ, ΕΖ perpendicularis: ergo ΒΗ perpendicularis eſt ad utrumque planorum quæ per ΑΒ, ΒΓ, ΔΕ, ΕΖ tranſeunt. ad quæ vero plana eadem recta linea eſt perpendicularis [per 14. 11.] ea parallela ſunt: parallelum igitur eſt planum per ΑΒ, ΒΓ plano per ΔΕ, ΕΖ.

Quare ſi duæ rectæ lineæ ſeſe tangentes duabus rectis lineis ſeſe tangentibus ſint parallelæ, non autem in eodem plano; & quæ per ipſas tranſeunt plana parallela erunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιϛ'.

Ἐὰν δύο ἐπίπεδα παράλληλα ὑπό τινος ἐπιπέδου πίπτῃ, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσι.

Prop. XVI. Theor.

Si duo plana parallela ab aliquo plano ſecentur, communes ipſorum ſectiones ſunt etiam parallelæ.

Δύο γὰρ ἐπίπεδα παράλληλα τὰ ΑΒ, ΓΔ ὑπὸ ἐπιπέδου τοῦ ΕΖΗΘ τεμνέσθω, κοιναὶ δὲ αὐτῶν τομαὶ ἔστωσαν αἱ ΕΖ, ΗΘ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΕΖ τῇ ΗΘ.

Εἰ γὰρ μή, ἐκβαλλόμεναι συμπεσοῦνται αἱ ΕΖ, ΗΘ, ἤτοι ἐπὶ τὰ Ζ, Θ μέρη, ἢ ἐπὶ τὰ Ε, Η. ἐκβεβλήσθω πρότερον ὡς ἐπὶ τὰ Ζ, Θ μέρη, καὶ συμπιπτέτωσαν κατὰ τὸ Κ. ἐπεὶ ἡ ΕΖΚ ἐν τῷ ΑΒ ἐστὶν ἐπιπέδῳ, καὶ πάντα ἄρα τὰ ἐπὶ τῆς ΕΖΚ σημεῖα ἐν τῷ ΑΒ ἐπιπέδῳ ἐστίν. ἓν δὲ τῶν ἐπὶ τῆς ΕΖΚ εὐθείας σημεῖόν ἐστι τὸ Κ· τὸ Κ ἄρα ἐν τῷ ΑΒ ἐστὶν ἐπιπέδῳ. διὰ τὰ αὐτὰ δὴ τὸ Κ ἐν τῷ ΓΔ ἐστιν ἐπιπέδῳ· τὰ ΑΒ, ΓΔ ἄρα ἐπίπεδα ἐκβαλλόμενα συμπεσοῦνται. οὐ συμπίπτουσι δέ, διὰ τὸ παράλληλα ὑποκεῖσθαι· οὐκ ἄρα αἱ ΕΖ, ΗΘ εὐθεῖαι ἐκβαλλόμεναι συμπεσοῦνται ἐπὶ τὰ Ζ, Θ μέρη. ὁμοίως δὴ δείξομεν ὅτι αἱ ΕΖ, ΗΘ εὐθεῖαι οὐδὲ ἐπὶ τὰ Ε, Η μέρη ἐκβαλλόμεναι συμπεσοῦνται. αἱ δὲ μηδέτερα μέρη συμπίπτουσαι παράλληλοί εἰσι· παράλληλος ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΗΘ.



Duo enim plana parallela ΑΒ, ΓΔ à plano aliquo ΕΖΗΘ ſecentur, communes autem ipſorum ſectiones ſint ΕΖ, ΗΘ: dico ΕΖ ipſi ΗΘ parallelam eſſe.

Si enim non eſt parallela, productæ ΕΖ, ΗΘ inter ſe convenient, vel ad partes Ζ, Θ, vel ad partes Ε, Η. producantur prius, ut ad partes Ζ, Θ, & conveniant in Κ. quoniam igitur ΕΖΚ eſt in plano ΑΒ, & omnia quæ in ΕΖΚ ſumuntur puncta in eodem plano erunt. unum autem punctorum quæ ſunt in ΕΖΚ eſt ipſum Κ punctum: ergo Κ eſt in plano ΑΒ. eadem ratione & Κ eſt in ΓΔ plano: ergo plana ΑΒ, ΓΔ producta inter ſe convenient. non conveniunt autem, cum parallela ponantur: non igitur ΕΖ, ΗΘ rectæ lineæ productæ convenient ad partes Ζ, Θ. ſimiliter demonſtrabimus neque rectas ΕΖ, ΗΘ ad partes Ε, Η convenire, ſi producantur. quæ autem neutra ex parte conveniunt [per 35. def. 1.] parallelæ ſunt, ergo ΕΖ ipſi ΗΘ eſt parallela.

* Illa uncis incluſa omitti debent: integra quidem non exſtant in *Codd. MSS.*

Si

Si igitur duo plana parallela ab aliquo plano secentur, communes ipsorum sectiones parallelæ erunt. quod erat demonstrandum.

Prop. XVII. Theor.

Si duæ rectæ lineæ à parallelis planis secentur, in eadem ratione secabuntur.

DUÆ enim rectæ lineæ AB, ΓΔ à parallelis planis HΘ, KΛ, MN secentur in punctis A, E, B, Γ, Z, Δ: dico ut AE recta linea ad ipsam EB ita esse ΓZ ad ZΔ.

Jungantur enim AΓ, BΔ, AΔ, & occurrat AΔ plano KΛ in puncto Ξ, & EΞ, ΞZ jungantur. quoniam igitur duo plana parallela KΛ, MN à plano EBΔΞ secantur, [per 16. 11.] communes ipsorum sectiones EΞ, BΔ parallelæ sunt. eadem ratione quoniam duo plana parallela HΘ, KΛ à plano AΞZΓ secantur, communes ipsorum sectiones AΓ, ZΞ sunt parallelæ. quoniam autem uni laterum trianguli ABΔ, videlicet ipsi BΔ, parallela ducta est EΞ, [per 2. 6.] ut AB ad EB ita erit AΞ ad ΞΔ. rursus quoniam uni laterum trianguli AΔΓ, nempe ipsi AΓ, parallela ducta est ΞZ, erit ut AΞ ad ΞΔ ita ΓZ ad ZΔ. ostensum autem est & ut AΞ ad ΞΔ ita esse AE ad EB: erit igitur [per 11. 5.] ut AE ad EB ita ΓZ ad ZΔ.



Quare si duæ rectæ lineæ à parallelis planis secentur, in eadem ratione secabuntur. quod erat demonstrandum.

Prop. XVIII. Theor.

Si recta linea plano alicui sit ad rectos angulos, & omnia quæ per ipsam transeunt plana eidem plano ad rectos angulos erunt.

RECta enim linea quædam AB subjecto plano sit ad rectos angulos: dico & omnia plana, quæ per ipsam AB transeunt, subjecto plano ad rectos angulos esse.

Ἐὰν ἄρα δύο ἐπίπεδα παράλληλα ὑπό ἐπιπέδου τινὸς τέμνηται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσι. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Ἐὰν δύο εὐθεῖαι ὑπὸ παραλλήλων ἐπιπέδων τέμνωνται, εἰς τοὺς αὐτοὺς λόγους τμηθήσονται.

ΔΥΟ γὰρ εὐθεῖαι αἱ AB, ΓΔ ὑπὸ παραλλήλων ἐπιπέδων τῶν HΘ, KΛ, MN τετμήσθωσαν κατὰ τὰ A, E, B, Γ, Z, Δ σημεῖα· λέγω ὅτι ἐστὶν ὡς ἡ AE εὐθεῖα πρὸς τὴν EB οὕτως ἡ ΓZ πρὸς τὴν ZΔ.

Ἐπεζεύχθωσαν γὰρ αἱ AΓ, BΔ, AΔ, καὶ συμβαλλέτω ἡ AΔ τῷ KΛ ἐπιπέδῳ κατὰ τὸ Ξ σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ EΞ, ΞZ. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ KΛ, MN ὑπὸ ἐπιπέδου τοῦ EBΔΞ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ αἱ EΞ, BΔ παράλληλοί εἰσι. διὰ τὰ αὐτὰ δὴ, ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ HΘ, KΛ ὑπὸ ἐπιπέδου τοῦ AΞZΓ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ αἱ AΓ, ZΞ παράλληλοί εἰσι. καὶ ἐπεὶ τριγώνου τοῦ ABΔ παρὰ μίαν τῶν πλευρῶν τὴν BA εὐθεῖα ἦκται ἡ EΞ, ἀνάλογον ἄρα ὡς ἡ AE πρὸς τὴν EB οὕτως ἡ AΞ πρὸς τὴν ΞΔ. πάλιν ἐπεὶ τριγώνου τοῦ AΔΓ παρὰ μίαν τῶν πλευρῶν τὴν AΓ εὐθεῖα ἦκται ἡ ΞZ, ἀνάλογον ἄρα ὡς ἡ AΞ πρὸς τὴν ΞΔ οὕτως ἡ ΓZ πρὸς τὴν ZΔ. ἐδείχθη δὲ καὶ ὡς ἡ AΞ πρὸς τὴν ΞΔ οὕτως ἡ AE πρὸς τὴν EB· καὶ ὡς ἄρα ἡ AE πρὸς τὴν EB οὕτως ἡ ΓZ πρὸς τὴν ZΔ.

Ἐὰν ἄρα δύο εὐθεῖαι ὑπὸ παραλλήλων ἐπιπέδων τέμνωνται, εἰς τὰς αὐτὰς λόγους τμηθήσονται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιη'.

Ἐὰν εὐθεῖα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ πάντα τὰ διὰ αὐτῆς ἐπίπεδα τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

ΕΥθεῖα γάρ τις ἡ AB τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔστω· λέγω ὅτι καὶ πάντα τὰ διὰ τῆς AB ἐπίπεδα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Exten-

Ἐκβεβλήθω γὰρ ἀπὸ τοῦ ΑΒ ἐπιπέδου τὸ ΔΕ, καὶ ἔστω κοινὴ τομὴ τοῦ ΔΕ ἐπιπέδου καὶ τοῦ ὑποκειμένου ἡ ΓΕ, καὶ εἰλήφθω ἐπὶ τῆς ΓΕ τοχὸν σημεῖον τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ τῇ ΓΕ πρὸς ὀρθὰς ἤχθω ἐν τῷ ΔΕ ἐπιπέδῳ ἡ ΖΗ. καὶ ἐπεὶ ἡ ΑΒ πρὸς τὸ ὑποκείμενον ἐπίπεδον ὀρθή ἐστι, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθή ἐστιν ἡ ΑΒ· ὥστε καὶ πρὸς τὴν ΓΕ ὀρθή ἐστιν· ἡ ἄρα ὑπὸ ΑΒΖ γωνία ὀρθή ἐστιν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΗΖΒ ὀρθή· παράλληλος ἄρα ἡ ΑΒ τῇ ΖΗ. ἡ δὲ ΑΒ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι· καὶ ἡ ΖΗ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι. καὶ ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθόν ἐστιν, ὅταν αἱ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων πρὸς ὀρθὰς ἀγόμεναι εὐθεῖαι ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ λοιπῷ ἐπιπέδῳ πρὸς ὀρθάς ὦσι, καὶ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων τῷ ΓΕ πρὸς ὀρθὰς ἀκθείσαι ἡ ΖΗ ἐδείχθη τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς· τὸ ἄρα ΔΕ ἐπίπεδον ὀρθόν ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον. ὁμοίως δὴ δείξομεν καὶ πάντα τὰ διὰ τοῦ ΑΒ ἐπίπεδα ὀρθὰ τυγχάνοντα πρὸς τὸ ὑποκείμενον ἐπίπεδον.



Ἐὰν ἄρα εὐθεῖα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ πάντα τὰ διὰ αὐτῆς ἐπίπεδα τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται. ὅπερ ἔδει δεῖξαι.

Producatur enim per rectam AB planum ΔE, ſitque plani ΔE & ſubjecti plani communis ſectio recta ΓE; & ſumatur in ΓE quodvis punctum Z, à quo ipſi ΓE ad rectos angulos in ΔE plano ducatur ZH. quoniam igitur recta AB ad ſubjectum planum eſt perpendicularis; & [per 3. def. 11.] ad omnes rectas lineas quæ ipſam contingunt & in ſubjecto plano jacent perpendicularis erit: quare etiam ad ΓE eſt perpendicularis: angulus igitur ABZ rectus eſt. ſed & HZB eſt rectus: ergo [per 28. 1.] AB parallela eſt ipſi ZH. eſt autem AB ſubjecto plano ad rectos angulos: quare [per 8. 11.] etiam ZH eidem plano ad rectos angulos erit. at [per 4. def. 11.] planum ad planum rectum eſt, quando communi planorum ſectioni ad rectos angulos ductæ in uno plano rectæ lineæ reliquo plano ad rectos angulos ſunt; communi ergo planorum ſectioni ΓE in uno plano ΔE ad rectos angulos ducta ZH oſtenſa eſt ſubjecto plano ad rectos angulos eſſe: ergo planum ΔE rectum eſt ad ſubjectum planum. ſimiliter demonſtrabuntur & omnia quæ per AB tranſeunt plana ſubjecto plano recta eſſe.

Si igitur recta linea plano alicui ſit ad rectos angulos, & omnia quæ per ipſam tranſeunt plana eidem plano ad rectos angulos erunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Ἐὰν δύο ἐπίπεδα τέμνοντα ἄλληλα ἐπίπεδόν τινι πρὸς ὀρθὰς ᾖ, καὶ ἡ κοινὴ αὐτῶν τομὴ πρὸς ὀρθὰς ἔσται τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Δύο γὰρ ἐπίπεδα τὰ ΑΒ, ΒΓ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔστω, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΒΔ· λέγω ὅτι ἡ ΒΔ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.

Μὴ γάρ, καὶ ἤχθωσαν ἀπὸ τοῦ Δ σημείου ἐν μὲν τῷ ΑΒ ἐπιπέδῳ τῇ ΑΔ εὐθεῖα πρὸς ὀρθὰς ἡ ΔΕ, ἐν δὲ τῷ ΒΓ ἐπιπέδῳ τῇ ΓΔ πρὸς ὀρθὰς ἡ ΔΖ. καὶ ἐπεὶ τὸ ΑΒ ἐπίπεδον ὀρθόν ἐστι πρὸς τὸ ὑποκείμενον, καὶ τῇ κοινῇ αὐτῶν τομῇ τῇ ΑΔ πρὸς ὀρθὰς ἐν τῷ ΑΒ ἐπιπέδῳ ἦκται ἡ ΔΕ· ἡ ΔΕ ἄρα ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ΔΖ ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον· ἀπὸ τοῦ αὐτοῦ

Prop. XIX. Theor.

Si duo plana ſe invicem ſecantia plano alicui ſint ad rectos angulos, communis ipſorum ſectio eidem plano ad rectos angulos erit.

Duo enim plana ſe invicem ſecantia AB, BΓ ſubjecto plano ſint ad rectos angulos, communis autem ipſorum ſectio ſit BΔ: dico rectam BΔ ſubjecto plano ad rectos angulos eſſe.



Non enim ſit, atque [per 11. 1.] à puncto Δ ducatur in plano quidem AB rectæ lineæ AΔ ad rectos angulos ipſa ΔB; in plano autem BΓ ducatur ipſi ΓΔ ad rectos angulos ΔZ. quoniam ergo planum AB ad ſubjectum planum rectum eſt, & communi ipſorum ſectioni AΔ ad rectos angulos in plano AB ducta eſt ΔE; erit ΔE ad ſubjectum planum perpendicularis. ſimiliter oſtendemus & ΔZ perpendicularem eſſe ad ſubjectum planum: quare ab eo-

dem puncto Δ ſubjecto plano duæ rectæ lineæ ad rectos angulos conſtitutæ ſunt ex eadem parte, quod [per 13.11.] fieri non poteſt: non igitur ſubjecto plano à puncto Δ ad rectos angulos conſtituentur aliæ rectæ lineæ, præter ipſam Δ B communem planorum A B, B Γ ſectionem.

Ergo ſi duo plana ſe invicem ſecantia plano alicui ſint ad rectos angulos, & communis ipſorum ſectio eidem plano ad rectos angulos erit. quod erat demonſtrandum.

Prop. XX. Theor.

Si ſolidus angulus ſub tribus angulis planis contineatur, duo quilibet reliquo majores ſunt quomodocunque ſumpti.

SOlidus enim angulus ad A ſub tribus angulis planis B A Γ, Γ A Δ, Δ A B contineatur: dico angulorum B A Γ, Γ A Δ, Δ A B duos quoſlibet reliquo majores eſſe quomodocunque ſumptos.

Si enim B A Γ, Γ A Δ, Δ A B anguli inter ſe æquales ſint, perſpicuum eſt duos quoſlibet reliquo majores eſſe quomodocunque ſumptos. ſin aliter, ſit major B A Γ, & ad rectam lineam A B & ad punctum in ipſa A [per 23. 1.] conſtituatur angulo Δ A B in plano per B A Γ tranſeunte æqualis angulus B A E; ponaturque [per 3. 1.] ipſi A Δ æqualis A E; dein per E ducta B E Γ ſecet rectas lineas A B, A Γ in punctis B, Γ; & Δ B, Δ Γ jungantur. itaque quoniam Δ A eſt æqualis A E, communis autem A B, duæ Δ A, A B duabus A E, A B æquales ſunt. & angulus Δ A B æqualis eſt angulo B A E; baſis igitur Δ B [per 4.1.] baſi B E eſt æqualis. & quoniam duæ Δ B, Δ Γ ipſa B Γ majores ſunt, ex quibus Δ B æqualis oſtenſa eſt ipſi B E; erit reliqua Δ Γ quam reliqua E Γ major. quoniam autem Δ A eſt æqualis A E, communis autem A Γ, & baſis Δ Γ major baſi E Γ; erit [per 25. 1.] angulus Δ A Γ angulo E A Γ major. oſtenſus autem eſt & Δ A B angulus æqualis ipſi B A E: quare Δ A B, Δ A Γ anguli angulo B A Γ majores ſunt. ſimiliter quoque demonſtrabimus, ſi duo quilibet alii ſumantur, eos reliquo eſſe majores.



Si igitur ſolidus angulus ſub tribus angulis planis contineatur; duo quilibet reliquo majores ſunt quomodocunque ſumpti. quod erat demonſtrandum.

Prop. XXI. Theor.

Omnis ſolidus angulus ſub minoribus quam quatuor rectis angulis planis continetur.

SIT ſolidus angulus ad A ſub planis angulis B A Γ, Γ A Δ, Δ A B contentus: dico angulos

ἂρα σημεῖα τὰ Δ τῷ ὑπκειμένῳ ἐπιπέδῳ δύο εὐθεῖαι πρὸς ὀρθὰς ἀνεσταμέναι εἰσὶν ἐπὶ τὰ αὐτὰ μέρη, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τῷ ὑπκειμένῳ ἐπιπέδῳ ἀπὸ τοῦ Δ σημείου πρὸς ὀρθὰς ἀναβήσονται πλείω τῶν Δ B κοινῆς τομῆς τῶν A B, B Γ ἐπιπέδων.

Ἐὰν ἄρα δύο ἐπίπεδα τέμνοντα ἄλληλα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ ἡ κοινὴ αὐτῶν τομὴ πρὸς ὀρθὰς ἔσται τῷ αὐτῷ ἐπιπέδῳ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κ'.

Ἐὰν στερεὰ γωνία ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων περιέχηται, δύο οἱαιδηποτοῦν τῶν λοιπῶν μείζονές εἰσι πάντη μεταλαμβανόμενα.

Στερεὰ γὰρ γωνία ἡ πρὸς τῷ A ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων τῶν ὑπὸ B A Γ, Γ A Δ, Δ A B περιεχέσθω· λέγω ὅτι τῶν ὑπὸ B A Γ, Γ A Δ, Δ A B γωνιῶν δύο οἱαιδηποτοῦν τῶν λοιπῶν μείζονές εἰσι πάντη μεταλαμβανόμεναι.

Εἰ μὲν οὖν αἱ ὑπὸ B A Γ, Γ A Δ, Δ A B γωνίαι ἴσαι ἀλλήλαις εἰσὶ, φανερὸν ὅτι δύο οἱαιδηποτοῦν τῶν λοιπῶν μείζονές εἰσι πάντη μεταλαμβανόμεναι. εἰ δὲ οὔ, ἔστω μείζων ἡ ὑπὸ B A Γ, καὶ συνεστάτω πρὸς τῇ A B εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A τῇ ὑπὸ Δ A B γωνίᾳ ἴση τῇ ὑπὸ B A Γ ἐπιπέδῳ ἴση ἡ ὑπὸ B A E, καὶ κείσθω τῇ A Δ ἴση ἡ A E, καὶ διὰ τοῦ E σημείου διαχθεῖσα ἡ B E Γ τεμνέτω τὰς A B, A Γ εὐθείας, κατὰ τὰ B, Γ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ Δ B, Δ Γ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ Δ A τῇ A E, κοινὴ δὲ ἡ A B, δύο δὴ αἱ Δ A, A B δυσὶν A E, A B ἴσαι, καὶ γωνία ἡ ὑπὸ Δ A B γωνίᾳ τῇ ὑπὸ B A E ἴση· βάσις ἄρα ἡ Δ B βάσει τῇ B E ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ Δ B, Δ Γ τῆς B Γ μείζονές εἰσιν, ὧν ἡ Δ B τῇ B E ἐδείχθη ἴση· λοιπὴ ἄρα ἡ Δ Γ λοιπῆς τῆς E Γ μείζων ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ Δ A τῇ A E, κοινὴ δὲ ἡ A Γ, καὶ βάσις ἡ Δ Γ βάσεως τῆς E Γ μείζων ἐστὶν· γωνία ἄρα ἡ ὑπὸ Δ A Γ γωνίας τῆς ὑπὸ E A Γ μείζων ἐστίν. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ Δ A B τῇ ὑπὸ B A E ἴση· αἱ ἄρα ὑπὸ Δ A B, Δ A Γ τῆς ὑπὸ B A Γ μείζονές εἰσιν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ λοιπαὶ συνδυο λαμβανόμεναι τῆς λοιπῆς μείζονές εἰσιν.

Ἐὰν ἄρα στερεὰ γωνία ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων περιέχηται, δύο οἱαιδηποτοῦν τῶν λοιπῶν μείζονές εἰσι πάντη μεταλαμβανόμεναι. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κα'.

Ἁπασα στερεὰ γωνία ὑπὸ ἐλασσόνων ἢ τεσσάρων ὀρθῶν γωνιῶν ἐπιπέδων περιέχεται.

Ἔστω στερεὰ γωνία ἡ πρὸς τῷ A περιεχομένη ὑπὸ ἐπιπέδων γωνιῶν, τῶν ὑπὸ B A Γ, Γ A Δ, Δ A B· λέγω ὅτι

ὅτι αἱ ὑπὸ ΒΑΓ, ΓΑΔ, ΔΑΒ τεσσάρων ὀρθῶν ἐλάσσονές εἰσιν.

Εἰλήφθω γὰρ ἑφ' ἑκάστης τῶν ΑΒ, ΑΓ, ΑΔ τυχόντα σημεῖα τὰ Β, Γ, Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΓ, ΓΔ, ΔΒ. καὶ ἐπεὶ στερεὰ γωνία ἡ πρὸς τῷ Β ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων περιέχεται τῶν ὑπὸ ΓΒΑ, ΑΒΔ, ΓΒΔ, δύο ὁποιαιοῦν τῶν λοιπῶν μείζονές εἰσιν· αἱ ἄρα ὑπὸ ΓΒΑ, ΑΒΔ τῶν ὑπὸ ΓΒΔ μείζονές εἰσι. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ μὲν ὑπὸ ΒΓΑ, ΑΓΔ τῶν ὑπὸ ΒΓΔ μείζονές εἰσι, καὶ ἔτι αἱ ὑπὸ ΓΔΑ, ΑΔΒ τῶν ὑπὸ ΓΔΒ μείζονές εἰσιν· αἱ ἓξ ἄρα γωνίαι αἱ ὑπὸ ΓΒΑ, ΑΒΔ, ΒΓΑ, ΑΓΔ, ΑΔΓ, ΑΔΒ τριῶν τῶν ὑπὸ ΓΒΔ, ΒΓΔ, ΓΔΒ μείζονές εἰσιν. ἀλλὰ αἱ τρεῖς αἱ ὑπὸ ΓΒΔ, ΒΓΔ, ΓΔΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἓξ ἄρα αἱ ὑπὸ ΓΒΑ, ΑΒΔ, ΒΓΑ, ΑΓΔ, ΑΔΓ, ΑΔΒ δύο ὀρθῶν μείζονές εἰσι. καὶ ἐπεὶ ἑκάστῳ τῶν ΑΒΓ, ΑΓΔ, ΑΔΒ τριγώνων αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, αἱ ἄρα τῶν τριῶν τριγώνων ἐννέα γωνίαι αἱ ὑπὸ ΓΒΑ, ΑΓΒ, ΒΑΓ, ΑΓΔ, ΔΑΓ, ΓΔΑ, ΑΔΒ, ΔΒΑ, ΒΑΔ ἓξ ὀρθαῖς ἴσαι εἰσίν, ὧν αἱ ὑπὸ ΑΒΓ, ΒΓΑ, ΑΓΔ, ΓΔΑ, ΑΔΒ, ΔΒΑ ἓξ γωνίαι δύο ὀρθῶν μείζονές εἰσι· λοιπαὶ ἄρα αἱ ὑπὸ ΒΑΓ, ΓΑΔ, ΔΑΒ τρεῖς γωνίαι περιέχουσι τὴν στερεὰν γωνίαν τεσσάρων ὀρθῶν ἐλάσσονές εἰσιν.

Ἅπασα ἄρα στερεὰ γωνία ὑπὸ ἐλασσόνων ἢ τεσσάρων ὀρθῶν γωνιῶν ἐπιπέδων περιέχεται. ὅπερ ἔδει δεῖξαι.



BAΓ, ΓAΔ, ΔAB quatuor rectis esse minores.

Sumantur enim in unaquaque ipsarum AB, AΓ, AΔ quævis puncta B, Γ, Δ, & BΓ, ΓΔ, ΔB jungantur. quoniam igitur solidus angulus ad B continetur sub tribus angulis planis ΓBA, ABΔ, ΓBΔ, [per 20. 11.] duo quilibet reliquo majores sunt: anguli igitur ΓBA, ABΔ angulo ΓBΔ sunt majores. eadem ratione & anguli quidem BΓA, AΓΔ majores sunt angulo BΓΔ; & adhuc anguli ΓΔA, AΔB majores angulo ΓΔB: quare sex anguli ΓBA, ABΔ, BΓA, AΓΔ, AΔΓ, AΔB tribus angulis ΓBΔ, BΓΔ, ΓΔB sunt majores. sed tres anguli ΓBΔ, BΓΔ, ΓΔB [per 32. 1.] sunt æquales duobus rectis: sex igitur anguli ΓBA, ABΔ, BΓA, AΓΔ, AΔΓ, AΔB duobus rectis majores sunt. quoniam vero singulorum triangulorum ABΓ, AΓΔ, AΔB tres anguli sunt æquales duobus rectis, trium triangulorum novem anguli ΓBA, AΓB, BAΓ, AΓΔ, ΔAΓ, ΓΔA, AΔB, ΔBA, BAΔ sunt æquales sex rectis, ex quibus sex anguli ABΓ, BΓA, AΓΔ, ΓΔA, AΔB, ΔBA duobus rectis sunt majores: reliqui igitur tres anguli BAΓ, ΓAΔ, ΔAB, qui solidum continent angulum, quatuor rectis minores erunt.

Quare omnis solidus angulus sub minoribus quam quatuor rectis angulis planis continetur. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κβ'.

Ἐὰν ὦσι τρεῖς γωνίαι ἐπίπεδοι, ὧν αἱ δύο τῶν λοιπῶν μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, περιέχωσι δὲ αὐτὰς ἴσαι εὐθεῖαι· δυνατὸν ἐστιν ἐκ τῶν ἐπιζευγνυουσῶν τὰς ἴσας εὐθείας τρίγωνον συστήσασθαι.

Prop. XXII. Theor.

Si sint tres anguli plani, quorum duo reliquo sunt majores quomodocunque sumpti, contineant autem ipsos rectæ lineæ æquales; fieri potest ut ex iis, quæ rectas æquales conjungunt, triangulum constituatur.

Ἔστωσαν τρεῖς γωνίαι ἐπίπεδοι αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ὧν αἱ δύο τῶν λοιπῶν μείζονες ἔστωσαν πάντῃ μεταλαμβανόμεναι, αἱ μὲν ὑπὸ

SInt tres anguli plani ABΓ, ΔEZ, HΘK, quorum duo reliquo sint majores, quomodocunque sumpti, videlicet anguli quidem







ΑΒΓ, ΔΕΖ τῆς ὑπὸ ΗΘΚ, αἱ δὲ ὑπὸ ΔΕΖ, ΗΘΚ τῆς ὑπὸ ΑΒΓ, καὶ ἔτι αἱ ὑπὸ ΗΘΚ, ΑΒΓ τῆς ὑπὸ ΔΕΖ, καὶ ἔστωσαν ἴσαι αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ,

ABΓ, ΔEZ majores angulo HΘK, anguli vero ΔEZ, HΘK majores angulo ABΓ, & præterea anguli HΘK, ABΓ angulo ΔEZ majores, sintque æquales rectæ lineæ AB, BΓ, ΔE, EZ,

ΗΘ, ΘΚ; atque demum ΑΓ, ΔΖ, ΗΚ jungantur: dico fieri poſſe, ut ex æqualibus ipſis ΑΓ, ΔΖ, ΗΚ triangulum conſtituatur; hoc eſt, ipſarum ΑΓ, ΔΖ, ΗΚ duas quaſlibet reliqua eſſe majores quomodocunque ſumptas.

Si quidem igitur anguli ΑΒΓ, ΔΕΖ, ΗΘΚ inter ſe æquales ſint; manifeſtum eſt æqualibus adeo factis ΑΓ, ΔΖ, ΗΚ ex æqualibus ipſis triangulum conſtitui poſſe. ſin minus, ſint inæquales, & ad rectam lineam ΘΚ, atque ad punctum in ipſa Θ, angulo ΑΒΓ æqualis [per 23. 1.] angulus conſtituatur ΚΘΛ; & ponatur uni ipſarum ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ

Ει μὲν οὖν αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ γωνίαι ἴσαι ἀλλήλαις εἰσὶ, φανερὸν ὅτι καὶ τὰ ΑΓ, ΔΖ, ΗΚ ἴσων γενομένων δυνατόν ἐστιν ἐκ τῶν ἴσων τῶν ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συνίστασθαι. εἰ δὲ ἄ, ἔστωσαν ἄνισοι, καὶ συνεστάτω πρὸς τῇ ΘΚ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Θ, τῇ ὑπὸ ΑΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΚΘΛ· καὶ κείσθω μιᾷ τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ,



æqualis ΘΛ; atque ΗΛ, ΚΛ jungantur. itaque quoniam duæ ΑΒ, ΒΓ duabus ΚΘ, ΘΛ æquales ſunt, & angulus ad Β angulo ΚΘΛ æqualis; erit [per 4. 1.] baſis ΑΓ æqualis baſi ΚΛ. & quoniam anguli ΑΒΓ, ΗΘΚ angulo ΔΕΖ ſunt majores, æqualis autem eſt angulus ΑΒΓ angulo ΚΘΛ: erit ΗΘΛ angulo ΔΕΖ major: item quoniam duæ ΗΘ, ΘΛ duabus ΔΕ, ΕΖ æquales ſunt, & angulus ΗΘΛ angulo Ε major; baſis ΗΛ [per 24. 1.] baſi ΔΖ major erit. ſed [per 20. 1.] ΗΚ, ΚΛ ipſa ΗΛ ſunt majores: multo igitur majores ſunt ΗΚ, ΚΛ ipſa ΔΖ. eſt autem ΚΛ æqualis ΑΓ: ergo ΑΓ, ΗΚ reliqua ΔΖ ſunt majores. ſimiliter demonſtrabimus & ipſas quidem ΑΓ, ΔΖ majores eſſe ΗΚ, ipſas vero ΗΚ, ΔΖ majores ΑΓ: fieri igitur poteſt [per 22. 1.] ut ex æqualibus ipſis ΑΓ, ΔΖ, ΗΚ triangulum conſtituatur.

ΘΚ ἴση ἡ ΘΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΗΛ, ΚΛ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΚΘ, ΘΛ ἴσαι εἰσὶ, καὶ γωνία ἡ πρὸς τῷ Β γωνίᾳ τῇ ὑπὸ ΚΘΛ ἴση· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΚΛ ἐστὶν ἴση. καὶ ἐπεὶ αἱ ὑπὸ ΑΒΓ, ΗΘΚ τῶν ὑπὸ ΔΕΖ μείζονές εἰσιν, ἴση δὲ ἡ ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΚΘΛ· ἡ ἄρα ὑπὸ ΗΘΛ τῶν ὑπὸ ΔΕΖ μείζων ἐστί. καὶ ἐπεὶ δύο αἱ ΗΘ, ΘΛ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΗΘΛ γωνίας τῆς πρὸς τῷ Ε μείζων· βάσις ἄρα ἡ ΗΛ βάσεως τῆς ΔΖ μείζων ἐστίν. ἀλλὰ αἱ ΗΚ, ΚΛ τῆς ΚΛ μείζονές εἰσι· πολλῷ ἄρα αἱ ΗΚ, ΚΛ τῆς ΔΖ μείζονές εἰσιν. ἴση δὲ ἡ ΚΛ τῇ ΑΓ· αἱ ΑΓ, ΗΚ ἄρα τῆς λοιπῆς τῆς ΔΖ μείζονές εἰσιν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ μὲν ΑΓ, ΔΖ τῆς ΗΚ μείζονές εἰσι, αἱ δὲ ΗΚ, ΔΖ τῆς ΑΓ· δυνατὸν ἄρα ἐστὶν ἐκ τῶν ἴσων τῶν ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συνίστασθαι.

Aliter.

Sint dati tres anguli plani ΑΒΓ, ΔΕΖ, ΗΘΚ, quorum duo reliquo ſint majores quomodocunque ſumpti; contineant autem ipſos æqua-

Αλλως.

Ἐστωσαν αἱ δοθεῖσαι τρεῖς γωνίαι ἐπίπεδοι αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ὧν αἱ δύο τῆς λοιπῆς μείζονες ἔστωσαν πάντη μεταλαμβανόμεναι, συνεχέ-



les rectæ lineæ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, atque ΑΓ, ΔΖ, ΗΚ jungantur: dico fieri poſſe ut ex æqualibus ipſis ΑΓ, ΔΖ, ΗΚ triangulum conſtituatur; hoc eſt rurſus duas reliqua majores eſſe quomodocunque ſumptas. ſi igitur rurſus anguli ad puncta Β, Ε, Θ ſint æquales, &

τωσαν δὲ αὐτὰς ἴσαι εὐθεῖαι αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΔΖ, ΗΚ· λέγω ὅτι δυνατόν ἐστιν ἐκ τῶν ἴσων τῶν ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συνίστασθαι, τουτέστιν πάλιν ὅτι αἱ δύο τῶν λοιπῶν μείζονές εἰσι πάντη μεταλαμβανόμεναι. εἰ μὲν οὖν πάλιν αἱ πρὸς τοῖς Β, Ε, Θ σημείοις γωνίαι ἴσαι εἰσὶν, ἔστιν

ἴσον) ἑ αἱ ΑΓ, ΔΖ, ΗΚ ἴσαι, καὶ ἴσονται αἱ δύο τὰς λοιπῆς μείζονες. ἐὰν δὲ ὦ, ἔσονται αἱ πρὸς τῇ Β, Ε, Θ σημείοις γωνίαι, ἑ μείζων ἡ πρὸς τῷ Β ἑκατέρας τῶν πρὸς τῇ Ε, Θ· μείζων ἄρα ἐστὶ καὶ ἡ ΑΓ εὐθεῖα ἑκατέρας τῶν ΔΖ, ΗΚ. ἑ φανερὸν ὅτι ἡ ΑΓ μιᾷ ἑκατέρας τῶν ΔΖ, ΗΚ τῆς λοιπῆς μείζων ἐστί. λέγω ὅτι καὶ αἱ ΔΖ, ΗΚ τὰς ΑΓ μείζονές εἰσι. συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β τῇ ὑπὸ ΗΘΚ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΒΛ, καὶ κείσθω μιᾷ τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἴση ἡ ΒΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΛ, ΛΓ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΛ δυσὶ ταῖς ΗΘ, ΘΚ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΑΛ βάσει τῇ ΗΚ ἐστιν ἴση. καὶ ἐπεὶ αἱ πρὸς τοῖς Ε, Θ σημείοις γωνίαι τοῦ ὑπὸ ΑΒΓ μείζονές εἰσιν, ὧν ἡ ὑπὸ ΗΘΚ τῇ ὑπὸ ΑΒΛ ἐστιν ἴση· λοιπὴ ἄρα ἡ πρὸς τῷ Ε γωνία τοῦ ὑπὸ ΔΒΓ μείζων ἐστί. καὶ ἐπεὶ δύο αἱ ΛΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΔΕΖ γωνίας τοῦ ὑπὸ ΛΒΓ μείζων ἐστί· βάσις ἄρα ἡ ΔΖ βάσεως τῆς ΛΓ μείζων ἐστίν. ἴση ᾗ ἐδείχθη ἡ ΗΚ τῇ ΑΛ· αἱ ἄρα ΔΖ, ΗΚ τῶν ΑΛ, ΛΓ μείζονές εἰσιν. ἀλλὰ αἱ ΑΛ, ΛΓ τῆς ΑΓ μείζονές εἰσι· πολλῷ ἄρα αἱ ΔΖ, ΗΚ μείζονές εἰσι τῆς ΑΓ· τῶν ΑΓ, ΔΖ, ΗΚ ἄρα εὐθειῶν αἱ δύο τὰς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι· δυνατὸν ἄρα ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι. ὅπερ ἔδει δεῖξαι.

ΑΓ, ΔΖ, ΗΚ [per 4. 1.] æquales erunt, & duæ reliqua majores. ſin minus, ſint inæquales anguli ad puncta Β, Ε, Θ, & major qui eſt ad Β utrovis ipſorum qui ſunt ad Ε, Θ: major igitur eſt [per 24. 1.] & recta linea ΑΓ utravis ipſarum ΔΖ, ΗΚ. & manifeſtum eſt ipſam ΑΓ una cum alterutra ipſarum ΔΖ, ΗΚ reliqua eſſe majorem. dico & ΔΖ, ΗΚ ipſa ΑΓ majores eſſe. conſtituatur [per 23. 1.] ad rectam lineam ΑΒ & ad punctum in ea Β angulo ΗΘΚ æqualis angulus ΑΒΛ, & uni ipſarum ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ponatur æqualis ΒΛ, atque ΑΛ, ΛΓ jungantur. quoniam igitur duæ ΑΒ, ΒΛ duabus ΗΘ, ΘΚ æquales ſunt, altera alteri, & angulos æquales continent; erit [per 4. 1.] baſis ΑΛ baſi ΗΚ æqualis. & quoniam anguli ad puncta Ε, Θ angulo ΑΒΓ majores ſunt, ex quibus angulus ΗΘΚ eſt æqualis ipſi ΑΒΛ; erit reliquus qui ad Ε angulo ΛΒΓ major. item quoniam duæ ΔΒ, ΒΓ duabus ΔΕ, ΕΖ æquales ſunt, altera alteri, & angulus ΔΕΖ angulo ΔΒΓ major; baſis ΔΖ [per 24. 1.] baſi ΛΓ major erit. oſtenſa eſt autem ΗΚ æqualis ΑΛ: ergo ΔΖ, ΗΚ ipſis ΑΛ, ΛΓ ſunt majores. ſed [per 20. 1.] ΑΛ, ΛΓ majores ſunt ipſa ΑΓ: multo igitur ΔΖ, ΗΚ ipſa ΑΓ majores erunt: quare rectarum linearum ΑΓ, ΔΖ, ΗΚ duæ reliqua majores ſunt quomodocunque ſumptæ: ac propterea [per 22. 1.] fieri poteſt, ut ex æqualibus ipſis ΑΓ, ΔΖ, ΗΚ triangulum conſtituatur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κγ'.

Ἐκ τριῶν γωνιῶν ἐπιπέδων, ὧν αἱ δύο τῆς λοιπῆς μείζονες εἰσὶ πάντῃ μεταλαμβανόμεναι, στερεὰν γωνίαν συστήσασθαι· δεῖ δὲ τὰς τρεῖς τεσσάρων ὀρθῶν ἐλάσσονας εἶναι.

Prop. XXIII. Probl.

Ex tribus angulis planis, quorum duo reliquo ſunt majores quomodocunque ſumpti, ſolidum angulum conſtituere: oportet autem tres angulos quatuor rectis eſſe minores.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς γωνίαι ἐπίπεδοι αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ὧν αἱ δύο τῆς λοιπῆς μείζονες ἔστωσαν πάντῃ μεταλαμβανόμεναι, ἔτι δὲ αἱ τρεῖς τεσσάρων ὀρθῶν ἐλάσσονες· δεῖ δὴ ἐκ τῶν ἴσων ταῖς ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ στερεὰν γωνίαν συστήσασθαι.

SInt dati tres anguli plani ΑΒΓ, ΔΕΖ, ΗΘΚ, quorum duo reliquo ſint majores quomodocunque ſumpti, ſintque tres anguli quatuor rectis minores: oportet ex æqualibus ipſis ΑΒΓ, ΔΕΖ, ΗΘΚ ſolidum angulum conſtituere.



ἐκκείσθωσαν ἴσαι αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΔΖ, ΗΚ· δυνατὸν ἄρα ἐστὶν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι. συνεστάτω τὸ ΛΜΝ, ὥστε ἴσην εἶναι τὴν μὲν ΑΓ τῇ ΛΜ, τὴν δὲ ΔΖ τῇ ΜΝ, καὶ ἔτι

Abſcindantur æquales ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ; atque ΑΓ, ΔΖ, ΗΚ jungantur. igitur [per 22. 11.] fieri poteſt ut ex æqualibus ipſis ΑΓ, ΔΖ, ΗΚ conſtituatur triangulum. itaque [per 22. 1.] conſtituatur ΛΜΝ, ita ut ΑΓ quidem ſit æqualis ΛΜ, ΔΖ vero ipſi ΜΝ; & præterea

HK ipſi ΛN: dein [per 5.4.] circa ΛMN triangulum circulus ΛMN deſcribatur; ſumatur vero circuli centrum, quod vel erit intra triangulum ΛMN, vel in uno ejus latere, vel extra.

Sit primum intra; ſitque Ξ; atque ΛΞ, MΞ, NΞ jungantur: dico AB majorem eſſe ipſa ΛΞ. ſi enim non ita ſit, vel AB erit æqualis ΛΞ, vel ea minor. ſit primum æqualis. quoniam igitur AB eſt æqualis ΛΞ, atque eſt AB ipſi BΓ æqualis; erit ΛΞ æqualis BΓ. eſt autem ΛΞ æqualis ΞM: duæ igitur AB, BΓ duabus ΛΞ, ΞM æquales ſunt altera alteri; & AΓ baſis baſi ΛM æqualis ponitur: quare [per 8. 1.] angulus ABΓ angulo ΛΞM eſt æqualis. eadem ratione & angulus quidem ΔEZ eſt æqualis angulo MΞN, angulus vero HΘK angulo NΞΛ: tres igitur anguli ABΓ, ΔEZ, HΘK tribus ΛΞM, MΞN, NΞΛ æquales ſunt. ſed tres ΛΞM, MΞN, NΞΛ quatuor rectis ſunt æquales: ergo & tres ABΓ, ΔEZ, HΘK æquales erunt quatuor rectis. atqui ponuntur quatuor rectis minores, quod eſt abſurdum: non igitur AB ipſi ΛΞ eſt æqualis. dico præterea neque AB minorem eſſe ipſa ΛΞ. ſi enim fieri poteſt, ſit minor, ponaturque rectæ AB æqualis ΞO, ipſi vero BΓ æqualis ΞΠ, & OΠ jungatur. quoniam igitur AB eſt æqualis BΓ, & ΞO ipſi ΞΠ



æqualis erit: ergo & reliqua OΛ reliquæ ΠM eſt æqualis: quare [per 2. 6.] ΛM parallela eſt ipſi OΠ, & ΛMΞ triangulum eſt triangulo OΠΞ æquiangulum: eſt igitur [per 4. 6.] ut ΞΛ ad ΛM ita ΞO ad OΠ; & permutando [per 16. 5.] ut ΛΞ ad ΞO ita ΛM ad OΠ. major autem eſt ΛΞ quam ΞO; ergo & ΛM quam OΠ eſt major. ſed ΛM poſita eſt [per conſtr.] æqualis AΓ; quare & AΓ quam OΠ major erit. itaque quoniam duæ rectæ lineæ AB, BΓ duabus OΞ, ΞΠ æquales ſunt, & baſis AΓ major baſi OΠ; erit [per 24. 1.] angulus ABΓ angulo OΞΠ major. ſimiliter demonſtrabimus & ΔEZ angulum majorem eſſe angulo MΞN, & angulum HΘK angulo NΞΛ: tres igitur anguli ABΓ, ΔEZ, HΘK tribus ΛΞM, MΞN, NΞΛ ſunt majores. at anguli ABΓ, ΔEZ, HΘK quatuor rectis minores ponuntur: multo igitur anguli ΛΞM, MΞN, NΞΛ minores erunt quatuor rectis. ſed & æquales, quod eſt abſurdum: non igitur AB minor eſt quam ΛΞ. oſtenſum autem eſt neque eſſe æqualem: major ergo eſt AB quam ΛΞ. con-

τὴν HK τῇ ΛN, καὶ περιγεγράφθω περὶ τὸ ΛMN τρίγωνον κύκλος ὁ ΛMN, καὶ εἰλήφθω αὐτοῦ τὸ κέντρον· ἔστω δὴ ἤτοι ἐντὸς ἐν τῷ ΛMN τριγώνῳ, ἢ ἐπὶ μιᾶς τῶν πλευρῶν αὐτοῦ, ἢ ἐκτός.

Ἐστω πρότερον ἐντὸς, καὶ ἔστω τὸ Ξ, καὶ ἐπεζεύχθωσαν αἱ ΛΞ, MΞ, NΞ· λέγω ὅτι ἡ AB μείζων ἐστὶ τῆς ΛΞ. εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἡ AB τῇ ΛΞ, ἢ ἐλάττων. ἔστω πρότερον ἴση· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AB τῇ ΛΞ, ἀλλ' ἡ μὲν AB τῇ BΓ ἐστιν ἴση· ἡ ΛΞ ἄρα τῇ BΓ ἐστιν ἴση. ἡ δὲ ΛΞ τῇ ΞM, δύο δὴ αἱ AB, BΓ δυσὶ ταῖς ΛΞ, ΞM ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ AΓ βάσει τῇ ΛM ὑπόκειται ἴση· γωνία ἄρα ἡ ὑπὸ ABΓ τῇ ὑπὸ ΛΞM ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μὲν ὑπὸ ΔEZ τῇ ὑπὸ MΞN ἐστιν ἴση, ἡ δὲ ὑπὸ HΘK τῇ ὑπὸ NΞΛ· αἱ ἄρα τρεῖς αἱ ὑπὸ ABΓ, ΔEZ, HΘK γωνίαι τρισὶ ταῖς ὑπὸ ΛΞM, MΞN, NΞΛ ἴσαι εἰσίν. ἀλλὰ αἱ τρεῖς αἱ ὑπὸ ΛΞM, MΞN, NΞΛ τέτρασιν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ τρεῖς ἄρα αἱ ὑπὸ ABΓ, ΔEZ, HΘK τέτρασιν ὀρθαῖς ἴσαι εἰσίν. ὑπόκεινται δὲ καὶ τεσσάρων ὀρθῶν ἐλάσσονες, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ AB τῇ ΛΞ ἐστιν ἴση. λέγω ὅτι οὐδὲ ἐλάττων ἐστὶν ἡ AB τῇ ΛΞ. εἰ γὰρ δυνατὸν ἔστω· καὶ κείσθω τῇ μὲν AB ἴση ἡ ΞO, τῇ δὲ BΓ ἴση ἡ ΞΠ, καὶ ἐπεζεύχθω ἡ OΠ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AB τῇ BΓ, ἴση ἐστὶ καὶ ἡ ΞO τῇ ΞΠ· ὥστε καὶ λοιπὴ ἡ OΛ λοιπῇ τῇ ΠM ἐστιν ἴση· παράλληλος ἄρα ἡ ΛM τῇ OΠ, καὶ ἰσογώνιον τὸ ΛMΞ τῷ OΠΞ· ἔστιν ἄρα ὡς ἡ ΞΛ πρὸς τὴν ΛM οὕτως ἡ ΞO πρὸς τὴν OΠ· ἐναλλὰξ ἄρα ὡς ἡ ΛΞ πρὸς τὴν ΞO οὕτως ἡ ΛM πρὸς τὴν OΠ. μείζων δὲ ἡ ΛΞ τῆς ΞO· μείζων ἄρα καὶ ἡ ΛM τῆς OΠ. ἀλλ' ἡ ΛM τῇ AΓ ἴση· καὶ ἡ AΓ ἄρα τῆς OΠ μείζων ἐστίν. ἐπεὶ οὖν δύο εὐθεῖαι αἱ AB, BΓ δυσὶ ταῖς OΞ, ΞΠ ἴσαι εἰσὶ, καὶ βάσις ἡ AΓ βάσεως τῆς OΠ μείζων ἐστὶ· γωνία ἄρα ἡ ὑπὸ ABΓ γωνίας τῆς ὑπὸ OΞΠ μείζων ἐστίν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ μὲν ὑπὸ ΔEZ τῆς ὑπὸ MΞN μείζων ἐστὶν, ἡ δὲ ὑπὸ HΘK τῆς ὑπὸ NΞΛ· αἱ ἄρα τρεῖς γωνίαι αἱ ὑπὸ ABΓ, ΔEZ, HΘK τριῶν τῶν ὑπὸ ΛΞM, MΞN, NΞΛ μείζονές εἰσιν. ἀλλ' αἱ ὑπὸ ABΓ, ΔEZ, HΘK τεσσάρων ὀρθῶν ἐλάσσονες ὑπόκεινται· πολλῷ ἄρα αἱ ὑπὸ ΛΞM, MΞN, NΞΛ τεσσάρων ὀρθῶν ἐλάσσονές εἰσιν. ἀλλὰ καὶ ἴσαι, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ AB ἐλάσσων ἐστὶ τῆς ΛΞ. ἐδείχθη δὲ ὅτι οὐδὲ ἴση· μείζων ἄρα ἡ AB τῆς ΛΞ. ἀνεσάτω δὴ

δὴ ἀπὸ τοῦ Ξ σημείου τῷ ΔΜΝ κύκλου ἐπίπεδῳ πρὸς ὀρθὰς ἡ ΞΡ· καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τετραγώνου τοῦ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ δὲ ἴσον τὸ ἀπὸ τῆς ΞΡ, καὶ ἐπεζεύχθωσαν αἱ ΡΛ, ΡΜ, ΡΝ. καὶ ἐπεὶ ἡ ΞΡ ὀρθή ἐστι πρὸς τὸ ΔΜΝ κύκλου ἐπίπεδον· καὶ πρὸς ἁπάσας ἄρα τὰς ΛΞ, ΜΞ, ΝΞ ὀρθή ἐστιν ἡ ΡΞ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΛΞ τῇ ΞΜ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΞΡ· βάσις ἄρα ἡ ΛΡ βάσει τῇ ΡΜ ἴση ἐστί. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ΡΛ, ΡΜ ἴση ἐστὶν· αἱ τρεῖς ἄρα αἱ ΡΛ, ΡΜ, ΡΝ ἴσαι ἀλλήλαις εἰσί. καὶ ἐπεὶ ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ ἴσον τὸ ἀπὸ τῆς ΞΡ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΛΞ, ΞΡ. τοῖς δὲ ἀπὸ τῶν ΛΞ, ΞΡ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΡΛ, ὀρθὴ γὰρ ἡ ὑπὸ ΛΞΡ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΡΛ· ἴση ἄρα ἡ ΑΒ τῇ ΡΛ. ἀλλὰ τῇ μὲν ΑΒ ἴσαι ἐστὶν ἑκάστη τῶν ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, τῇ δὲ ΡΛ ἴσαι ἑκατέρα τῶν ΡΜ, ΡΝ· ἑκάστη ἄρα τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἑκάστῃ τῶν ΡΛ, ΡΜ, ΡΝ ἴση ἐστί. καὶ ἐπεὶ δύο αἱ ΛΡ, ΡΜ δυσὶ ταῖς ΑΒ, ΒΓ ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΛΜ βάσει τῇ ΑΓ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΛΡΜ γωνίᾳ τῇ ὑπὸ ΑΒΓ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μὲν ὑπὸ ΜΡΝ γωνία τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΛΡΝ τῇ ὑπὸ ΗΘΚ· ἐκ τριῶν ἄρα γωνιῶν ἐπιπέδων τῶν ὑπὸ ΛΡΜ, ΜΡΝ, ΛΡΝ, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις ταῖς ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, στερεὰ γωνία συνέστακεν ἡ πρὸς τῷ Ρ περιεχομένη ὑπὸ τῶν ΛΡΜ, ΜΡΝ, ΛΡΝ γωνιῶν.

Ἀλλὰ δὴ ἔστω τὸ κέντρον τοῦ κύκλου ἐπὶ μιᾶς τῶν πλευρῶν τοῦ τριγώνου τῆς ΜΝ, καὶ ἔστω τὸ Ξ, καὶ ἐπεζεύχθω ἡ ΞΛ· λέγω πάλιν ὅτι μείζων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ. εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ, ἢ ἐλάττων. ἔστω πρότερον ἴση· δύο δὴ αἱ ΑΒ, ΒΓ, τουτέστιν αἱ ΔΕ, ΕΖ, δυσὶ ταῖς ΜΞ, ΞΛ, τουτέστι τῇ ΜΝ, ἴσαι εἰσίν. ἀλλὰ ἡ ΜΝ τῇ ΔΖ κεῖται ἴση· καὶ αἱ ΔΕ, ΕΖ ἄρα τῇ ΔΖ ἴσαι εἰσὶν, ὅπερ ἀδύνατον· οὐκ ἄρα ἡ ΑΒ ἴση τῇ ΛΞ. ὁμοίως δὲ δείξομεν οὐδὲ ἐλάττων, πολλῷ γὰρ τὸ ἀδύνατον μεῖζον· ἡ ἄρα ΑΒ μείζων ἐστὶ τῆς ΛΞ. καὶ ἐὰν ὁμοίως τῷ μείζονι ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τῷ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ ἴσον πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ ἀναστήσωμεν, ὡς τὸ ἀπὸ τῆς ΡΞ, συσταθήσεται τὸ πρόβλημα.

ſtituatur [per 12. 11.] à puncto Ξ circuli ΔΜΝ plano ad rectos angulos recta ΞΡ; & exceſſui, quo quadratum ex ΑΒ ſuperat quadratum ex ΛΞ, ponatur [per lem. ſubnex.] æquale quadratum quod fit ex ΞΡ, atque ΡΛ, ΡΜ, ΡΝ jungantur. quoniam igitur ΞΡ perpendicularis eſt ad planum ΔΜΝ circuli, & ad unumquamque ipſarum ΛΞ, ΜΞ, ΝΞ [per 3. def. 11.] erit perpendicularis. atque quoniam ΛΞ eſt æqualis ΞΜ, communis autem & ad rectos angulos ΞΡ, erit [per 4. 1.] baſis ΛΡ æqualis baſi ΡΜ. eadem ratione & ΡΝ utrique ipſarum ΡΛ, ΡΜ eſt æqualis: tres igitur rectæ lineæ ΡΛ, ΡΜ, ΡΝ inter ſe æquales ſunt. & quoniam quadratum ex ΞΡ ponitur æquale exceſſui, quo quadratum ex ΑΒ ſuperat quadratum ex ΛΞ; erit quadratum ex ΑΒ quadratis ex ΛΞ, ΞΡ æquale. quadratis autem ex ΛΞ, ΞΡ æquale eſt [per 47. 1.] quadratum ex ΡΛ, rectus enim angulus eſt ΛΞΡ: ergo quadratum ex ΑΒ quadrato ex ΡΛ æquale erit; ideoque ΑΒ ipſi ΡΛ eſt æqualis. ſed ipſi quidem ΑΒ æqualis eſt unaquæque ipſarum ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ; ipſi vero ΡΛ æqualis utravis ipſarum ΡΜ, ΡΝ: unaquæque igitur ipſarum ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ unicuique ipſarum ΡΛ, ΡΜ, ΡΝ eſt æqualis. quoniam vero duæ ΛΡ, ΡΜ duabus ΑΒ, ΒΓ æquales ſunt, & baſis ΛΜ ponitur æqualis baſi ΑΓ: erit [per 8. 1.] angulus ΛΡΜ æqualis angulo ΑΒΓ. eadem ratione & angulus quidem ΜΡΝ angulo ΔΕΖ, angulus autem ΛΡΝ angulo ΗΘΚ eſt æqualis: ex tribus igitur angulis planis ΛΡΜ, ΜΡΝ, ΛΡΝ, qui æquales ſunt tribus datis ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ſolidus angulus conſtitutus eſt ad Ρ, qui ſub angulis ΛΡΜ, ΜΡΝ, ΛΖΝ continetur.

Sed ſit centrum circuli in uno laterum trianguli, videlicet in ΜΝ, & ſit Ξ, atque ΞΛ jungatur: dico rurſus ΑΒ majorem eſſe ipſa ΛΞ. ſi enim non ita ſit, vel ΑΒ eſt æqualis ΛΞ vel ipſa minor. ſit primum æqualis: duæ igitur ΑΒ, ΒΓ, hoc eſt ΔΕ, ΕΖ, duabus ΜΞ, ΞΛ, hoc eſt ipſi ΜΝ, æquales ſunt. ſed ΜΝ ponitur æqualis ΔΖ; ergo



ΔΕ, ΕΖ ipſi ΔΖ ſunt æquales, quod [per 20. 1.] fieri non poteſt: non igitur ΑΒ eſt æqualis ΛΞ. ſimiliter neque minor; exinde enim majus abſurdum ſequeretur: ergo ΑΒ ipſa ΛΞ major eſt. & ſi, ſimiliter atque prius, exceſſui quo quadratum ex ΑΒ ſuperat quadratum ex ΛΞ, æquale ponatur [per lemma ſubnexum] quadratum ex ΡΞ, & ipſa ΡΞ circuli plano ad rectos angulos conſtituatur, fiet problema.

Deinde

Deinde vero ſit centrum circuli extra triangulum ΛMN, ſitque Ξ, atque ΛΞ, MΞ, NΞ jungantur: dico & ſic AB ipſa ΛΞ majorem eſſe. ſi enim non ita ſit, vel æqualis eſt, vel minor. ſit primum æqualis: duæ ideo AB, BΓ duabus MΞ, ΞΛ æquales ſunt altera alteri, & baſis AΓ etiam æqualis baſi MΛ: angulus igitur ABΓ [per 8. 1.] æqualis eſt angulo MΞΛ. eadem ratione & HΘK angulus ipſi ΛΞN eſt æqualis: quare totus MΞN eſt æqualis duobus ABΓ, HΘK. ſed & anguli ABΓ, HΘK angulo ΔEZ majores ſunt: & angulus igitur MΞN ipſo ΔEZ eſt major. & quoniam duæ ΔE, EZ duabus MΞ, ΞN æquales ſunt, & baſis ΔZ æqualis baſi MN; erit [per 8. 1.] MΞN angulus angulo ΔEZ æqualis. oſtenſus autem eſt major, quod eſt abſurdum: non igitur AB eſt æqualis ΛΞ. deinceps vero oſtendemus neque minorem eſſe: quare major neceſſario erit. & ſi rurſus circuli plano ad rectos angulos conſtituamus ΞP, & ipſam æqualem ponamus [per lem. ſubnexum] lateri quadrati ejus, quo quadratum ex AB ſuperat quadratum ex ΛΞ, problema conſtituetur. dico autem neque minorem eſſe AB ipſa ΛΞ. ſi enim fieri poteſt, ſit minor; & ipſi quidem AB æqualis ponatur ΞO, ipſi vero BΓ æqualis ΞΠ, & OΠ jungatur. quoniam igitur AB ipſi BΓ eſt æqualis, erit ΞO æqualis ΞΠ: ergo & reliqua OΛ reliquæ ΠM æqualis: parallela igitur eſt [per 2. 6.] ΛM ipſi ΠO, adeoque triangulum ΛMΞ triangulo ΠΞO æquiangulum: quare [per 4. 6.] ut ΛΞ ad ΛM ita ΞO ad OΠ; & permutando ut ΛΞ ad ΞO ita ΛM ad OΠ. major autem eſt ΛΞ quam ΞO; ergo ΛM quam OΠ eſt major. ſed [per conſtr.] ΛM eſt æqualis AΓ; quare & AΓ ipſa OΠ major erit. itaque quoniam duæ AB, BΓ duabus OΞ, ΞΠ ſunt æquales altera alteri, & baſis AΓ major eſt baſi OΠ; erit [per 25. 1.] angulus ABΓ angulo OΞΠ major. ſimiliter & ſi ΞP ſumatur æqualis utrivis ipſarum ΞO, ΞΠ, & jungatur OP, oſtendemus angulum HΘK angulo OΞP eſſe majorem. conſtituatur ad rectam lineam ΛΞ & ad punctum in ipſa Ξ angulo quidem ABΓ æqualis angulus ΛΞΣ, angulo autem HΘK æqualis

Ἀλλὰ δὴ ἔστω τὸ κέντρον τοῦ κύκλου ἐκτὸς τοῦ ΛMN τριγώνου, καὶ ἔστω τὸ Ξ, καὶ ἐπεζεύχθωσαν αἱ ΛΞ, MΞ, NΞ· λέγω δὴ ὅτι μείζων ἐστὶν ἡ AB τῆς ΛΞ. εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν, ἢ ἐλάττων. ἔστω πρότερον ἴση· δύο δὴ αἱ AB, BΓ δυσὶ ταῖς MΞ, ΞΛ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ AΓ βάσει τῇ MΛ ἐστιν ἴση· γωνία ἄρα ἡ ὑπὸ ABΓ γωνίᾳ τῇ ὑπὸ MΞΛ ἴση ἐστί. Διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ HΘK τῇ ὑπὸ ΛΞN ἐστιν ἴση· ὅλη ἄρα ἡ ὑπὸ MΞN δυσὶ ταῖς ὑπὸ ABΓ, HΘK ἐστιν ἴση. ἀλλὰ καὶ αἱ ὑπὸ ABΓ, HΘK τῶν ὑπὸ ΔEZ μείζονές εἰσι· καὶ ἡ ὑπὸ MΞN ἄρα τῆς ὑπὸ ΔEZ μείζων ἐστί. καὶ ἐπεὶ δύο αἱ ΔE, EZ δυσὶ ταῖς MΞ, ΞN ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΔZ βάσει τῇ MN ἴση· γωνία ἄρα ἡ ὑπὸ MΞN γωνίᾳ τῇ ὑπὸ ΔEZ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ μείζων, ὅπερ ἄτοπον· οὐκ ἄρα ἴση ἡ AB τῇ ΛΞ. ἐχῆς δὲ δείξομεν, ὅτι οὐδὲ ἐλάττων· μείζων ἄρα. καὶ ἐὰν πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ πάλιν ἀναστήσωμεν τὸ ΞP, καὶ ἴσῃ αὐτῇ ὑποθώμεθα, ᾧ μείζον δύναται τὸ ἀπὸ τῆς AB τοῦ ἀπὸ τῆς ΛΞ, συσταθήσεται τὸ πρόβλημα. λέγω δὴ ὅτι οὐδὲ ἐλάττων ἐστὶν ἡ AB τῆς ΛΞ. εἰ γὰρ δυνατὸν, ἔστω· καὶ κείσθω τῇ μὲν AB ἴση ἡ ΞO, τῇ δὲ BΓ ἴση ἡ ΞΠ, καὶ ἐπεζεύχθω ἡ OΠ. καὶ



ἐπεὶ ἴση ἐστὶν ἡ AB τῇ BΓ, ἴση ἐστὶ καὶ ἡ ΞO τῇ ΞΠ· ὥστε καὶ λοιπὴ ἡ OΛ λοιπῇ τῇ ΠM ἐστιν ἴση· παράλληλος ἄρα ἐστὶν ἡ ΛM τῇ ΠO, καὶ ἰσογώνιον τὸ ΛMΞ τριγώνον τῷ ΠΞO τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΛΞ πρὸς τὴν ΛM οὕτως ἡ ΞO πρὸς τὴν OΠ, καὶ ἐναλλὰξ ὡς ἡ ΛΞ πρὸς τὴν ΞO οὕτως ἡ ΛM πρὸς τὴν OΠ. μείζων δὲ ἡ ΛΞ τῆς ΞO· μείζων ἄρα καὶ ἡ ΛM τῆς OΠ. ἀλλὰ ἡ ΛM τῇ AΓ ἐστιν ἴση· καὶ ἡ AΓ ἄρα τῆς OΠ ἐστι μείζων. ἐπεὶ οὖν δύο αἱ AB, BΓ δυσὶ ταῖς OΞ, ΞΠ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ AΓ βάσεως τῆς OΠ μείζων ἐστὶ· γωνία ἄρα ἡ ὑπὸ ABΓ γωνίας τῆς ὑπὸ OΞΠ μείζων ἐστίν. ὁμοίως δὴ κἂν τιθῶ Ξ P ἴσην ἑκατέραν τῶν ΞO, ΞΠ δεικνύωμεν, καὶ ἐπιζεύξωμεν τὴν OP, δείξομεν ὅτι ἡ ὑπὸ HΘK γωνία τῆς ὑπὸ OΞP μείζων ἐστίν. συνιστάτω δὴ πρὸς τῇ ΛΞ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ξ τῇ μὲν ὑπὸ ABΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΛΞΣ, τῇ δὲ ὑπὸ HΘK

ἴση

ἴση ἡ ὑπὸ ΛΞΤ, καὶ κείσθω ἑκατέρα τῶν ΞΣ, ΞΤ τῇ ΟΞ ἴση, καὶ ἐπεζεύχθωσαν αἱ ΟΣ, ΟΤ, ΣΤ. Καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΟΞ, ΞΣ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΟΞΣ ἴση· βάσις ἄρα ἡ ΑΓ, τουτέστιν ἡ ΛΜ, βάσει τῇ ΟΣ ἐστιν ἴση. Διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΛΝ τῇ ΟΤ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΜΛ, ΛΝ δυσὶ ταῖς ΟΣ, ΟΤ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΜΛΝ γωνίας τῆς ὑπὸ ΣΟΤ μείζων ἐστί· βάσις ἄρα ἡ ΜΝ βάσεως τῆς ΣΤ μείζων ἐστίν. ἀλλὰ ἡ ΜΝ τῇ ΔΖ ἐστιν ἴση· καὶ ἡ ΔΖ ἄρα τῆς ΣΤ μείζων ἐστιν. ἐπεὶ οὖν δύο αἱ ΔΕ, ΕΖ δυσὶ ταῖς ΣΞ, ΞΤ ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΔΖ βάσεως τῆς ΣΤ μείζων· γωνία ἄρα ἡ ὑπὸ ΔΕΖ γωνίας τῆς ὑπὸ ΣΞΤ μείζων ἐστίν. ἴση δὲ ἡ ὑπὸ ΣΞΤ τῇ ὑπὸ ΑΒΓ, ΗΘΚ· καὶ ἡ ἄρα ὑπὸ ΔΕΖ τῶν ὑπὸ ΑΒΓ, ΗΘΚ μείζων ἐστίν. ἀλλὰ καὶ ἐλάττων, ὅπερ ἀδύνατον.

ΛΗΜΜΑ.

Ὅτι δὲ πρόπον ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ ἐκείνῳ ἴσον λαβεῖν ἐστι τὸ ἀπὸ τῆς ΞΡ, δείξομεν οὕτως.



Ἐκκείσθωσαν αἱ ΑΒ, ΛΞ εὐθεῖαι, καὶ ἔστω μεῖζων ἡ ΑΒ, καὶ γεγράφθω ἐπ' αὐτῆς ἡμικύκλιον τὸ ΑΒΓ, καὶ εἰς τὸ ΑΒΓ ἡμικύκλιον ἐναρμόσθω τῇ ΛΞ εὐθείᾳ ἴση ἡ ΑΓ, καὶ ἐπεζεύχθω ἡ ΒΓ.

Ἐπεὶ οὖν ἐν ἡμικυκλίῳ τῷ ΑΒΓ γωνία ἐστὶν ἡ ὑπὸ ΑΓΒ, ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΑΓΒ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῆς ΑΓ καὶ τῷ ἀπὸ τῆς ΓΒ· ὥστε τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΑΓ μεῖζόν ἐστι τῷ ἀπὸ τῆς ΓΒ. ἴση δὲ ἡ ΑΓ τῇ ΛΞ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ μεῖζόν ἐστι τῷ ἀπὸ τῆς ΓΒ. ἐὰν οὖν τῇ ΓΒ ἴσῳ τῇ ΞΡ ἀποτιθῶμεν, ἔσται τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ μεῖζον τῷ ἀπὸ τῆς ΞΡ. ὅπερ προσῆκεν ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ κδ'.

Ἐὰν στερεὸν ὑπὸ παραλλήλων ἐπιπέδων περιέχηται, τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστι.

Στερεὸν γὰρ τὸ ΓΔΘΗ ὑπὸ παραλλήλων ἐπιπέδων περιεχέσθω τῶν ΑΓ, ΗΖ, ΑΘ, ΔΖ, ΖΒ, ΑΕ· λέγω ὅτι τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστιν.

Ἐπεὶ γὰρ δύο ἐπίπεδα παράλληλα τὰ ΒΗ, ΓΕ ὑπὸ ἐπιπέδου τοῦ ΑΓ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσι· παράλληλος ἄρα ἡ ΑΒ τῇ ΔΓ. πάλιν, ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΒΖ, ΔΕ ὑπὸ ἐπιπέδου τοῦ ΑΓ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσι· παράλληλος ἄρα ἐστὶν ἡ ΑΔ τῇ ΒΓ. ἐδείχθη δὲ καὶ ἡ ΑΒ τῇ ΔΓ παράλληλος· παρ-

ΛΞ, & ponatur utraque ΞΣ, ΞΤ ipſi ΟΞ æqualis, junganturque ΟΣ, ΟΤ, ΣΤ. quoniam autem duæ ΑΒ, ΒΓ duabus ΟΞ, ΞΣ æquales ſunt, & angulus ΑΒΓ æqualis angulo ΟΞΣ, erit [per 4.1.] baſis ΑΓ, hoc eſt ΛΜ, baſi ΟΣ æqualis. eadem ratione & ΛΝ eſt æqualis ipſi ΟΤ. & quoniam duæ ΜΛ, ΛΝ duabus ΟΣ, ΟΤ ſunt æquales, & angulus ΜΛΝ major angulo ΣΟΤ; erit [per 24.1.] & baſis ΜΝ baſi ΣΤ major. ſed ΜΝ eſt æqualis ΔΖ: ergo & ΔΖ quam ΣΤ major erit. quoniam igitur duæ ΔΕ, ΕΖ duabus ΣΞ, ΞΤ æquales ſunt, & baſis ΔΖ major baſi ΣΤ; erit [per 25.1.] angulus ΔΕΖ angulo ΣΞΤ major. æqualis autem eſt angulus ΣΞΤ angulis ΑΒΓ, ΗΘΚ: ergo ΔΕΖ angulus angulis ΑΒΓ, ΗΘΚ major eſt. ſed & minor, quod fieri non poteſt.

LEMMA.

Quo autem modo ſumatur quadratum ex ΡΞ æquale ei, quo quadratum ex ΑΒ ſuperat quadratum ex ΛΞ, ita oſtendemus.

Exponantur rectæ lineæ ΑΒ, ΛΞ, ſitque major ΑΒ, & ab ipſa deſcribatur ſemicirculus ΑΒΓ: & in ΑΒΓ aptetur recta linea ΑΓ ipſi ΛΞ æqualis, & ΒΓ jungatur.

Itaque quoniam angulus ΑΓΒ eſt in ſemicirculo ΑΒΓ, erit [per 31.3.] ΑΓΒ rectus. quadratum igitur quod fit ex ΑΒ æquale eſt [per 47.1.] & quadrato quod ex ΑΓ & ei quod ex ΓΒ: ergo quadratum ex ΑΒ ſuperat quadratum ex ΑΓ quadrato ex ΓΒ. æqualis autem eſt ΑΓ ipſi ΛΞ: quadratum igitur ex ΑΒ ſuperat quadratum ex ΛΞ quadrato ex ΓΒ. quare ſi ipſi ΓΒ æqualem ſumamus ΞΡ, quadratum ex ΑΒ ſuperabit quadratum ex ΛΞ eo quod fit ex ΞΡ quadrato. quod facere ſuſcepimus.

PROP. XXIV. THEOR.

Si ſolidum parallelis planis contineatur, oppoſita ipſius plana & æqualia & parallelogramma ſunt.

Solidum enim ΓΔΘΗ ſub parallelis planis ΑΓ, ΗΖ, ΑΘ, ΔΖ, ΖΒ, ΑΕ contineatur: dico oppoſita ejus plana & æqualia & parallelogramma eſſe.

Quoniam enim duo plana parallela ΒΗ, ΓΕ à plano ΑΓ ſecantur, communes ipſorum ſectiones [per 16. 11.] parallelæ ſunt: ergo ΑΒ ipſi ΔΓ eſt parallela. rurſus, quoniam duo plana parallela ΒΖ, ΑΕ ſecantur à plano ΑΓ, communes ipſorum ſectiones parallelæ ſunt: parallela igitur eſt ΑΔ ipſi ΒΓ. oſtenſa autem eſt & ΑΒ parallela ipſi ΔΓ: ergo ΑΓ

parallelogrammum eſt. ſimiliter demonſtrabimus & unumquodque ipſorum Δ Z, Z H, H B, B Z, A E parallelogrammum eſſe.

Jungantur A Θ, Δ Z. & quoniam parallela eſt A B quidem ipſi Δ Γ, B Θ vero & ipſi Γ Z; duæ quidem A B, B Θ ſeſe tangentes duabus rectis Δ Γ, Γ Z ſeſe tangentibus parallelæ erunt, & non in eodem plano: quare [per 10. 11.] æquales angulos continebunt: angulus igitur A B Θ angulo Δ Γ Z eſt æqualis. & quoniam [per 34. 1.] duæ A B, B Θ duabus Δ Γ, Γ Z æquales ſunt, & angulus A B Θ æqualis angulo Δ Γ Z; erit [per 4. 1.] baſis A Θ baſi Δ Z æqualis, & A B Θ triangulum æquale triangulo Δ Γ Z. & eſt [per 34. 1.] ipſius quidem A B Θ trianguli duplum B H parallelogrammum; ipſius vero Δ Γ Z trianguli duplum parallelogrammum Γ E; erit ergo B H parallelogrammum æquale parallelogrammo Γ E. ſimiliter demonſtrabimus & A Γ parallelogrammum parallelogrammo H Z, & parallelogrammum A E parallelogrammo B Z æquale eſſe.



Si igitur ſolidum parallelis planis contineatur, oppoſita ipſius plana & æqualia & parallelogramma ſunt. quod erat demonſtrandum.

εαλληλόγραμμον ἄρα τὸ Α Γ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκάτερον τῶν Δ Ζ, Ζ Η, Η Β, Β Ζ, Α Ε παραλληλόγραμμόν ἐστιν.

Ἐπεζεύχθωσαν αἱ Α Θ, Δ Ζ. ἐπεὶ παράλληλός ἐστιν ἡ μὲν Α Β τῇ Δ Γ, ἡ δὲ Β Θ τῇ Γ Ζ· δύο δὴ αἱ Α Β, Β Θ ἁπτόμεναι ἀλλήλων τοῖς δύο εὐθείαις ταῖς Δ Γ, Γ Ζ ἁπτομέναις ἀλλήλων ᾗ μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· ἴσας ἄρα γωνίας περιέχουσιν· ἴση ἄρα ἡ ὑπὸ Α Β Θ γωνία τῇ ὑπὸ Δ Γ Ζ. καὶ ἐπεὶ δύο αἱ Α Β, Β Θ δυσὶ ταῖς Δ Γ, Γ Ζ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ Α Β Θ γωνίᾳ τῇ ὑπὸ Δ Γ Ζ ἴση· βάσις ἄρα ἡ Α Θ βάσει τῇ Δ Ζ ἴση ἐστὶν, καὶ τὸ Α Β Θ τρίγωνον τῷ Δ Γ Ζ τριγώνῳ ἴσον ἐστί. καὶ ἐστὶ τοῦ μὲν Α Β Θ διπλάσιον τὸ Β Η παραλληλόγραμμον, τοῦ δὲ Δ Γ Ζ διπλάσιον τὸ Γ Ε παραλληλόγραμμον· ἴσον ἄρα τὸ Β Η παραλληλόγραμμον τῷ Γ Ε παραλληλογράμμῳ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ τὸ μὲν Α Γ τῷ Η Ζ ἐστιν ἴσον, τὸ δὲ Α Ε τῷ Β Ζ.

Ἐὰν ἄρα στερεὸν ὑπὸ παραλλήλων ἐπιπέδων περιέχηται, τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXV. Theor.

Si ſolidum parallelepipedum plano ſecetur oppoſitis planis parallelo, erit ut baſis ad baſim ita ſolidum ad ſolidum.

ΠΡΟΤΑΣΙΣ κε'.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ τμηθῇ παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις, ἔσται ὡς ἡ βάσις πρὸς τὴν βάσιν οὕτω τὸ στερεὸν πρὸς τὸ στερεόν.

SOlidum enim parallelepipedum A B Γ Δ plano Υ Ε ſecetur oppoſitis planis P A, Δ Θ parallelo: dico ut baſis A E Z Φ ad baſim E Θ Γ Z ita eſſe A B Z Υ ſolidum ad ſolidum E H Γ Δ.

Producatur enim A Θ ex utraque parte, & ponantur ipſi quidem E Θ æquales quotcunque Θ M, M N, ipſi vero A E æquales quotcunque A K, K Λ, & compleantur parallelogramma Λ O, K Φ, Θ X, M Σ, & ſolida Λ Π, K Ψ, Δ M, M Υ. quoniam igitur æquales inter ſe ſunt Λ K, K A, A E rectæ lineæ, erunt [per 38. 1.] & parallelogramma Λ O, K Φ, A Z inter ſe æqualia, itemque æqualia inter ſe parallelogramma K Z, K B, A H, & adhuc [per 24. 11.] parallelogramma Λ Ψ, K Π, A P inter ſe æqualia; oppoſita enim ſunt. eadem ratione & parallelogramma B Γ, Θ X, M Σ æqualia ſunt inter ſe: itemque parallelogramma Θ H, Θ I, I N inter ſe



Στερεὸν δὴ παραλληλεπίπεδον τὸ Α Β Γ Δ ἐπιπέδῳ τῷ Υ Ε τετμήσθω παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις τοῖς Ρ Α, Δ Θ· λέγω ὅτι ἐστὶν ὡς ἡ Α Ε Ζ Φ βάσις πρὸς τὴν Ε Θ Γ Ζ βάσιν οὕτως τὸ Α Β Ζ Υ στερεὸν πρὸς τὸ Ε Η Γ Δ στερεόν.

Ἐκβεβλήθω γὰρ ἡ Α Θ ἐφ' ἑκάτερα τὰ μέρη, καὶ κείσθωσαν τῇ μὲν Ε Θ ἴσαι ὁσαιδηποτοῦν αἱ Θ Μ, Μ Ν, τῇ δὲ Α Ε ἴσαι αἱ Α Κ, Κ Λ, καὶ συμπεπληρώσθωσαν τὰ Λ Ο, Κ Φ, Θ Χ, Μ Σ παραλληλόγραμμα, καὶ τὰ Λ Π, Κ Ψ, Δ Μ, Μ Τ στερεά. ἐπεὶ ἴσαι εἰσὶν αἱ Α Κ, Κ Α, Α Ε εὐθεῖαι ἀλλήλαις, ἴσα ἐστὶ καὶ τὰ μὲν Λ Ο, Κ Φ, Α Ζ παραλληλόγραμμα ἀλλήλοις, τὰ δὲ Κ Ξ, Κ Β, Α Η ἀλλήλοις, καὶ ἔτι τὰ Λ Ψ, Κ Π, Α Ρ ἀλλήλοις· ἀπεναντίον γάρ. διὰ τὰ αὐτὰ δὴ καὶ τὰ Β Γ, Θ Χ, Μ Σ παραλληλόγραμμα ἴσα ἐστὶν ἀλλήλοις, τὰ δὲ Θ Η, Θ Ι, Ι Ν ἴσα ἐστὶν ἀλλήλοις, καὶ

καὶ ἔστι τοῦ ΔΘ, ΜΩ, ΝΤ· τρία ἄρα ἐπίπεδα τὰ ΑΠ, ΚΡ, ΑΤ στερεῶν τρισὶν ἐπιπέδοις ἴσων ἴσα. ἀλλὰ τὰ τρία τρισὶ τοῖς ἀπεναντίον ἴσων ἴσα· τὰ ἄρα τρία στερεὰ τὰ ΑΠ, ΚΡ, ΑΤ ἴσα ἀλλήλοις ἐστί. διὰ τὰ αὐτὰ δὴ καὶ τὰ τρία στερεὰ τὰ ΕΔ, ΔΜ, ΜΤ ἴσα ἀλλήλοις ἐστίν· ὁσαπλάσιον ἄρα ἡ ΑΖ βάσις τῆς ΑΖ βάσεως τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΑΤ στερεὸν τοῦ ΑΥ στερεοῦ. διὰ τὰ αὐτὰ δὴ ὁσαπλασίων ἐστὶν ἡ ΝΖ βάσις τῆς ΖΘ βάσεως τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΝΤ στερεὸν τοῦ ΘΥ στερεοῦ. καὶ εἰ ἴση ἐστὶν ἡ ΑΖ βασις τῇ ΝΖ βάσει ἴσον καὶ τὸ ΑΤ στερεὸν τῷ ΝΥ στερεῷ, καὶ εἰ ὑπερέχει ἡ ΑΖ βάσις τῆς ΝΖ βάσεως ὑπερέχει καὶ τὸ ΑΤ στερεὸν τοῦ ΝΥ στερεοῦ, καὶ εἰ ἐλλείπει, ἐλλείπει· τεσσάρων δὴ ὄντων μεγεθῶν, δύο μὲν βάσεων τῶν ΑΖ, ΖΘ, δύο δὲ στερεῶν τῶν ΑΥ, ΥΘ, εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΑΖ βάσεως καὶ τοῦ ΑΥ στερεοῦ, ἥτις ΑΖ βάσις καὶ τὸ ΑΥ στερεόν, τῆς δὲ ΘΖ βάσεως καὶ τοῦ ΘΥ στερεοῦ, ἥτις ΝΖ βάσις καὶ τὸ ΝΥ στερεόν· καὶ δέδεικται ὅτι εἰ ὑπερέχει ἡ ΑΖ βάσις τῆς ΝΖ βάσεως, ὑπερέχει καὶ τὸ ΑΥ στερεὸν τοῦ ΝΥ· καὶ εἰ ἴση, ἴσον· καὶ εἰ ἐλλείπει, ἐλλείπει· ἔστιν ἄρα ὡς ἡ ΑΖ βάσις πρὸς τὴν ΖΘ βάσιν οὕτω τὸ ΑΥ στερεὸν πρὸς τὸ ΥΘ στερεόν. ὅπερ ἔδει δεῖξαι.

æqualia, & insuper parallelogramma ΔΘ, ΜΩ, ΝΤ: tria igitur plana solidorum ΑΠ, ΚΡ, ΑΤ tribus planis æqualia sunt. sed tria tribus oppositis sunt æqualia: ergo [per 10. def. 11.] tria solida ΑΠ, ΚΡ, ΑΤ inter se æqualia erunt. eadem ratione & tria solida ΕΔ, ΔΜ, ΜΤ sunt æqualia inter se: quotuplex igitur est basis ΑΖ ipsius ΑΖ basis totuplex est & ΑΤ solidum solidi ΑΥ. eadem ratione quotuplex est ΝΖ basis ipsius basis ΘΖ totuplex est & solidum ΝΤ ipsius ΘΥ solidi. porro si basis ΑΖ est æqualis basi ΝΖ & solidum ΑΤ solido ΝΤ erit æquale, & si ΑΖ basis superat ΝΖ basim & solidum ΑΤ solidum ΝΤ superabit, & si minor minus: quatuor igitur magnitudinibus expositis, duabus scilicet basibus ΑΖ, ΖΘ, & duobus solidis ΑΥ, ΥΘ, sumpta sunt æque multiplicia, basis quidem ΑΖ & ΑΥ solidi, videlicet basis ΑΖ & solidum ΑΥ; basis vero ΘΖ & ΘΥ solidi, nempe basis ΝΖ & solidum ΝΥ: demonstratum autem est si basis ΑΖ superat basim ΝΖ, & ΑΥ solidum solidum ΝΥ superare; & si æqualis, æquale; & si minor, minus: est igitur [per 5. def. 5.] ut ΑΖ basis ad basim ΖΘ ita ΑΥ solidum ad solidum ΥΘ. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Πρὸς τῇ δοθείσῃ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῇ δοθείσῃ στερεᾷ γωνίᾳ ἴσην στερεὰν γωνίαν συστήσασθαι.

PROP. XXVI. PROBL.

Ad datam rectam lineam & ad datum in ipsa punctum dato angulo solido æqualem angulum constituere.

Ἔστω ἡ μὲν δοθεῖσα ἡ ΑΒ, τὸ δὲ πρὸς αὐτῇ σημεῖον τὸ Α, ἡ δὲ δοθεῖσα στερεὰ γωνία ἡ πρὸς τὸ Δ περιεχομένη ὑπὸ τῶν ΕΔΓ, ΕΔΖ, ΖΔΓ γωνιῶν ἐπιπέδων· δεῖ δὴ πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ πρὸς τῷ Δ στερεᾷ γωνίᾳ ἴσην στερεὰν γωνίαν συστήσασθαι.

Εἰλήφθω γὰρ ἐπὶ τῆς ΔΖ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἤχθω ἀπὸ τοῦ Ζ ἐπὶ τὸ διὰ τῶν ΕΔ, ΔΓ ἐπίπεδον κάθετος ἡ ΖΗ, καὶ συμβαλλέτω τῷ ἐπιπέδῳ κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΔΗ, καὶ συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ μὲν ὑπὸ ΕΔΓ γωνίᾳ ἴσῃ ἡ ὑπὸ ΒΑΛ, τῇ δὲ ὑπὸ ΕΔΗ ἴσῃ ἡ ὑπὸ ΒΑΚ, καὶ κείσθω τῇ ΔΗ ἴση ἡ ΑΚ, καὶ ἀνεστάτω ἀπὸ τοῦ Κ σημείου τῷ διὰ τῶν ΒΑΛ ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΚΘ, καὶ κείσθω ἴση τῇ ΗΖ ἡ ΚΘ, καὶ ἐπεζεύχθω ἡ ΘΑ· λέγω ὅτι ἡ πρὸς τῷ Α στερεὰ γωνία ὑπὸ τῶν ΒΑΛ, ΒΑΘ, ΘΑΛ γωνιῶν ἴσῃ ἐστὶ τῇ πρὸς τῷ Δ στερεᾷ γωνίᾳ τῇ περιεχομένῃ ὑπὸ τῶν ΕΔΓ, ΕΔΖ, ΖΔΓ γωνιῶν.

SIT data quidem recta linea ΑΒ, datum autem in ipsa punctum Α, & datus solidus angulus ad Δ qui sub ΕΔΓ, ΕΔΖ, ΖΔΓ angulis planis contineatur: oportet vero ad datam rectam lineam ΑΒ & ad datum in ipsa punctum Α dato angulo solido ad Δ æqualem solidum angulum constituere.

Sumatur enim in linea ΔΖ quodvis punctum Ζ, à quo ad planum per ΕΔ, ΔΓ transiens [per 11. 11.] ducatur perpendicularis ΖΗ, quæ plano in puncto Η occurrat; jungaturque ΔΗ; dein [per 23. 1.] ad rectam lineam ΑΒ & ad datum in ipsa punctum Α angulo quidem ΕΔΓ æqualis angulus constituatur ΒΑΛ, angulo autem ΕΔΗ constituatur æqualis ΒΑΚ, deinde [per 3. 1.] ipsi ΔΗ ponatur æqualis ΑΚ, & à puncto Κ plano per ΒΑΛ [per 12. 11.] ad rectos angulos erigatur ΚΘ; ponaturque demum ipsi ΗΖ æqualis ΚΘ, & ΘΑ jungatur: dico angulum solidum ad Α, qui sub angulis ΒΑΛ, ΒΑΘ, ΘΑΛ comprehenditur, æqualem esse solido angulo ad Δ sub angulis ΕΔΓ, ΕΔΖ, ΖΔΓ comprehenso.

Sumantur enim æquales rectæ lineæ AB, ΔE, & jungantur ΘB, KB, ZB, HE. quoniam igitur ZH perpendicularis eſt ad ſubjectum planum; & ad omnes rectas lineas quæ ipſam contingunt ſuntque in ſubjecto plano [per 3. def. 11.] rectos faciet angulos: uterque igitur angulorum ZHΔ, ZHE rectus eſt. eadem ratione & uterque ipſorum ΘKA, ΘKB eſt rectus. & quoniam duæ KA, AB duabus HΔ, ΔE æquales ſunt altera alteri & angulos æquales continent; erit [per 4. 1.] baſis BK baſi EH æqualis. eſt autem & KΘ æqualis HZ, atque angulos rectos continent: æqualis igitur eſt & ΘB ipſi ZE. rurſus quoniam duæ AK, KΘ duabus ΔH, HZ æquales ſunt, & rectos continent angulos; erit baſis AΘ ipſi ΔZ æqualis. eſtque AB æqualis ΔE: duæ igitur ΘA, AB duabus ZΔ, ΔE ſunt æquales, & baſis ΘB eſt æqualis baſi ZE: ergo angulus BAΘ angulo EΔZ æqualis erit. eadem ratione & angulus ΘAΛ angulo ZΔΓ eſt æqualis: nempe ſi aſſumamus æquales AΛ, ΔΓ, & jungamus KΛ, ΘΛ, HΓ, ZΓ, quia totus angulus BAΛ eſt æqualis toti EΔΓ, quorum BAK ipſi EΔH ponitur æqualis; erit reliquus KAΛ æqualis reliquo HΔΓ. & quoniam duæ KA, AΛ duabus HΔ, ΔΓ æquales ſunt, & angulos æquales continent; baſis KΛ [per 4. 1.] baſi HΓ æqualis erit. eſt autem & KΘ æqualis HZ; duæ igitur ΛK, KΘ duabus ΓH, HZ ſunt æquales, angulosque rectos continent: ergo baſis ΘΛ æqualis eſt baſi ZΓ. rurſus quoniam duæ ΘA, AΛ duabus ZΔ, ΔΓ æquales ſunt, & baſis ΘΛ æqualis baſi ZΓ; erit [per 8. 1.] angulus ΘAΛ æqualis angulo ZΔΓ. atque eſt angulus BAΛ angulo EΔΓ æqualis.



Ad datam igitur rectam lineam & ad datum in ipſa punctum dato angulo ſolido æqualis angulus ſolidus conſtitutus eſt. quod erat faciendum.

Prop. XXVII. Probl.

A data recta linea dato ſolido parallelepipedo ſimile & ſimiliter poſitum ſolidum parallelepipedum deſcribere.

SIT recta quidem linea AB; datum vero ſolidum parallelepipedum ΔΓ: oportet autem à data recta linea AB dato ſolido parallelepipedo ΔΓ ſimile & ſimiliter poſitum ſolidum parallelepipedum deſcribere.

Conſtituatur enim ad rectam lineam AB & ad datum in ipſa punctum A angulo ſolido ad Γ æqualis angulus qui ſub angulis EAΘ, ΘAK,

Απειλήφθωσαν γὰρ ἴσαι αἱ AB, ΔE, καὶ ἐπεζεύχθωσαν αἱ ΘB, KB, ZE, HE. καὶ ἐπεὶ ἡ ZH ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας· ὀρθὴ ἄρα ἑκατέρα τῶν ὑπὸ ZHΔ, ZHE γωνιῶν. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΘKA, ΘKB γωνιῶν ὀρθή ἐστι. καὶ ἐπεὶ δύο αἱ KA, AB, δυσὶ ταῖς HΔ, ΔE ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ BK βάσει τῇ EH ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ KΘ τῇ ZH ἴση, καὶ γωνίας ὀρθὰς περιέχουσι· ἴση ἄρα καὶ ἡ ΘB τῇ ZE. πάλιν ἐπεὶ δύο αἱ AK, KΘ δυσὶ ταῖς ΔH, HZ ἴσαι εἰσί, καὶ γωνίας ὀρθὰς περιέχουσι· βάσις ἄρα ἡ AΘ βάσει τῇ ΔZ ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ AB τῇ ΔE ἴση· δύο δὴ αἱ ΘA, AB δυσὶ ταῖς ZΔ, ΔE ἴσαι εἰσί, καὶ βάσις ἡ ΘB βάσει τῇ ZE ἴση· γωνία ἄρα ἡ ὑπὸ BAΘ γωνίᾳ τῇ ὑπὸ EΔZ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΘAΛ τῇ ὑπὸ ZΔΓ ἴση ἐστίν· ἐπειδήπερ ἐὰν ἐπιλάβωμεν ἴσας τὰς AΛ, ΔΓ, καὶ ἐπιζεύξωμεν τὰς KΛ, ΘΛ, HΓ, ZΓ, ἐπεὶ ὅλη ἡ ὑπὸ BAΛ ὅλῃ τῇ ὑπὸ EΔΓ ἐστιν ἴση, ὧν ἡ ὑπὸ BAK τῇ ὑπὸ EΔH ὑπόκειται ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ KAΛ λοιπῇ τῇ ὑπὸ HΔΓ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ KA, AΛ δυσὶ ταῖς HΔ, ΔΓ ἴσαι εἰσί, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ KΛ βάσει τῇ HΓ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ KΘ τῇ HZ ἴση· δύο δὴ αἱ ΛK, KΘ δυσὶ ταῖς ΓH, HZ εἰσιν ἴσαι, καὶ γωνίας ὀρθὰς περιέχουσι· βάσις ἄρα ἡ ΘΛ βάσει τῇ ZΓ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΘA, AΛ δυσὶ ταῖς ZΔ, ΔΓ ἴσαι εἰσί, καὶ βάσις ἡ ΘΛ βάσει τῇ ZΓ ἐστιν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΘAΛ γωνία τῇ ὑπὸ ZΔΓ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ὑπὸ BAΛ τῇ ὑπὸ EΔΓ ἴση.



Πρὸς ἄρα τῇ δοθείσῃ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῇ δοθείσῃ στερεᾷ γωνίᾳ ἴσλεν στερεὰν γωνίαν συνέστα. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ κζ'.

Ἀπὸ τῆς δοθείσης εὐθείας τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ ὁμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν παραλληλεπίπεδον ἀναγράψαι.

ΕΣτω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ AB, τὸ δὲ δοθὲν στερεὸν παραλληλεπίπεδον τὸ ΔΓ· δεῖ δὴ ἀπὸ τῆς δοθείσης εὐθείας τῆς AB τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ τῷ ΔΓ ὁμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν παραλληλεπίπεδον ἀναγράψαι.

Συνεστάτω γὰρ πρὸς τῇ AB εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A τῇ πρὸς τῷ Γ στερεᾷ γωνίᾳ ἴση, ἡ περιεχομένη ὑπὸ τῶν BAΘ, ΘAK,

KAB,

ΚΑΒ, ὥστε ἴσην εἶναι τὴν μὲν ὑπὸ ΒΑΘ γωνίαν τῇ ὑπὸ ΕΓΖ, τὴν δὲ ὑπὸ ΒΑΚ τῇ ὑπὸ ΕΓΗ, καὶ ἔτι τὴν ὑπὸ ΚΑΘ τῇ ὑπὸ ΗΓΖ, καὶ γεγονέτω ὡς μὲν ἡ ΕΓ πρὸς τὴν ΓΗ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΚ, ὡς δὲ ἡ ΗΓ πρὸς τὴν ΓΖ οὕτως ἡ ΚΑ πρὸς τὴν ΑΘ· δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ ΕΓ πρὸς τὴν ΓΖ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΘ. καὶ συμπεπληρώσθω τὸ ΒΘ παραλληλόγραμμον καὶ τὸ ΑΛ στερεόν.



Καὶ ἐπεὶ ἐστιν ὡς ἡ ΕΓ πρὸς τὴν ΓΗ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΚ, καὶ ὡσὶ ἴσας γωνίας τὰς ὑπὸ ΕΓΗ, ΒΑΚ αἱ πλευραὶ ἀνάλογόν εἰσιν· ὅμοιον ἄρα τὸ ΗΕ παραλληλόγραμμον τῷ ΚΒ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΚΘ παραλληλόγραμμον τῷ ΗΖ παραλληλογράμμῳ ὅμοιόν ἐστι, καὶ ἔτι τὸ ΖΕ τῷ ΘΒ· τρία ἄρα παραλληλόγραμμα τοῦ ΓΔ στερεοῦ τρισὶ παραλληλογράμμοις τοῦ ΑΛ στερεοῦ ὅμοιά ἐστιν. ἀλλὰ τὰ μὲν τρία τρισὶ τοῖς ἀπεναντίον ἴσα τε ἐστὶ καὶ ὅμοια· ὅλον ἄρα τὸ ΓΔ στερεὸν ὅλῳ τῷ ΑΛ στερεῷ ὅμοιόν ἐστιν.

Ἀπὸ τῆς ἄρα δοθείσης εὐθείας τῆς ΑΒ τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ τῷ ΓΔ ὁμοίον τε καὶ ὁμοίως κείμενον στερεὸν παραλληλεπίπεδον ἀναγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

KAB contineatur, ita ut angulus quidem BAΘ æqualis ſit angulo EΓZ, angulus vero BAK angulo EΓH, & adhuc angulus KAΘ angulo HΓZ æqualis; dein [per 12. 6.] fiat ut EΓ ad ΓH ita BA ad AK, atque ut HΓ ad ΓZ ita KA ad AΘ: ergo ex æquo [per 22. 5.] ut EΓ ad ΓZ ita erit BA ad AΘ. compleantur deniq; parallelogrammum BΘ & AΛ ſolidum.

Quoniam igitur eſt ut EΓ ad ΓH ita BA ad AK; erunt circa æquales angulos EΓH, BAK latera proportionalia; ideoque [per 4. 6.] parallelogrammo KB parallelogrammum HB ſimile. eadem quoq; ratione parallelogrammum KΘ ſimile eſt parallelogrammo HZ, & parallelogrammo ΘB parallelogrammum ZE: tria igitur parallelogramma ſolidi ΓΔ tribus parallelogrammis ſolidi AΛ ſimilia ſunt. ſed [per 24. 11.] tria tribus oppoſitis ſunt æqualia & ſimilia: ergo totum ΓΔ ſolidum toti ſolido AΛ ſimile erit.

A data igitur recta linea AB dato ſolido parallelepipedo ΓΔ ſimile & ſimiliter poſitum ſolidum parallelepipedum AΛ deſcriptum eſt. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ κθ'.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ τμηθῇ κατὰ τὰς διαγωνίους τῶν ἀπεναντίον ἐπιπέδων, δίχα τμηθήσεται τὸ στερεὸν ὑπὸ τοῦ ἐπιπέδου.

Στερεὸν γὰρ παραλληλεπίπεδον τὸ ΑΒ ἐπιπέδῳ τῷ ΓΔΕΖ τετμήσθω κατὰ τὰς διαγωνίους τῶν ἀπεναντίον ἐπιπέδων τὰς ΓΖ, ΔΕ· λέγω ὅτι δίχα τμηθήσεται τὸ ΑΒ στερεὸν ὑπὸ τοῦ ΓΔΕΖ ἐπιπέδου.



Ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ μὲν ΓΗΖ τρίγωνον τῷ ΓΒΖ τριγώνῳ, τὸ δὲ ΑΔΕ τῷ ΔΕΘ, ἔστι δὲ καὶ τὸ μὲν ΓΑ παραλληλόγραμμον τῷ ΒΕ ἴσον, ἀπεναντίον γὰρ, τὸ δὲ ΗΕ τῷ ΓΘ· καὶ τὸ πρίσμα ἄρα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΓΗΖ, ΑΔΕ τριῶν δὲ παραλληλογράμμων τῶν ΗΕ, ΑΓ, ΓΕ ἴσον ἐστὶ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν ΓΖΒ, ΔΕΘ τριῶν δὲ παραλληλογράμμων τῶν ΓΘ, ΒΕ, ΓΕ, ὑπὸ γὰρ ἴσων ἐπιπέδων περιέχονται τῷ τε πλήθει καὶ τῷ μεγέθει· ὥστε ὅλον τὸ ΑΒ στερεὸν δίχα τέτμηται ὑπὸ τοῦ ΓΔΕΖ ἐπιπέδου. ὅπερ ἔδει δεῖξαι.

PROP. XXVIII. THEOR.

Si ſolidum parallelepipedum plano ſecetur per diagonales oppoſitorum planorum, ſolidum ab ipſo plano bifariam ſecabitur.

SOlidum enim parallelepipedum AB ſecetur plano ΓΔEZ per diagonales oppoſitorum planorum, videlicet ΓZ, ΔE: dico ſolidum AB à plano ΓΔEZ bifariam ſecari.

Quoniam enim æquale eſt [per 34. 1.] ΓHZ triangulum triangulo ΓBZ, triangulum vero AΔE triangulo ΔEΘ; eſt autem [per 24. 11.] & ΓA parallelogrammum parallelogrammo BE æquale, oppoſitum enim eſt; & parallelogrammum HE æquale parallelogrammo ΓΘ: erit [per 10. def. 11.] priſma contentum ſub duobus triangulis ΓHZ, AΔE & tribus parallelogrammis HE, AΓ ΓE æquale priſmati quod continetur ſub duobus triangulis ΓZB, ΔEΘ & tribus parallelogrammis ΓΘ, BE, ΓE; namque ſub planis & numero & magnitudine æqualibus continentur: ergo totum AB ſolidum à plano ΓΔEZ bifariam ſecatur. quod erat demonſtrandum.

PROP. XXIX. THEOR.

Solida parallelepipeda in eadem basi eademque altitudine, quorum insistentes lineæ in eisdem lineis rectis collocantur, inter se sunt æqualia.

SInt enim in eadem basi AB eademque altitudine solida parallelepipeda ΓM, ΓN, quorum lineæ insistentes AZ, AH, ΛM, ΛN, ΓΔ, ΓE, BΘ, BK sint in eisdem rectis lineis ZN, ΔK: dico solidum ΓM solido ΓN æquale esse.

Quoniam enim utrumque ipsorum ΓΘ, ΓK est parallelogrammum, erit [per 34. 1.] ΓB utrique ipsarum ΔΘ, EK æqualis: ergo & ΔΘ est æqualis ipsi EK. communis auferatur EΘ: reliqua igitur ΔE æqualis est reliquæ ΘK: quare [per 8. 1.] & ΔEΓ triangulum est æquale triangulo ΘKB; parallelogrammum autem ΔH [per 36. 1.] est æquale parallelogrammo ΘN. eadem ratione & AZH triangulum æquale est triangulo ΛMN. est autem [per 24. 11.] parallelogrammum ΓZ parallelogrammo BM, & parallelogrammum ΓH parallelogrammo BN æquale; oppolita enim sunt: ergo [per 10. def. 11.] & prisma contentum sub duobus triangulis AZH, ΔEΓ & tribus parallelogrammis AΔ, ΔH, HΓ est æquale prismati quod sub duobus triangulis ΛMN, ΘBK & tribus parallelogrammis BM, NΘ, BN continetur. commune apponatur solidum, cujus basis quidem parallelogrammum AB, oppositum autem ipsi HEΘM: ergo totum ΓM solidum parallelepipedum toti solido parallelepipedo ΓN est æquale.



Solida igitur parallelepipeda in eadem basi eademque altitudine, quorum insistentes lineæ in eisdem lineis rectis collocantur, inter se sunt æqualia. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κθ'.

Τὰ ὑπὶ τ αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι ὑπὶ τ αὐτῶν εἰσιν εὐθεῖαι, ἴσα ἀλλήλοις ἐστίν.

Ἐστω ὑπὶ τ αὐτῆς βάσεως τ ΑΒ στερεὰ παραλληλεπίπεδα τὰ ΓΜ, ΓΝ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα, ὧν αἱ ἐφεστῶσαι αἱ ΑΖ, ΑΗ, ΛΜ, ΛΝ, ΓΔ, ΓΕ, ΒΘ, ΒΚ ἐπὶ τ αὐτῶν εὐθειῶν ἔστωσαν τ ΖΝ, ΔΚ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΓΜ στερεὸν τῷ ΓΝ στερεῷ.

Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστιν ἑκάτερον τ ΓΘ, ΓΚ, ἴση ἐστὶν ἡ ΓΒ ἑκατέρα τ ΔΘ, ΕΚ· ὥστε καὶ ἡ ΔΘ τῇ ΕΚ ἐστιν ἴση. κοινὴ ἀφῃρήσθω ἡ ΕΘ· λοιπὴ ἄρα ἡ ΔΕ λοιπῇ τῇ ΘΚ ἐστιν ἴση· ὥστε καὶ τὸ ΔΕΓ τρίγωνον τῷ ΘΚΒ τριγώνῳ ἴσον ἐστί, τὸ δὲ ΔΗ παραλληλόγραμμον τῷ ΘΝ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΖΗ τρίγωνον τῷ ΛΜΝ τριγώνῳ ἴσον ἐστίν. ἔστι δὲ καὶ τὸ μὴν ΓΖ παραλληλόγραμμον τῷ ΒΜ παραλληλογράμμῳ ἴσον, τὸ δὲ ΓΗ τῷ ΒΝ, ἀπεναντίον γάρ· καὶ τὸ πρίσμα ἄρα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΑΖΗ, ΔΕΓ τριῶν δὲ παραλληλογράμμων τῶν ΑΔ, ΔΗ, ΗΓ ἴσον ἐστὶ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τ ΛΜΝ, ΘΒΚ τριῶν δὲ παραλληλογράμμων τῶν ΒΜ, ΝΘ, ΒΝ. κοινὸν προσκείσθω τὸ στερεόν, ᾧ βάσις μὲν τὸ ΑΒ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΗΕΘΜ· ὅλον ἄρα τὸ ΓΜ στερεὸν παραλληλεπίπεδον ὅλῳ τῷ ΓΝ στερεῷ παραλληλεπιπέδῳ ἴσον ἐστί.

Τὰ ἄρα ἐπὶ τ αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι ἐπὶ τ αὐτῶν εἰσιν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

PROP. XXX. THEOR.

Solida parallelepipeda in eadem basi eademque altitudine, quorum lineæ insistentes in eisdem lineis rectis non collocantur, inter se æqualia sunt.

SInt enim in eadem basi AB & eadem altitudine solida parallelepipeda ΓM, ΓN, quorum insistentes lineæ AZ, AH, ΛM, ΛN, ΓΔ, ΓE, BΘ, BK non sint in eisdem rectis lineis: dico solidum ΓM solido ΓN æquale esse.

Producantur enim NK, ΔΘ & etiam HE, ZM, atque conveniant inter se in punctis O, P, Π, Ξ: & AΞ, ΛO, ΓΠ, BP junganturæ

ΠΡΟΤΑΣΙΣ λ'.

Τὰ ὑπὶ τ αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ὑφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τ αὐτῶν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστί.

Ἐστω γὰρ ἐπὶ τ αὐτῆς βάσεως τ ΑΒ στερεὰ παραλληλεπίπεδα τὰ ΓΜ, ΓΝ, καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ὑφεστῶσαι αἱ ΑΖ, ΑΗ, ΛΜ, ΛΝ, ΓΔ, ΓΕ, ΒΘ, ΒΚ μὴ ἔστωσαν ἐπὶ τ αὐτῶν εὐθειῶν· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΓΜ στερεὸν τῷ ΓΝ στερεῷ.

Ἐκβεβλήσθωσαν γὰρ αἱ ΝΚ, ΔΘ καὶ ἐπὶ αἱ ΗΕ, ΖΜ, καὶ συμπιπτέτωσαν ἀλλήλαις κατὰ τὰ Ο, Ρ, Π, Ξ σημεῖα, καὶ ἐπεζεύχθωσαν ΑΞ, ΛΟ, ΓΠ, ΒΡ.

ἴσον

ἴσον δὴ ἐστὶ ΓΜ στερεὸν, ὃ βάσις μὲν τὸ ΑΓΒΛ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΖΔΘΜ τῷ ΓΟ στερεῷ, ὃ βάσις μὲν τὸ ΑΓΒΛ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΞΠΡΟ, ὅτι τὰ γὰρ τὰ αὐτῆς βάσεώς εἰσι τὸ ΑΓΒΛ, καὶ αὐτῶν αἱ ὑφεστῶσαι αἱ ΑΖ, ΑΞ, ΛΜ, ΛΟ, ΓΔ, ΓΠ, ΒΘ, ΒΡ ὅτι τῶν αὐτῶν εἰσιν εὐθειῶν τῶν ΖΟ, ΔΡ. ἀλλὰ τὸ ΓΟ στερεὸν, ὃ βάσις μὲν τὸ ΑΓΒΛ παραλληλόγραμμον ἀπεναντίον δὲ τὸ ΞΠΡΟ, ἴσον ἐστὶ τῷ ΓΝ στερεῷ, ὃ βάσις μὲν τὸ ΑΓΒΛ παραλληλόγραμμον ἀπεναντίον δὲ τὸ ΗΕΚΝ, ὅτι τὰ γὰρ τὰ αὐτῆς βάσεώς εἰσι τὸ ΑΓΒΛ, καὶ αὐτῶν αἱ ὑφεστῶσαι αἱ ΑΗ, ΑΞ, ΓΕ, ΓΠ, ΛΝ, ΛΟ, ΒΚ, ΒΡ ὅτι τῶν αὐτῶν εἰσιν εὐθειῶν τῶν ΗΠ, ΝΡ· ὥστε καὶ τὸ ΓΜ στερεὸν ἴσον ἐστὶ τῷ ΓΝ στερεῷ.



Τὰ ἄρα ἐπὶ ἴσων βάσεων στερεὰ παραλληλεπίπεδα, καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ὑφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

solidum ΓΜ, cujus baſis quidem ΑΓΒΛ parallelogrammum ipſi autem oppoſitum ΖΔΘΜ, eſt [per 29. 11.] æquale ſolido ΓΟ cujus baſis parallelogrammum ΑΓΒΛ & ei oppoſitum ΞΠΡΟ, in eadem enim ſunt baſi ΑΓΒΛ, & ipſorum inſiſtentes lineæ ΑΖ, ΑΞ, ΛΜ, ΛΟ, ΓΔ, ΓΠ, ΒΘ, ΒΡ ſunt in eiſdem rectis lineis ΖΟ, ΔΡ. ſed ſolidum ΓΟ, cujus baſis quidem parallelogrammum ΑΓΒΛ ipſi autem oppoſitum ΞΠΡΟ, eſt [per 29. 11.] æquale ſolido ΓΝ, cujus baſis ΑΓΒΛ parallelogrammum & ipſi oppoſitum ΗΕΚΝ; etenim in eadem ſunt baſi ΑΓΒΛ, & eorum inſiſtentes lineæ ΑΗ, ΑΞ, ΓΕ, ΓΠ, ΛΝ, ΛΟ, ΒΚ, ΒΡ ſunt in eiſdem rectis lineis ΗΠ, ΝΡ: quare & ſolidum ΓΜ ſolido ΓΝ æquale erit.

Solida igitur parallelepipeda in eadem baſi eademque altitudine, quorum lineæ inſiſtentes in eiſdem rectis lineis non collocantur, inter ſe æqualia ſunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λα'.

Τὰ ὑπὸ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν.

Prop. XXXI. Theor.

Solida parallelepipeda, quæ in æqualibus ſunt baſibus & eadem altitudine, inter ſe ſunt æqualia.

Ἔστω ἐπὶ ἴσων βάσεων τῶν ΑΒ, ΓΔ στερεὰ παραλληλεπίπεδα τὰ ΑΕ, ΓΖ, καὶ ὑπὸ τὸ αὐτὸ ὕψος· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΕ στερεὸν τῷ ΓΖ στερεῷ.

Sint in æqualibus baſibus ΑΒ, ΓΔ ſolida parallelepipeda ΑΕ, ΓΖ, & in eadem altitudine: dico ſolidum ΑΕ ſolido ΓΖ æquale eſſe.



Ἐφεστάτω δὴ ἀφ' ὁτέρων αἱ ἐφεστηκυῖαι αἱ ΘΚ, ΒΕ, ΑΗ, ΑΜ, ΟΠ, ΔΖ, ΓΞ, ΡΣ πρὸς ὀρθὰς τοῖς ΑΒ, ΓΔ βάσεσιν, ἡ δὲ ὑπὸ ΑΛΒ τῇ ὑπὸ ΓΡΔ ἄνισος, καὶ συνεστάτω πρὸς τῇ ΓΡ εὐθείᾳ τῇ ΓΡ εὐθείᾳ ἡ ΡΤ, καὶ συνεστάτω πρὸς τῇ ΡΤ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ρ τῇ ὑπὸ ΑΛΒ γωνίᾳ ἴση ἡ ὑπὸ ΤΡΓ, καὶ κείσθω τῇ μὲν ΑΛ ἴση ἡ ΡΤ, τῇ δὲ ΛΒ ἴση ἡ ΡΥ, καὶ πρὸς τῷ Υ σημείῳ τῇ ΡΤ εὐθείᾳ ἤχθω ἡ ΥΧ, καὶ συμπεπληρώσθω τὸ τε ΡΧ βάσις καὶ τὸ ΨΥ στερεόν. καὶ ἐπεὶ δύο αἱ ΤΡ, ΡΥ δυσὶ ταῖς ΑΛ, ΛΒ ἴσαι εἰσὶ, καὶ γωνίας ἴσας περιέχουσι

Sint autem primo inſiſtentes lineæ ΘΚ, ΒΕ, ΑΗ, ΛΜ, ΟΠ, ΔΖ, ΓΞ, ΡΣ ad rectos angulos baſibus ΑΒ, ΓΔ, angulus autem ΑΛΒ angulo ΓΡΔ ſit inæqualis, & producatur ipſi ΓΡ in directum ΡΤ, conſtituaturque [per 23. 1.] ad rectam lineam ΡΤ, & ad punctum in ipſa Ρ angulo ΑΛΒ æqualis angulus ΤΡΥ, & ponatur ipſi quidem ΑΛ æqualis ΡΤ, ipſi vero ΛΒ æqualis ΡΥ, & per punctum Υ ipſi ΡΤ parallela ducatur ΧΥ, compleanturque baſis ΡΧ & ΨΥ ſolidum. quoniam igitur duæ ΤΡ, ΡΥ duabus ΑΛ, ΛΒ æquales ſunt, & angulos continent æquales;

æquales; erit parallelogrammum PX æquale & ſimile parallelogrammo ΘΛ & rurſus quoniam ΑΛ eſt æqualis PT, & ΛM ipſi PΣ, anguloſque æquales continet; parallelogrammum PΨ parallelogrammo AM æquale & ſimile erit. eadem ratione ΛE parallelogrammum ipſi ΣT æquale eſt & ſimile: tria igitur parallelogramma ſolidi AE tribus parallelogrammis ſo-

ἴσον ἄρα καὶ ὅμοιον τὸ PX παραλληλόγραμμον τῷ ΘΛ παραλληλογράμμῳ. καὶ ἐπεὶ πάλιν ἴση ἐστὶν ἡ μὲν ΑΛ τῇ PT, ἡ δὲ ΛM τῇ PΣ, καὶ γωνίας ὀρθὰς περιέχουσιν· ἴσον ἄρα ἐστὶ καὶ ὅμοιον τὸ PΨ παραλληλόγραμμον τῷ AM παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΛE τῷ ΣT ἴσον τέ ἐστι καὶ ὅμοιον· τρία ἄρα παραλληλόγραμμα τὰ AE στερεὰ τρισὶ



lidi ΨT æqualia & ſimilia ſunt. ſed [per 24. 11.] tria tribus oppoſita æqualia ſunt & ſimilia: totum igitur AB ſolidum parallelepipedum [per 10. def. 11.] toti ſolido parallelepipedo ΨT eſt æquale. producantur ΔP, XT conveniantque inter ſe in puncto Ω, & per T ipſi ΔΩ parallela ducatur Tτ, & producantur Tτ, OΔ donec conveniant in α, compleanturque ſolida ΩΨ, PI: ſolidum igitur ΨΩ, cujus baſis eſt PΨ parallelogrammum ipſi autem oppoſitum Ωπ, eſt [per 29. 11.] æquale ſolido ΨT cujus baſis eſt PΨ parallelogrammum & ipſi oppoſitum Υ Φ, in eadem enim ſunt baſi PΨ & eadem altitudine, & eorum inſiſtentes lineæ PΩ, PT, Tτ, TX, Σσ, ΣN, Ψπ, ΨΦ in eiſdem ſunt rectis lineis ΩX, σΦ. ſed ſolidum ΨT æquale eſt ſolido AE: ergo & ΨΩ ſolido AB eſt æquale. præterea quoniam parallelogrammum PTXT [per 35. 1.] eſt æquale parallelogrammo ΩT, etenim in eadem ſunt baſi PT & in eiſdem parallelis PT, ΩX; ſed & parallelogrammum PTXT parallelogrammo ΓΔ eſt æquale, quoniam & ipſi AB: parallelogrammum igitur ΩT æquale eſt parallelogrammo ΓΔ. aliud autem eſt parallelogrammum ΔT: eſt igitur [per 7. 5.] ut ΓΔ baſis ad baſim ΔT ita ΩT ad ipſam ΔT. & quoniam ſolidum parallelepipedum ΓI ſecatur plano PZ planis oppoſitis parallelo; erit [per 25. 11.] ut ΓΔ baſis ad baſim ΔT ita ſolidum ΓZ ad PI ſolidum. eadem ratione quoniam ſolidum parallelepipedum ΩI ſecatur plano PΨ oppoſitis planis parallelo, ut ΩT baſis ad baſim ΔT ita erit ſolidum ΩΨ ad PI ſolidum. ſed ut ΓΔ baſis ad baſim ΔT ita baſis ΩT ad ipſam TΔ: ut igitur ſolidum ΓZ ad PI ſolidum ita [per 11. 5.] ſolidum ΩΨ ad ſolidum PI. quod cum utrumque ſolidorum ΓZ, ΩΨ ad ſolidum PI eandem habet rationem, ſolidum ΓZ [per 9. 5.] ſolido ΩΨ eſt æquale. ſolidum autem ΩΨ oſtenſum eſt æquale ſolido AE: ergo & AB ipſi ΓZ æquale erit. Sed non ſint inſiſtentes lineæ AH, ΘK, BE, ΛM, ΓΞ, OΠ, ΔZ, PΣ ad

παραλληλογράμμοις δὲ ΨΥ στερεὰ ἴσα ἐστὶ καὶ ὅμοια. ἀλλὰ τὰ μὲν τρία τρισὶ τοῖς ἀπεναντίον ἴσα τέ ἐστι καὶ ὅμοια· ὅλον ἄρα τὸ AE στερεὸν παραλληλεπίπεδον ὅλῳ τῷ ΨΥ στερεῷ παραλληλεπιπέδῳ ἴσον ἐστί. διήχθωσαν αἱ ΔP, XΥ καὶ συμπιπτέτωσαν ἀλλήλαις κατὰ τὸ Ω, καὶ διὰ δὲ Τ τῇ ΔΩ παράλληλος ἤχθω ἡ Tτ, καὶ συνεζεύχθωσαν ἡ Tτ καὶ ἡ OΔ καὶ συνεζεύχθωσαν κατὰ τὸ α, καὶ συμπεπληρώσθωσαν τὰ ΩΨ, PI στερεά· ἴσον δή ἐστι τὸ ΨΩ στερεὸν, ὧν βάσις μέν ἐστι τὸ PΨ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ Ωπ τῷ ΨΥ στερεῷ, ὧν βάσις ἐστὶ τὸ PΨ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ Υ Φ, διότι καὶ τὰ αὐτῆς βάσεώς εἰσι τὰ PΨ, καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, καὶ αὐτῶν αἱ ἐφεστῶσαι αἱ PΩ, PΥ, Tτ, TX, Σσ, ΣN, ΨΠ, ΨΦ ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν τῶν ΩX, σΦ. ἀλλὰ τὸ ΨΥ στερεὸν τῷ AE ἴσον ἐστί· καὶ τὸ ΨΩ ἄρα στερεὸν τῷ AE στερεῷ ἴσον ἐστί. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ PΥXT παραλληλόγραμμον τῷ ΩT παραλληλογράμμῳ, ἐπὶ τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆς PT, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις τῇ PT, ΩX, ἀλλὰ τὸ PΥXT τῷ ΓΔ ἐστιν ἴσον ἐπεὶ καὶ τῷ AB· καὶ τὸ ΩT ἄρα παραλληλόγραμμον τῷ ΓΔ ἐστιν ἴσον. ἄλλο δέ τὸ ΔT· ἔστιν ἄρα ὡς ἡ ΓΔ βάσις πρὸς τὴν ΔT οὕτως ἡ ΩT πρὸς τὴν ΔT. καὶ ἐπεὶ στερεὸν παραλληλεπίπεδόν τὸ ΓI ὑπιπέδῳ τῷ PZ τέτμηται, παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ὑπιπέδοις, ἔστιν ὡς ἡ ΓΔ βάσις πρὸς τὴν ΔT βάσιν οὕτως τὸ ΓZ στερεὸν πρὸς τὸ PI στερεόν. διὰ τὰ αὐτὰ δὴ, ἐπεὶ στερεὸν παραλληλεπίπεδόν τὸ ΩI ἐπιπέδῳ τῷ PΨ τέτμηται, παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ὑπιπέδοις, ἔστιν ὡς ἡ ΩT βάσις πρὸς τὴν ΔT βάσιν οὕτως τὸ ΩΨ στερεὸν πρὸς τὸ PI στερεόν. ἀλλ' ὡς ἡ ΓΔ βάσις πρὸς τὴν ΔT οὕτως ἡ ΩT πρὸς τὴν TΔ· καὶ ὡς ἄρα τὸ ΓZ στερεὸν πρὸς τὸ PI στερεὸν οὕτως τὸ ΩΨ στερεὸν πρὸς τὸ PI στερεόν· ἑκάτερον ἄρα τῶν ΓZ, ΩΨ στερεῶν πρὸς τὸ PI τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα τὸ ΓZ στερεὸν τῷ ΩΨ στερεῷ. ἀλλὰ τὸ ΩΨ τῷ AE ἐδείχθη ἴσον· καὶ τὸ AE ἄρα τῷ ΓZ ἐστὶν ἴσον. Μὴ ἐστωσαν δὴ αἱ ἐφεστηκυῖαι αἱ AH, ΘK, BE, ΛM, ΓΞ, OΠ, ΔZ, PΣ

πρὸς

πρὸς ὀρθὰς τὰς ΑΒ, ΓΔ βάσεσι· λέγω πάλιν ὅτι ἴσον ἐστὶ τὸ ΑΕ στερεὸν τῷ ΓΖ στερεῷ. ἤχθωσαν ἀπὸ τῶν Κ, Ε, Η, Μ, Π, Ζ, Ξ, Σ σημείων ἐπὶ τὸ ὑποκείμενον κάθετοι αἱ ΚΝ, ΕΤ, ΗΥ, ΜΦ, ΠΧ, ΖΨ, ΞΩ, ΣΙ, καὶ συμβαλλέτωσαν τῷ ἐπιπέδῳ κατὰ τὰ Ν, Τ, Υ, Φ, Χ, Ψ, Ω, Ι σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΝΤ, ΤΦ, ΝΥ, ΤΦ, ΧΨ, ΧΩ, ΩΙ, ΨΙ· ἴσον δή ἐστι τὸ ΚΦ στερεὸν τῷ ΠΙ στερεῷ· ἐπὶ τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΚΜ, ΠΣ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι πρὸς ὀρθὰς εἰσι τοῖς βάσεσιν. ἀλλὰ τὸ μὲν ΚΦ στερεὸν τῷ ΑΕ στερεῷ ἴσον ἐστί, τὸ δὲ ΠΙ τῷ ΓΖ, ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι οὐκ εἰσιν ἐπὶ τῶν αὐτῶν εὐθειῶν· καὶ τὸ ΑΕ ἄρα στερεὸν τῷ ΓΖ στερεῷ ἐστιν ἴσον.





Τὰ ἄρα ἐπὶ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

rectos angulos ipſis ΑΒ, ΓΔ baſibus: dico rurſus ſolidum ΑΕ æquale eſſe ſolido ΓΖ. ducantur [per 11. 11.] à punctis Κ, Ε, Η, Μ, Π, Ζ, Ξ, Σ ad ſubjectum planum perpendiculares ΚΝ, ΕΤ, ΗΤ, ΜΦ, ΠΧ, ΖΨ, ΞΩ, ΣΙ quæ plano in punctis Ν, Τ, Τ, Φ, Χ, Ψ, Ω, Ι occurrant, & jungantur ΝΤ, ΤΦ, ΝΤ, ΤΦ, ΧΨ, ΧΩ, ΩΙ, ΨΙ: æquale igitur eſt [per 31. 11.] ſolidum ſolido ΠΙ; in æqualibus enim ſunt ΚΦ baſibus ΚΜ, ΠΣ & in eadem altitudine, & illorum inſiſtentes ad rectos angulos ſunt baſibus. ſed [per 30. 11.] ΚΦ ſolidum ſolido ΑΕ eſt æquale; ſolidum vero ΠΙ æquale ſolido ΓΖ, ſi quidem in eadem ſunt baſi & in eadem altitudine, & illorum inſiſtentes lineæ non ſunt in eiſdem rectis lineis: ergo & ſolidum ΑΕ ſolido ΓΖ æquale erit.

Solida igitur parallelepipeda, quæ in æqualibus ſunt baſibus & eadem altitudine, inter ſe ſunt æqualia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λϐ'.

Τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις.

Ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος στερεὰ παραλληλεπίπεδα τὰ ΑΒ, ΓΔ· λέγω ὅτι τὰ ΑΒ, ΓΔ στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις, τουτέστιν ὡς ἡ ΑΕ βάσις πρὸς τὴν ΓΖ βάσιν οὕτως τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΔ στερεόν.

Παραβεβλήσθω γὰρ παρὰ τὴν ΖΗ τῷ ΑΕ ἴσον τὸ ΖΘ, καὶ διὰ τοῦ βάσεως μὲν τοῦ ΖΘ ὕψους δὲ αὐτῷ τῷ ΓΔ στερεὸν παραλληλεπίπεδον συμπεπληρώσθω τὸ ΗΚ· ἴσον δή ἐστι τὸ ΑΒ στερεὸν τῷ ΗΚ στερεῷ, ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΑΕ, ΖΘ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος. καὶ ἐπεὶ στερεὸν παραλληλεπίπεδον τὸ ΓΚ ἐπιπέδῳ τῷ ΔΗ τέμνηται, παραλλήλως ὑπὸ τῶν ἀπεναντίον ἐπιπέδοις, ἐστὶν ἄρα ὡς ἡ ΘΖ βάσις πρὸς τὴν ΓΖ βάσιν οὕτως τὸ ΘΔ στερεὸν πρὸς τὸ ΔΓ στερεόν. ἴση δὲ ἡ μὲν ΖΘ βάσις τῇ ΑΕ βάσει, τὸ δὲ ΗΚ στερεὸν τῷ ΑΒ στερεῷ· ἔστιν ἄρα καὶ ὡς ἡ ΑΕ βάσις πρὸς τὴν ΓΖ βάσιν οὕτως τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΔ στερεόν.

Τὰ ἄρα ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις. ὅπερ ἔδει δεῖξαι.





PROP. XXXII. THEOR.

Solida parallelepipeda, quæ eandem habent altitudinem, inter ſe ſunt ut baſes.

SInt ſolida parallelepipeda ΑΒ, ΓΔ, quæ eandem altitudinem habeant: dico inter ſe eſſe ut baſes; hoc eſt, ut ΑΕ baſis ad baſim ΓΖ ita ſolidum ΑΒ ad ΓΔ ſolidum.

Applicetur enim [per 45. 1.] ad ΖΗ parallelogrammo ΑΕ æquale ΖΘ, à baſi vero ΖΘ & eadem altitudine, cum ipſo ΓΔ ſolidum parallelepipedum ΗΚ compleatur: ſolidum igitur ΑΒ [per 31. 11.] ſolido ΗΚ eſt æquale; in æqualibus enim ſunt baſibus ΑΕ, ΖΘ, & in eadem altitudine. itaque quoniam ſolidum parallelepipedum ΓΚ plano ΔΗ ſecatur, oppoſitis planis parallelo; erit [per 25. 11.] ut ΘΖ baſis ad baſim ΓΖ ita ſolidum ΘΔ ad ΔΓ ſolidum. ſed baſis quidem ΖΘ baſi ΑΕ æqualis eſt, ſolidum vero ΗΚ æquale ſolido ΑΒ: & igitur eſt ut ΑΕ baſis ad baſim ΓΖ ita ſolidum ΑΒ ad ſolidum ΓΔ.

Quare ſolida parallelepipeda, quæ eandem habent altitudinem, inter ſe ſunt ut baſes. quod erat demonſtrandum.

PROP. XXXIII. THEOR.

Similia ſolida parallelepipeda inter ſe ſunt in triplicata ratione homologorum laterum.

SInt ſimilia ſolida parallelepipeda AB, ΓΔ, latus autem AE homologum ſit lateri ΓZ: dico ſolidum AB ad ΓΔ ſolidum triplicatam rationem habere ejus quam habet AE ad ΓZ.

Producantur enim EK, EΛ, EM in directum ipſis AE, HE, ΘE: & ipſi quidem ΓZ æqualis ponatur EK, ipſi vero ZN æqualis EΛ; & adhuc ipſi ZP æqualis EM, & KΛ parallelogrammum & KO ſolidum compleantur. quoniam igitur duæ EK, EA duabus ΓZ, ZN æquales ſunt; ſed & angulus KEΛ angulo ΓZN æqualis, quia & angulus AEH ipſi ΓZN æqualis eſt ob ſimilitudinem ſolidorum AB, ΓΔ; erit & KΛ parallelogrammum æquale ac ſimile parallelogrammo ΓN. eadem ratione. & parallelogrammum KM æquale eſt & ſimile parallelogrammo ΓP, & adhuc parallelogrammum OE ipſi ΔZ parallelogrammo: tria igitur parallelogramma ſolidi KO tribus parallelogrammis ſolidi ΓΔ æqualia & ſimilia ſunt. ſed [per 24. 11.] tria tribus oppoſitis æqualia ſunt & ſimilia; totum igitur KO ſolidum [per 10. def. 11.] æquale eſt & ſimile toti ſolido ΓΔ. compleatur HK parallelogrammum, & à baſibus quidem HK, KΛ parallelogrammis, altitudine vero eadem cum ipſo AB ſolida, compleantur EΞ, ΛΠ. & quoniam ob ſimilitudinem ſolidorum AB, ΓΔ eſt ut AE ad ΓZ ita EH ad ZN, & EΘ ad ZP, æqualis autem ZΓ ipſi EK, & ZN ipſi EΛ, & ZP ipſi EM; erit ut AE ad EK ita HE ad EΛ, & ΘE ad EM. ſed [per 1. 6.] ut AE quidem ad EK ita AH parallelogrammum ad parallelogrammum HK; ut autem HE ad EΛ ita HK ad KΛ, & ut ΘE ad EM ita ΠE ad KM: & igitur ut AH parallelogrammum ad parallelogrammum HK ita HK ad KΛ, & ΠE ad KM. ſed [per 32. 11.] ut AH quidem ad HK ita AB ſolidum ad ſolidum EΞ; ut autem HK ad KΛ ita ſolidum ΞE ad ΠΛ ſolidum; & ut ΠE ad KM ita ΠΛ ſolidum ad ſolidum KO: & igitur ut ſolidum AB ad ſolidum EΞ ita EΞ ad ΠΛ, & ΠΛ ad KO. ſi autem quatuor ſint magnitudines dein-



ΠΡΟΤΑΣΙΣ λγ'.

Τὰ ὅμοια στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλα ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν.

ΕΣτω ὅμοια στερεὰ παραλληλεπίπεδα τὰ AB, ΓΔ, ὁμόλογος δὲ ἔστω ἡ AE τῇ ΓZ· λέγω ὅτι τὸ AB στερεὸν πρὸς τὸ ΓΔ στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ AE πρὸς τὴν ΓZ.

Ἐκβεβλήθωσαν γὰρ ἐπ' εὐθείας ταῖς AE, HE, ΘE αἱ EK, EΛ, EM, καὶ κείσθω τῇ μὲν ΓZ ἴση ἡ EK, τῇ δὲ ZN ἴση ἡ EΛ, καὶ ἔτι τῇ ZP ἴση ἡ EM, καὶ συμπεπληρώσθω τὸ KΛ παραλληλόγραμμον, καὶ τὸ KO στερεόν. καὶ ἐπεὶ δύο αἱ EK, EΛ δυσὶ ταῖς ΓZ, ZN ἴσαι εἰσὶν, ἀλλὰ καὶ γωνία ἡ ὑπὸ KEΛ γωνίᾳ τῇ ὑπὸ ΓZN ἐστιν ἴση, ἐπειδήπερ καὶ ἡ ὑπὸ AEH τῇ ὑπὸ ΓZN ἐστιν ἴση διὰ τὴν ὁμοιότητα τῶν AB, ΓΔ στερεῶν· ἴσον ἄρα ἐστὶ καὶ ὅμοιον τὸ KΛ παραλληλόγραμμον τῷ ΓN παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν KM παραλληλόγραμμον ἴσον ἐστὶ καὶ ὅμοιον τῷ ΓP παραλληλογράμμῳ, καὶ ἔτι τὸ OE τῷ ΔZ· τρία ἄρα παραλληλόγραμμα τὰ KO στερεοῦ τρισὶ παραλληλογράμμοις τοῖς ΓΔ στερεοῖς ἴσα ἐστὶ καὶ ὅμοια. ἀλλὰ τὰ μὲν τρία τρισὶ τοῖς ἀπεναντίον ἴσα ἐστὶ καὶ ὅμοια· ὅλον ἄρα τὸ KO στερεὸν ὅλῳ τῷ ΓΔ στερεῷ ἴσον ἐστὶ καὶ ὅμοιον. συμπεπληρώσθω τὸ HK παραλληλόγραμμον, καὶ ἀπὸ βάσεων μὲν τῶν HK, KΛ παραλληλογράμμων, ὕψους δὲ αὐτὸ τῷ AB, στερεὰ συμπεπληρώσθω τὰ EΞ, ΛΠ. καὶ ἐπεὶ διὰ τὴν ὁμοιότητα τῶν AB, ΓΔ στερεῶν ἐστιν ὡς ἡ AE πρὸς τὴν ΓZ οὕτως ἡ EH πρὸς τὴν ZN, καὶ ἡ EΘ πρὸς τὴν ZP, ἴση δὲ ἡ μὲν ZΓ τῇ EK, ἡ δὲ ZN τῇ EΛ, ἡ δὲ ZP τῇ EM· ἔστιν ἄρα ὡς ἡ AE πρὸς τὴν EK οὕτως ἡ HE πρὸς τὴν EΛ, καὶ ἡ ΘE πρὸς τὴν EM. ἀλλ' ὡς μὲν ἡ AE πρὸς τὴν EK οὕτως τὸ AH παραλληλόγραμμον πρὸς τὸ HK παραλληλόγραμμον, ὡς δὲ ἡ HE πρὸς τὴν EΛ οὕτως τὸ HK πρὸς τὸ KΛ, ὡς δὲ ἡ ΘE πρὸς τὴν EM οὕτως τὸ ΠE πρὸς τὸ KM· καὶ ὡς ἄρα τὸ AH παραλληλόγραμμον πρὸς τὸ HK οὕτως τὸ HK πρὸς τὸ KΛ καὶ τὸ ΠE πρὸς τὸ KM. ἀλλ' ὡς μὲν τὸ AH πρὸς τὸ HK οὕτως τὸ AB στερεὸν πρὸς τὸ EΞ στερεόν, ὡς δὲ τὸ HK πρὸς τὸ KΛ οὕτως τὸ ΞE στερεὸν πρὸς τὸ ΠΛ στερεόν, ὡς δὲ τὸ ΠE πρὸς τὸ KM οὕτως τὸ ΠΛ στερεὸν πρὸς τὸ KO στερεόν· καὶ ὡς ἄρα τὸ AB στερεὸν πρὸς τὸ EΞ οὕτως τὸ EΞ πρὸς τὸ ΠΛ, καὶ τὸ ΠΛ πρὸς τὸ KO. ἐὰν δὲ τέσσαρα μεγέθη κατὰ τὸ

συνεχὲς

στοιχὲς ἀνάλογον ᾖ, τὸ πρῶτον πρὸς τὸ πέμπτον τριπλασίονα λόγον ἔχει ἤπερ πρὸς τὸ δεύτερον· καὶ τὸ ΑΒ ἄρα στερεὸν πρὸς τὸ ΚΟ τριπλασίονα λόγον ἔχει ἤπερ τὸ ΑΒ πρὸς τὸ ΕΞ. ἀλλ' ὡς μὲν τὸ ΑΒ πρὸς τὸ ΕΞ ἕτως τὸ ΑΗ παραλληλόγραμμον πρὸς τὸ ΗΚ, καὶ ἡ ΑΕ εὐθεῖα πρὸς τὴν ΕΚ· ὥστε καὶ τὸ ΑΒ στερεὸν πρὸς τὸ ΚΟ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΕ πρὸς τὴν ΕΚ. ἴσον δὲ τὸ μὲν ΚΟ στερεὸν τῷ ΓΔ στερεῷ, ἡ δὲ ΕΚ εὐθεῖα τῇ ΓΖ· καὶ τὸ ΑΒ ἄρα στερεὸν πρὸς τὸ ΓΔ στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος αὐτοῦ πλευρὰ ἡ ΑΕ πρὸς τὴν ὁμόλογον πλευρὰν τὴν ΓΖ. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, ἔσται ὡς ἡ πρώτη πρὸς τὴν τετάρτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης στερεὸν παραλληλεπίπεδον πρὸς τὸ ἀπὸ τῆς δευτέρας τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον· ἐπειδήπερ καὶ ἡ πρώτη πρὸς τὴν τετάρτην τριπλασίονα λόγον ἔχει ἤπερ πρὸς τὴν δευτέραν.

ceps proportionales, prima [per 11. def. 5.] ad quartam triplicatam rationem habet ejus quam habet ad ſecundam: ergo & AB ſolidum ad ſolidum KO triplicatam habet rationem ejus quam habet AB ad EΞ. ſed [per 32. 11.] ut AB ad EΞ ita AH parallelogrammum ad parallelogrammum HK, & [per 1.6.] AE recta ad ipſam EK: quare & AB ſolidum ad ſolidum KO triplicatam rationem habebit ejus quam AE habet ad EK. æquale autem eſt ſolidum KO ſolido ΓΔ, & recta EK rectæ ΓZ eſt æqualis: ergo & AB ſolidum ad ſolidum ΓΔ triplicatam habet rationem ejus quam ipſius latus homologum AE habet ad homologum latus ΓZ. quod erat demonſtrandum.

Corollarium.

Ex hoc vero manifeſtum eſt, ſi quatuor rectæ lineæ proportionales fuerint, ut prima ad quartam ita eſſe ſolidum parallelepipedum quod fit à prima ad ſolidum à ſecunda ſimile & ſimiliter deſcriptum; quoniam ſcil. prima ad quartam triplicatam rationem habet ejus quam habet ad ſecundam.

ΠΡΟΤΑΣΙΣ λδ'.

Τῶν ἴσων στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι· καὶ ὧν στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσα ἐστὶν ἐκεῖνα.

PROP. XXXIV. THEOR.

Æqualium ſolidorum parallelepipedorum baſes ſunt reciproce proportionales altitudinibus; & quorum ſolidorum parallelepipedorum baſes ſunt reciproce proportionales altitudinibus, ea inter ſe ſunt æqualia.

Ἔστω ἴσα στερεὰ παραλληλεπίπεδα τὰ ΑΒ, ΓΔ· λέγω ὅτι τῶν ΑΒ, ΓΔ στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ἔστιν ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν ἕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ στερεοῦ ὕψος.

Ἐστωσαν γὰρ πρότερον αἱ ἐφεστηκυῖαι αἱ ΑΗ, ΕΖ, ΛΒ, ΘΚ, ΓΜ, ΝΞ, ΟΔ, ΠΡ πρὸς ὀρθὰς τὰς βάσεις αὐτῶν· λέγω ὅτι ἐστὶν ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν ἕτως ἡ ΓΜ πρὸς τὴν ΑΗ. εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ΕΘ βάσις τῇ ΝΠ βάσει, ἔστι δὲ καὶ τὸ ΑΒ στερεὸν τῷ ΓΔ στερεῷ ἴσον, ἔσται καὶ ἡ ΓΜ τῇ ΑΗ ἴση. εἰ γὰρ, τῶν ΕΘ, ΝΠ βάσεων ἴσων οὐσῶν, μὴ ἔστι καὶ ἡ ΑΗ, ΓΜ ὕψη ἴσα· οὐκ ἄρα τὸ ΑΒ στερεὸν ἴσον ἔσται τῷ ΓΔ. κεῖται δὲ ἴσον· οὐκ ἄρα ἄνισον τὸ ΓΜ ὕψος τῷ ΑΗ ὕψει· ἴσον ἄρα, καὶ ἔσται ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ ἕτως ἡ ΓΜ πρὸς τὴν ΑΗ, καὶ φανερὸν ὅτι τῶν ΑΒ, ΓΔ στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι.



Μὴ ἔστω δὴ ἴση ἡ ΕΘ βάσις τῇ ΝΠ βάσει, ἀλλ' ἔστω μείζων ἡ ΕΘ. ἔστι δὴ καὶ τὸ ΑΒ στερεὸν τῷ ΓΔ στερεῷ ἴσον· μείζων ἄρα καὶ ἡ ΓΜ τῆς ΑΗ. εἰ γὰρ μὴ, ἴσον

SInt æqualia ſolida parallelepipeda AB, ΓΔ: dico ipſorum baſes eſſe reciproce proportionales altitudinibus; hoc eſt ut EΘ baſis ad baſim NΠ ita eſſe altitudinem ſolidi ΓΔ ad ſolidi AB altitudinem.

Sint enim primum inſiſtentes AH, EZ, ΛB, ΘK, ΓM, NΞ, OΔ, ΠP ad rectos angulos baſibus ipſorum: dico ut EΘ baſis ad baſim NΠ ita eſſe ΓM ad AH. ſi quidem baſis EΘ baſi NΠ ſit æqualis, eſt autem & AB ſolidum æquale ſolido ΓΔ; erit & ΓM æqualis ipſi AH. ſi enim, baſibus EΘ, NΠ æqualibus exiſtentibus, non ſint altitudines AH, ΓM æquales; neque AB ſolidum [per 31. 11.] ſolido ΓΔ æquale erit. ponitur autem æquale: non igitur inæqualis eſt altitudo ΓM altitudini AH; ergo eſt æqualis: ac propterea ut EΘ baſis ad baſim NΠ ita erit ΓM ad AH. unde conſtat ſolidorum parallelepipedorum AB, ΓΔ baſes eſſe reciproce proportionales altitudinibus.



At vero non ſit baſis EΘ æqualis baſi NΠ, ſed EΘ ſit major. eſt autem & AB ſolidum ſolido ΓΔ æquale: ergo major eſt ΓM ipſa AH. ſi enim non,

neque rurſus [per 31. 11.] forent ſolida AB, ΓΔ æqualia. ponuntur autem æqualia: itaque ponatur ΓΤ æqualis ipſi AH; & à baſi quidem NΠ, altitudine autem ΓΤ, ſolidum parallelepipedum ΦΓ compleatur. quoniam igitur ſolidum AB ſolido ΓΔ eſt æquale, aliud autem eſt ſolidum ΦΓ, & [per 7. 5.] æqualia ad idem eandem habent rationem; erit ut AB ſolidum ad ſolidum ΓΦ ita ΓΔ ſolidum ad ſolidum ΓΦ. ſed [per 32. 11.] ut AB ſolidum ad ſolidum ΓΦ ita baſis EΘ ad NΠ baſim, æqualia enim ſunt AB, ΓΦ ſolida; ut autem ſolidum ΓΔ ad ipſum ΓΦ [per 25. 11.] ita MΠ baſis ad baſim ΠΤ, & [per 1.6.] MΓ ad ΓΤ: & igitur ut baſis EΘ ad NΠ baſim ita MΓ ad ΓΤ. eſt autem ΓΤ æqualis AH; ergo & ut EΘ baſis ad baſim NΠ ita MΓ ad AH: quare ſolidorum parallelepipedorum AB, ΓΔ baſes ſunt reciproce proportionales altitudinibus.



RURSUS, ſolidorum parallelepipedorum AB, ΓΔ baſes ſint reciproce proportionales altitudinibus; ſitque ut EΘ baſis ad baſim MΠ ita ſolidi ΓΔ altitudo ad altitudinem ſolidi AB: dico ſolidum AB ſolido ΓΔ æqualem eſſe.

Sint enim rurſus inſiſtentes ad rectos angulos baſibus. & ſi quidem baſis EΘ ſit æqualis baſi NΠ, eſtque ut EΘ baſis ad baſim NΠ ita altitudo ſolidi ΓΔ ad ſolidi AB altitudinem: erit ſolidi ΓΔ altitudo altitudini ſolidi AB æqualis. ſolida autem parallelepipeda, quæ ſunt in æqualibus baſibus & eadem altitudine [per 31. 11.] inter ſe æqualia ſunt: ergo ſolidum AB ſolido ΓΔ eſt æquale.

Sed non ſit EΘ baſis æqualis baſi NΠ, & ſit EΘ major. major igitur eſt & ſolidi ΓΔ altitudo altitudine ſolidi AB, hoc eſt, ΓM ipſa AH. ponatur rurſus ipſi AH æqualis ΓΤ, & ſimiliter ſolidum ΓΦ compleatur. itaque quoniam eſt ut EΘ baſis ad baſim NΠ ita ΓM ad ipſam AH: æqualis autem eſt AH ipſi ΓΤ; erit ut baſis EΘ ad NΠ baſim ita MΓ ad ΓΤ. ſed [per 32. 11.] ut baſis EΘ ad NΠ baſim ita AB ſolidum ad ſolidum ΓΦ, æquealta enim ſunt ſolida AB, ΓΦ; ut autem MΓ ad ΓΤ ita [per 1.6.] & MΠ baſis ad baſim ΠΤ, & [per 25. 11.] ſolidum ΓΔ ad ΓΦ ſolidum: & igitur ut ſolidum AB ad ſolidum ΓΦ ita ſolidum ΓΔ ad ſolidum ΓΦ: igitur utrumque ſolidorum AB, ΓΔ ad ipſum ΓΦ eandem rationem habet; erit igitur [per 9. 5.] AB ſolidum ſolido ΓΔ æquale. quod erat demonſtrandum.



ἄρα πάλιν τὰ AB, ΓΔ στερεὰ ἴσα ἔσται· ὑπόκειται δὲ ἴσα. κείσθω ἴση τῇ AH ἴση ἡ ΓΤ, καὶ συμπεπληρώσθω ὑπὸ βάσεως μὲν τῆς NΠ, ὕψους δὲ τοῦ ΓΤ, στερεὸν παραλληλεπίπεδον τὸ ΦΓ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ AB στερεὸν τῷ ΓΔ στερεῷ, ἄλλο δέ τι τὸ ΦΓ, τὰ δὲ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον· ὡς ἄρα τὸ AB στερεὸν πρὸς τὸ ΓΦ στερεόν ἐστιν τὸ ΓΔ στερεὸν πρὸς τὸ ΓΦ στερεόν. ἀλλ' ὡς μὲν τὸ AB στερεὸν πρὸς τὸ ΓΦ στερεόν ἐστιν ἡ EΘ βάσις πρὸς τὴν NΠ βάσιν, ἰσουψῆ γὰρ τὰ AB, ΓΦ στερεά· ὡς δὲ τὸ ΓΔ στερεὸν πρὸς τὸ ΓΦ στερεόν ἐστιν ἡ MΠ βάσις πρὸς τὴν ΠΤ βάσιν, καὶ ἡ MΓ πρὸς τὴν ΓΤ· καὶ ὡς ἄρα ἡ EΘ βάσις πρὸς τὴν NΠ βάσιν ἐστὶν ἡ MΓ πρὸς τὴν ΓΤ. ἴση δὲ ἡ ΓΤ τῇ AH· καὶ ὡς ἄρα ἡ EΘ βάσις πρὸς τὴν NΠ βάσιν ἐστὶν ἡ MΓ πρὸς τὴν AH· τῶν AH, ΓΔ ἄρα στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν.



ΠΑΛΙΝ δὴ τῶν AB, ΓΔ στερεῶν παραλληλεπιπέδων ἀντιπεπονθέτωσαν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ἔστω ὡς ἡ EΘ βάσις πρὸς τὴν NΠ βάσιν οὕτως τὸ Ξ ΓΔ στερεὸν ὕψος πρὸς τὸ τοῦ AB στερεοῦ ὕψος· λέγω ὅτι ἴσον ἐστὶ τὸ AB στερεὸν τῷ ΓΔ στερεῷ.

Ἐστωσαν γὰρ πάλιν αἱ ἐφεξῆς πρὸς ὀρθὰς τοῖς βάσεσιν. καὶ εἰ μὲν ἴση ἐστὶν ἡ EΘ βάσις τῇ NΠ βάσει, καὶ ἔστιν ὡς ἡ EΘ βάσις πρὸς τὴν NΠ βάσιν οὕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ AB στερεοῦ ὕψος· ἴσον ἄρα ἐστὶ καὶ τὸ Ξ ΓΔ στερεοῦ ὕψος τῷ τοῦ AB στερεοῦ ὕψει. τὰ δὲ ἐπὶ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ἴσων τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ AB στερεὸν τῷ ΓΔ στερεῷ.

Μὴ ἔστω δὴ ἡ EΘ βάσις τῇ NΠ ἴση, καὶ ἔστω μείζων ἡ EΘ· μεῖζον ἄρα ἐστὶ τὸ Ξ ΓΔ στερεὸν ὕψος τοῦ AB στερεοῦ ὕψους, τετμήσθω ἡ ΓM τῇ AH. κείσθω τῇ AH ἴση πάλιν ἡ ΓΤ, καὶ συμπεπληρώσθω ὁμοίως τὸ ΓΦ στερεόν. ἐπεὶ οὖν ἐστιν ὡς ἡ EΘ βάσις πρὸς τὴν NΠ βάσιν οὕτως ἡ ΓM πρὸς τὴν AH, ἴση δὲ ἡ AH τῇ ΓΤ· ἔστιν ἄρα ὡς ἡ EΘ βάσις πρὸς τὴν NΠ βάσιν οὕτως ἡ MΓ πρὸς τὴν ΓΤ. ἀλλ' ὡς μὲν ἡ EΘ βάσις πρὸς τὴν NΠ βάσιν οὕτως τὸ AB στερεὸν πρὸς τὸ ΓΦ στερεόν, ἰσουψῆ γάρ ἐστι τὰ AB, ΓΦ στερεά, ὡς δὲ ἡ MΓ πρὸς τὴν ΓΤ οὕτως ἦν ἡ MΠ βάσις πρὸς τὴν ΠΤ βάσιν, καὶ τὸ ΓΔ στερεὸν πρὸς τὸ ΓΦ· καὶ ὡς ἄρα τὸ AB στερεὸν πρὸς τὸ ΓΦ οὕτως τὸ ΓΔ στερεὸν πρὸς τὸ ΓΦ στερεόν· ἑκάτερον ἄρα τῶν AB, ΓΔ πρὸς τὸ ΓΦ τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα τὸ AE στερεὸν τῷ ΓΔ στερεῷ. ὅπερ ἔδει δεῖξαι.



Μὴ

Μὴ ἔστωσαν δὴ αἱ ἐφεστηκυῖαι αἱ ΖΕ, ΒΑ, ΗΑ, ΚΘ, ΞΝ, ΔΟ, ΜΓ, ΡΠ πρὸς ὀρθὰς τὰ βάσεσιν αὐτῶν, καὶ ἤχθωσαν ἀπὸ τῶν Ζ, Η, Β, Κ, Ξ, Μ, Δ, Ρ σημείων ἐπὶ τὰς τῶν ΕΘ, ΝΠ βάσεων ἐπιπέδοις κάθετοι, καὶ συμβαλλέτωσαν τοῖς ἐπιπέδοις κατὰ τὰ Σ, Τ, Υ, Φ, Χ, Ψ, α, Ω σημεῖα, καὶ συμπεπληρώσθω τὰ ΖΦ, ΞΩ στερεά· λέγω ὅτι καὶ ἴσων ὄντων τῶν ΑΒ, ΓΔ στερεῶν, ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ἔστιν ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν ἕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ στερεοῦ ὕψος. ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ΑΒ στερεὸν τῷ ΓΔ στερεῷ, ἀλλὰ τῷ μὲν ΑΒ τὸ ΒΤ ἐστιν ἴσον, ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆ ΖΚ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν, τὸ δὲ ΔΓ στερεὸν τῷ ΔΨ ἴσον, ἐπί τε πάλιν τῆς αὐτῆς βάσεώς εἰσι τῆ ΞΡ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν· καὶ τὸ ΒΤ ἄρα στερεὸν τῷ ΔΨ στερεῷ ἴσον ἐστί. τὰ δὲ ἴσων στερεῶν παραλληλεπιπέδων, ὧν τὰ ὕψη πρὸς ὀρθὰς εἰσὶ τοῖς βάσεσιν αὐτῶν, ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· ἔστιν ἄρα ὡς ἡ ΖΚ βάσις πρὸς τὴν ΞΡ βάσιν ἕτως τὸ τοῦ ΔΨ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΤ ὕψος. ἴση δὲ ἡ μὲν ΖΚ βάσις τῆ ΕΘ βάσει, ἡ δὲ ΞΡ βάσις τῆ ΝΠ βάσει· ἔστιν ἄρα ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν ἕτως τὸ τοῦ ΔΨ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΤ ὕψος. τὰ δ' αὐτὰ ὕψη ἐστὶ τῶν ΔΨ, ΒΤ στερεῶν καὶ τῶν ΔΓ, ΒΑ· ἔστιν ἄρα ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν ἕτως τὸ τοῦ ΔΓ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΑ στερεοῦ ὕψος· τῶν ΑΒ, ΓΔ στερεῶν ἄρα παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν.



ΠΑΛΙΝ δὴ τῶν ΑΒ, ΓΔ στερεῶν παραλληλεπιπέδων ἀντιπεπονθέτωσαν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ἔστω ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν ἕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ στερεοῦ ὕψος· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒ στερεὸν τῷ ΓΔ στερεῷ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεί ἐστιν ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν ἕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ στερεοῦ ὕψος, ἴση δὲ ἡ μὲν ΕΘ βάσις τῆ ΖΚ βάσει, ἡ δὲ ΝΠ τῆ ΞΡ· ἔστιν ἄρα ὡς ἡ ΖΚ βάσις πρὸς τὴν ΞΡ βάσιν ἕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ στερεοῦ ὕψος. τὰ δ' αὐτὰ ὕψη ἐστὶ τῶν ΑΒ, ΓΔ στερεῶν καὶ τῶν ΒΤ, ΔΨ· ἔστιν ἄρα ὡς ἡ ΖΚ βάσις πρὸς τὴν ΞΡ βάσιν ἕτως τὸ τοῦ ΔΨ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΤ στερεοῦ ὕψος· τῶν ΒΤ, ΔΨ ἄρα στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν. ὧν δὲ στερεῶν παραλληλεπιπέδων τὰ ὕψη πρὸς ὀρθάς εἰσι τοῖς βάσεσιν αὐτῶν, ἀντιπεπόνθασι δὲ αἱ βάσεις τοῖς ὕψεσιν, ἴσα ἐστὶν ἐκεῖνα· ἴσον ἄρα τὸ ΒΤ στερεὸν τῷ ΔΨ στερεῷ. ἀλλὰ τῷ μὲν ΒΤ

Non ſint autem inſiſtentes ΖΒ, ΒΛ, ΗΑ, ΚΘ, ΞΝ, ΔΟ, ΜΓ, ΡΠ ad rectos angulos baſibus ipſorum, & [per 11. 11.] à punctis Ζ, Η, Β, Κ, Ξ, Μ, Δ, Ρ ad plana baſium ΕΘ, ΝΠ ducantur perpendiculares, quæ planis in punctis Σ, Τ, Υ, Φ, Χ, Ψ, α, Ω occurrant, & compleantur ſolida ΖΦ, ΞΩ: dico & ſic æqualibus exiſtentibus ſolidis ΑΒ, ΓΔ baſes eſſe reciproce proportionales altitudinibus; & ut ΕΘ baſis ad baſim ΝΠ ita eſſe altitudinem ſolidi ΓΔ ad ſolidi ΑΒ altitudinem. quoniam enim ſolidum ΑΒ ſolido ΓΔ eſt æquale, ſolido autem ΑΒ [per 30. 11.] æquale eſt ſolidum ΒΤ; in eadem namque ſunt baſi ΖΚ & eadem altitudine & illorum inſiſtentes non ſunt in eiſdem rectis lineis; & ſolidum ΔΓ eſt æ- ſolido ΔΨ, in eadem enim rurſus ſunt baſi ΞΡ & eadem altitudine & illorum inſiſtentes non ſunt in eiſdem rectis lineis: erit & ſolidum ΒΤ ſolido ΔΨ æquale. æqualium autem ſolidorum parallelepipedorum, quorum altitudines baſibus ipſorum ſunt ad rectos angulos, baſes [per part. prior. hujus] ſunt reciproce proportionales altitudinibus: eſt igitur ut ΖΚ baſis ad baſim ΞΡ ita altitudo ſolidi ΔΨ ad altitudinem ſolidi ΒΤ. atque [per 24. 11.] eſt baſis quidem ΖΚ baſi ΕΘ æqualis, baſis vero ΞΡ æqualis baſi ΝΠ: quare ut ΕΘ baſis ad baſim ΝΠ ita eſt altitudo ſolidi ΔΨ ad ſolidi ΒΤ altitudinem. eædem autem ſunt altitudines ſolidorum ΔΨ, ΒΤ quæ ſolidorum ΔΓ, ΒΑ: eſt igitur ut ΕΘ baſis ad baſim ΝΠ ita ſolidi ΔΓ altitudo ad altitudinem ſolidi ΒΑ: ergo ſolidorum parallelepipedorum ΑΒ, ΓΔ baſes ſunt reciproce proportionales altitudinibus.



Rursus ſolidorum parallelepipedorum ΑΒ, ΓΔ baſes ſint reciproce proportionales altitudinibus, ſitque ut ΕΘ baſis ad baſim ΝΠ ita altitudo ſolidi ΓΔ ad ſolidi ΑΒ altitudinem: dico ſolidum ΑΒ ſolido ΓΔ æquale eſſe.

Iiſdem namque conſtructis, quoniam ut ΕΘ baſis ad baſim ΝΠ ita ſolidi ΓΔ altitudo ad altitudinem ſolidi ΑΒ; & baſis quidem ΕΘ eſt æqualis baſi ΖΚ, ΝΠ vero ipſi ΞΡ: erit ut ΖΚ baſis ad baſim ΞΡ ita altitudo ſolidi ΓΔ ad ſolidi ΑΒ altitudinem. eædem autem ſunt altitudines ſolidorum ΑΒ, ΓΔ quæ ipſorum ΒΤ, ΔΨ: eſt igitur ut ΖΚ baſis ad baſim ΞΡ ita ſolidi ΔΨ altitudo ad altitudinem ſolidi ΒΤ: quare ſolidorum parallelepipedorum ΒΤ, ΔΨ baſes ſunt reciproce proportionales altitudinibus. quorum autem ſolidorum parallelepipedorum altitudines ſunt ad rectos angulos baſibus ipſorum, & baſes reciproce proportionales altitudinibus, ea [per part. prior. hujus] inter ſe ſunt æqualia: ergo ΒΤ ſolidum ſolido ΔΨ eſt æquale. ſed [per 30. 11.] ſolido quidem ΒΤ

æquale eſt ſolidum BA, etenim in eadem ſunt baſi ZK & eadem altitudine & illorum inſiſtentes non ſunt in eiſdem rectis lineis; ſolidum vero ΔΨ eſt æquale ſolido ΔΓ, ſiquidem in eadem ſunt baſi ΞP & eadem altitudine & illorum inſiſtentes non in eiſdem rectis lineis: ergo & ſolidum AB ſolido ΓΔ eſt æquale. quod erat demonſtrandum.

Prop. XXXV. Theor.

Si ſint duo anguli plani æquales, & in ipſorum verticibus rectæ ſublimes conſtituantur, quæ cum rectis lineis à principio poſitis angulos contineant æquales, alterum alteri; in ſublimibus autem ſumantur quævis puncta, atque ab ipſis ad plana, in quibus ſunt anguli primi, perpendiculares ducantur; & à punctis, quæ à perpendicularibus fiunt in planis, ad primos angulos jungantur rectæ lineæ: cum ſublimibus æquales angulos continebunt.

SInt duo anguli rectilinei æquales BAΓ, EΔZ, & à punctis A, Δ ſublimes rectæ lineæ AH, ΔM conſtituantur, quæ cum rectis lineis à principio poſitis æquales angulos contineant, alterum alteri, angulum quidem MΔE æqualem angulo HAB, angulum vero MΔZ angulo HAΓ æqualem; & ſumantur in ipſis AH, ΔM quævis puncta H, M, à quibus ad plana per BAΓ, EΔZ ducantur perpendiculares HΛ, MN, occurrentes planis in punctis Λ, N, & ΛA, NΔ jungantur: dico angulum HAΛ angulo MΔN æqualem eſſe.



Ponatur ipſi ΔM æqualis AΘ, & per Θ ipſi HΛ parallela ducatur ΘK. eſt autem HΛ perpendicularis ad planum per BAΓ; ergo [per 8. 11.] & ΘK ad planum per BAΓ perpendicularis erit. ducantur à punctis K, N ad rectas lineas AB, AΓ, ΔZ, ΔE perpendiculares KB, KΓ, NZ, NE; & ΘΓ, ΓB, MZ, ZE jungantur. quoniam igitur [per 47. 1.] quadratum ex ΘA æquale eſt quadratis ex ΘK, KA; quadrato autem ex KA æqualia ſunt quadrata ex KΓ, ΓA; erit quadratum ex ΘA quadratis ex ΘK, KΓ, ΓA æquale. quadratis autem ex ΘK, KΓ æquale eſt quadratum ex ΘΓ: quadratum igitur ex ΘA quadratis ex ΘΓ, ΓA æquale erit: & idcirco angulus ΘΓA eſt rectus. eadem ratione & angulus ΔZM re-

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν ὦσι δύο γωνίαι ἐπίπεδοι ἴσαι, ἐπὶ δὲ τῶν κορυφῶν αὐτῶν μετέωροι εὐθεῖαι ἐπιζαθῶσιν ἴσας γωνίας περιέχουσαι μετὰ τῶν ἐξ ἀρχῆς εὐθειῶν, ἑκατέραν ἑκατέρᾳ, ἐπὶ δὲ τῶν μετεώρων ληφθῇ τυχόντα σημεῖα, καὶ ἀπ' αὐτῶν ἐπὶ τὰ ἐπίπεδα ἐν οἷς εἰσιν αἱ ἐξ ἀρχῆς γωνίαι, κάθετοι ἀχθῶσιν, ἀπὸ δὲ τῶν γενομένων σημείων ἐπὶ τῶν καθέτων ἐν τοῖς ἐπιπέδοις ἐπὶ τὰς ἐξ ἀρχῆς γωνίας ἐπιζευχθῶσιν εὐθεῖαι· ἴσας γωνίας περιέξουσι μετὰ τῶν μετεώρων.

Ἔστωσαν δύο γωνίαι εὐθύγραμμοι ἴσαι, αἱ ὑπὸ BAΓ, EΔZ, ἀπὸ δὲ τῶν A, Δ σημείων μετέωροι εὐθεῖαι ἐφεστάτωσαν αἱ AH, ΔM ἴσας περιέχουσαι γωνίας μετὰ τῶν ἐξ ἀρχῆς εὐθειῶν, ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ὑπὸ MΔE τῇ ὑπὸ HAB, τὴν δὲ ὑπὸ MΔZ τῇ ὑπὸ HAΓ, καὶ εἰλήφθωσαν ἐπὶ τῶν AH, ΔM τυχόντα σημεῖα, τὰ H, M, καὶ ἤχθωσαν ἀπὸ τοῦ H, M σημείων ἐπὶ τὸ διὰ τῶν BAΓ, EΔZ ἐπίπεδα κάθετοι αἱ HΛ, MN, καὶ συμβαλλέτωσαν τοῖς ἐπιπέδοις κατὰ Λ, N, καὶ ἐπεζεύχθωσαν αἱ ΛA, NΔ· λέγω ὅτι ἴση ἐστὶν ἡ ὑπὸ HAΛ γωνία τῇ ὑπὸ MΔN γωνίᾳ.



Κείσθω τῇ ΔM ἴση ἡ AΘ, καὶ ἤχθω διὰ τοῦ Θ σημείου τῇ HΛ παράλληλος ἡ ΘK. ἡ δὲ HΛ κάθετος ἐστιν ἐπὶ τὸ διὰ τῶν BAΓ ἐπίπεδον· καὶ ἡ ΘK ἄρα κάθετός ἐστιν ἐπὶ τὸ διὰ τῶν BAΓ ἐπίπεδον. ἤχθωσαν ἀπὸ τῶν K, N σημείων ἐπὶ τὰς AB, AΓ, ΔZ, ΔE εὐθείας κάθετοι αἱ KB, KΓ, NZ, NE, καὶ ἐπεζεύχθωσαν αἱ ΘΓ, ΓB, MZ, ZE. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΘA ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΘK, KA, τῷ δὲ ἀπὸ τῆς KA ἴσα τὰ ἀπὸ τῶν KΓ, ΓA· καὶ τὸ ἀπὸ τῆς ΘA ἄρα ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΘK, KΓ, ΓA. τοῖς δὲ ἀπὸ τῶν ΘK, KΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΘΓ· τὸ ἄρα ἀπὸ τῆς ΘA ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΘΓ, ΓA· ὀρθὴ ἄρα ἡ ὑπὸ ΘΓA γωνία. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΔZM γωνία

ὀρθή

ὀρθὴ ἐστὶ· ἴση ἄρα ἡ ὑπὸ ΑΓΘ γωνία τῇ ὑπὸ ΔΖΜ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΘΑΓ τῇ ὑπὸ ΜΔΖ ἴση· δύο δὴ τρίγωνά ἐστι τὰ ΜΔΖ, ΘΑΓ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν, τὴν ΑΘ τῇ ΔΜ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ· ἴση ἄρα ἡ ΑΓ τῇ ΔΖ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ΑΒ τῇ ΔΕ ἴση ἐστίν. ἐπεζεύχθωσαν αἱ ΘΒ, ΜΕ. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΑΘ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΚ, ΚΘ, τῷ δὲ ἀπὸ τῆς ΑΚ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΚ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΚ, ΚΘ ἴσα ἐστὶ τῷ ἀπὸ τῆς ΑΘ. ἀλλὰ τοῖς ἀπὸ τῶν ΒΚ, ΚΘ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΒΘ, ὀρθὴ γάρ ἡ ὑπὸ ΘΚΒ γωνία, διὰ τὸ καὶ τὴν ΘΚ κάθετον εἶναι ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον· τὸ ἄρα ἀπὸ τῆς ΑΘ ἴσον τοῖς ἀπὸ τῶν ΑΒ, ΒΘ· ὀρθὴ ἄρα ἡ ὑπὸ ΑΒΘ γωνία. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΔΕΜ γωνία ὀρθή ἐστιν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΘ γωνία ἴση τῇ ὑπὸ ΕΔΜ, ἐπεὶ γάρ, καὶ ἔστιν ἡ ΑΘ τῇ ΔΜ ἴση· ἴση ἄρα καὶ ἡ ΑΒ τῇ ΔΕ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΓ τῇ ΔΖ, ἡ δὲ ΑΒ τῇ ΔΕ· δύο δὴ αἱ ΓΑ, ΑΒ δυσὶ ταῖς ΖΔ, ΔΕ ἴσαι εἰσίν· ἀλλὰ καὶ γωνία ἡ ὑπὸ ΓΑΒ γωνίᾳ τῇ ὑπὸ ΖΔΕ ἴση· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστί. καὶ τὸ τρίγωνον τῷ τριγώνῳ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις· ἴση ἄρα ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΔΖΕ. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΑΓΚ ὀρθῇ τῇ ὑπὸ ΔΖΝ ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΓΚ λοιπῇ τῇ ὑπὸ ΕΖΝ ἐστὶν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΓΒΚ γωνία τῇ ὑπὸ ΖΕΝ ἴση ἐστίν. δύο δὴ τρίγωνά ἐστι τὰ ΓΒΚ, ΖΕΝ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν πρὸς ταῖς ἴσαις γωνίαις, τὴν ΒΓ τῇ ΕΖ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξουσιν· ἴση ἄρα ἡ ΓΚ τῇ ΖΝ. ἔστι δὲ καὶ ἡ ΑΓ τῇ ΔΖ ἴση, δύο δὴ αἱ ΑΓ, ΓΚ δυσὶ ταῖς ΔΖ, ΖΝ ἴσαι εἰσὶ καὶ ὀρθὰς γωνίας περιέχουσι· βάσις ἄρα ἡ ΑΚ βάσει τῇ ΔΝ ἴση ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΘ τῇ ΔΜ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΘ τῷ ἀπὸ τῆς ΔΜ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΘ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΑΚ, ΚΘ, ὀρθὴ γὰρ ἡ ὑπὸ ΑΚΘ, τῷ δὲ ἀπὸ τῆς ΔΜ ἴσα τὰ ἀπὸ τῶν ΔΝ, ΝΜ, ὀρθὴ γὰρ ἡ ὑπὸ ΔΝΜ· τὰ ἄρα ἀπὸ τῶν ΑΚ, ΚΘ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΔΝ, ΝΜ, ὧν τὸ ἀπὸ τῆς ΑΚ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΝ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΚΘ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΝΜ· ἴση ἄρα ἡ ΘΚ τῇ ΜΝ. καὶ ἐπεὶ δύο αἱ ΘΑ, ΑΚ δυσὶ ταῖς ΜΔ, ΔΝ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΘΚ βάσει τῇ ΝΜ ἐδείχθη ἴση· γωνία ἄρα ἡ ὑπὸ ΘΑΚ γωνίᾳ τῇ ὑπὸ ΜΔΝ ἐστὶν ἴση. ὅπερ ἔδει δεῖξαι.

ctus est: ergo angulus ΑΓΘ ipsi ΔΖΜ est æqualis. est autem & ΘΑΓ angulus æqualis angulo ΜΔΖ; duo igitur triangula sunt ΜΔΖ, ΘΑΓ duos angulos duobus angulis æquales habentia, alterum alteri, & unum latus uni lateri æquale, quod uni æqualium angulorum subtenditur; videlicet [per constr.] ΑΘ ipsi ΔΜ; ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt, alterum alteri: quare ΑΓ est æqualis ΔΖ. similiter demonstrabimus & ΑΒ ipsi ΔΕ æquale esse. jungantur ΘΒ, ΜΕ: & quoniam quadratum ex ΑΘ est æquale quadratis ex ΑΚ, ΚΘ; quadrato autem ex ΑΚ æqualia sunt quadrata ex ΑΒ, ΒΚ: erunt quadrata ex ΑΒ, ΒΚ, ΚΘ quadrato ex ΑΘ æqualia. sed quadratis ex ΒΚ, ΚΘ æquale est ex ΒΘ quadratum; rectus enim angulus est ΘΚΒ, propterea quod ΘΚ perpendicularis est ad subjectum planum: quadratum igitur ex ΑΘ æquale est quadratis ex ΑΒ, ΒΘ: quare angulus ΑΒΘ rectus est. eadem ratione & angulus ΔΕΜ est rectus. est autem & ΒΑΘ angulus æqualis angulo ΕΔΜ, ita enim ponitur; at vero ΑΘ æqualis ΔΜ: ergo & ΑΒ ipsi ΔΕ est æqualis. quoniam igitur ΑΓ quidem est æqualis ΔΖ, ΑΒ vero ipsi ΔΕ; adeoque duæ ΓΑ, ΑΒ duabus ΖΔ, ΔΕ sunt æquales. sed & angulus ΓΑΒ angulo ΖΔΕ æqualis: basis igitur ΒΓ [per 4. 1.] basi ΕΖ æqualis est. & triangulum triangulo, & reliqui anguli reliquis æquales sunt: ergo angulus ΑΓΒ æqualis est angulo ΔΖΕ. est autem [per constr.] & rectus ΑΓΚ æqualis recto ΔΖΝ: quare & reliquus ΒΓΚ reliquo ΕΖΝ est æqualis. eadem ratione & ΓΒΚ angulus est æqualis angulo ΖΕΝ. itaque ΓΒΚ, ΖΕΝ sunt duo triangula duos angulos duobus angulis æquales habentia, alterum alteri, & unum latus uni lateri æquale, quod æqualibus adjacet angulis, sc. ΒΓ ipsi ΕΖ: ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt: æqualis igitur est ΓΚ ipsi ΖΝ. est autem & ΑΓ ipsi ΔΖ æqualis; quare duæ ΑΓ, ΓΚ duabus ΔΖ, ΖΝ æquales sunt, & rectos continent angulos: basis igitur ΑΚ [per 4. 1.] est æqualis basi ΔΝ. & cum ΑΘ sit æqualis ΔΜ; erit & quadratum ex ΑΘ quadrato ex ΔΜ æquale. sed [per 47. 1.] quadrato ex ΑΘ æqualia sunt ex ΑΚ, ΚΘ quadrata, etenim rectus est angulus ΑΚΘ; quadrato autem ex ΔΜ æqualia sunt quadrata ex ΔΝ, ΝΜ, quia angulus ΔΝΜ est rectus: quadrata igitur ex ΑΚ, ΚΘ quadratis ex ΔΝ, ΝΜ sunt æqualia; ex quibus quadratum ex ΑΚ æquale est quadrato ex ΔΝ; ergo reliquum ex ΚΘ quadratum reliquo quadrato ex ΝΜ est æquale: & ideo recta linea ΘΚ ipsi ΜΝ æqualis. & cum duæ ΘΑ, ΑΚ duabus ΜΔ, ΔΝ æquales sint, altera alteri, & basis ΘΚ basi ΝΜ ostensa sit æqualis; [per 8. 1.] angulus ΘΑΚ angulo ΜΔΝ æqualis erit. quod erat dem.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν ὦσι δύο γωνίαι ἐπίπεδοι εὐθύγραμμοι ἴσαι, ἀφαφθῶσι δὲ ἀπ' αὐτῶν μετέωροι εὐθεῖαι ἴσαι ἴσας γωνίας περιέχουσαι μετὰ τῶν ἐξ ἀρχῆς εὐθειῶν ἑκατέρα ἑκατέρᾳ,

Corollarium.

Ex hoc vero manifestum est, si sint duo anguli plani rectilinei æquales, ab ipsis autem constituantur sublimes rectæ lineæ æquales, quæ cum rectis lineis à principio positis æquales contineant angulos, alterum alteri, perpendiculares,

culares, quæ ab ipſis ad plana in quibus ſunt primi anguli ducuntur, inter ſe æquales eſſe.

PROP. XXXVI. THEOR.

Si tres rectæ lineæ proportionales ſint; ſolidum parallelepipedum quod à tribus fit æquale eſt ſolido parallelepipedo quod fit à media, æquilatero quidem, æquiangulo autem antedicto.

SInt tres rectæ lineæ proportionales A, B, Γ, ſitque ut A ad B ita B ad Γ: dico ſolidum quod fit ex ipſis A, B, Γ æquale eſſe ſolido quod fit ex B, æquilatero quidem, æquiangulo autem antedicto.

Exponatur ſolidus angulus ad E contentus ſub tribus angulis planis ΔEH, HEZ, ZEΔ; & ipſi quidem B ponatur æqualis unaquæque ipſarum ΔE, HE, EZ, & ſolidum parallelepipedum EK compleatur; ipſi vero A ponatur æqualis ΛM, & ad rectam lineam ΛM & ad punctum in ipſa Λ [per 26. 11.] conſtituatur angulo ſolido ad E æqualis angulus



contentus ſub NΛΞ, ΞΛM, MΛN, & ponatur ipſi quidem B æqualis ΛΞ, ipſi vero Γ æqualis ΛN. quoniam igitur eſt ut A ad B ita B ad Γ, æqualis autem eſt A ipſi ΛM, & B unicuique ipſarum ΛΞ, EZ, EH, EΔ, & Γ ipſi ΛN; erit ut ΛM ad EZ ita ΔE ad ΛN: & circum æquales angulos MΛN, ΔEZ latera ſunt reciproce proportionalia: ergo [per 14.6.] MN parallelogrammum parallelogrammo ΔZ eſt æquale. & quoniam duo anguli plani rectilinei ΔEZ, NΛM, æquales ſunt & in ipſis ſublimes rectæ conſtituuntur ΛΞ, EH æquales inter ſe, & cum rectis lineis à principio poſitis æquales continentes angulos, alterum alteri; erunt [per cor. 35. 11.] perpendiculares, quæ à punctis H, Ξ ad plana per NΛM, ΔEZ ducuntur, inter ſe æquales: ergo ſolida ΛΘ, EK in eadem ſunt altitudine. quæ vero in æqualibus baſibus ſunt ſolida parallelepipeda, & in eadem altitudine [per 31. 11.] inter ſe ſunt æqualia: ergo ſolidum Θ Λ æquale eſt ſolido EK. atque Θ Λ quidem eſt ſolidum, quod fit à tribus A, B, Γ; ſolidum vero EK quod fit ex B: ergo ſolidum quod fit ex ipſis A, B, Γ æquale eſt ſolido quod fit ex B, æquilatero quidem, æquiangulo autem antedicto.

Si igitur tres rectæ lineæ proportionales ſint, ſolidum parallelepipedum quod à tribus fit æquale eſt ſolido parallelepipedo quod fit à media, æquilatero quidem, æquiangulo autem antedicto. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ἀπ' αὐτῶν τρισὶν στερεὸν παραλληλεπίπεδον ἴσον ἐστὶ τῷ ἀπὸ τοῦ μέσης στερεῷ παραλληλεπιπέδῳ, ἰσοπλεύρῳ μέν, ἰσογωνίῳ δὲ τῷ προειρημένῳ.

Ἔστωσαν τρεῖς εὐθεῖαι ἀνάλογον αἱ A, B, Γ, ὡς ἡ A πρὸς τὴν B οὕτως ἡ B πρὸς τὴν Γ· λέγω ὅτι τὸ ἀπὸ τῶν A, B, Γ στερεὸν ἴσον ἐστὶ τῷ ἀπὸ τοῦ B στερεῷ, ἰσοπλεύρῳ μὲν, ἰσογωνίῳ δὲ τῷ προειρημένῳ.

Ἐκκείσθω στερεὰ γωνία ἡ πρὸς τῷ E περιεχομένη ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων τῶν ὑπὸ ΔEH, HEZ, ZEΔ, καὶ κείσθω τῇ μὲν B ἴση ἑκάστη τῶν ΔE, HE, EZ, καὶ συμπεπληρώσθω τὸ EK στερεὸν παραλληλεπίπεδον, τῇ δὲ A κείσθω ἴση ἡ ΛM, καὶ συνεστάτω πρὸς τῇ ΛM εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Λ τῇ πρὸς τῷ E στερεᾷ γωνίᾳ ἴση περιεχο-

μένη ὑπὸ τῶν ΝΛΞ, ΞΛM, MΛN, καὶ κείσθω τῇ μὲν B ἴση ἡ ΛΞ, τῇ δὲ Γ ἴση ἡ ΛN. καὶ ἐπεὶ ἐστιν ὡς ἡ A πρὸς τὴν B οὕτως ἡ B πρὸς τὴν Γ, ἴση δὲ ἡ μὲν A τῇ ΛM, ἡ δὲ B ἑκάστη τῶν ΛΞ, EZ, EH, EΔ, ἡ δὲ Γ τῇ ΛN· ἔστιν ἄρα ὡς ἡ ΛM πρὸς τὴν EZ οὕτως ἡ ΔE πρὸς τὴν ΛN. καὶ περὶ ἴσας γωνίας, τὰς ὑπὸ MΛN, ΔEZ αἱ πλευραὶ ἀντιπεπόνθασιν· ἴσον ἄρα τὸ MN παραλληλόγραμμον τῷ ΔZ παραλληλογράμμῳ. καὶ ἐπεὶ δύο γωνίαι ἐπιπέδοι εὐθυγράμμοι ἴσαι εἰσὶν αἱ ὑπὸ ΔEZ, ΝΛM, καὶ ἐπ' αὐτῶν μετέωροι εὐθεῖαι ἐφεστήκασιν αἱ ΛΞ, EH ἴσαι τε ἀλλήλαις καὶ ἴσας γωνίας περιέχουσι μετὰ τῶν ἐξ ἀρχῆς εὐθειῶν ἑκατέραν ἑκατέρᾳ· αἱ ἄρα ἀπὸ τοῦ H, Ξ σημείων κάθετοι, ἀγόμεναι ἐπὶ τὰ διὰ τῶν ΝΛM, ΔEZ ἐπίπεδα, ἴσαι ἀλλήλαις εἰσίν· ὥστε τὰ Λ Θ, EK στερεὰ ὑπὸ τὸ αὐτὸ ὕψος ἐστί. τὰ δὲ ἐπὶ ἴσων βάσεων στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα τὸ Θ Λ στερεὸν τῷ EK στερεῷ. καὶ ἔστι τὸ μὲν Θ Λ τὸ ἀπὸ τῶν A, B, Γ στερεόν, τὸ δὲ EK τὸ ἀπὸ τοῦ B στερεόν· τὸ ἄρα ἀπὸ τῶν A, B, Γ στερεὸν ἴσον ἐστὶ τῷ ἀπὸ τοῦ B στερεῷ, ἰσοπλεύρῳ μὲν, ἰσογωνίῳ δὲ τῷ προειρημένῳ.

Ἐὰν ἄρα τρεῖς εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ἀπὸ τῶν τριῶν στερεὸν παραλληλεπίπεδον ἴσον ἐστὶ τῷ ἀπὸ τοῦ μέσης στερεῷ παραλληλεπιπέδῳ, ἰσοπλεύρῳ μὲν, ἰσογωνίῳ δὲ τῷ προειρημένῳ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ λζ'.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι· καὶ τὰ ἀπ' αὐτῶν σερεὰ παραλληλεπίπεδα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται. καὶ ἐὰν τὰ ἀπ' αὐτῶν σερεὰ παραλληλεπίπεδα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ· καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται.

Prop. XXXVII. Theor.

Si quatuor rectæ lineæ proportionales ſint; & quæ ab ipſis fiunt ſolida parallelepipeda ſimilia & ſimiliter deſcripta proportionalia erunt. & ſi quæ ab ipſis fiunt ſolida parallelepipeda ſimilia & ſimiliter deſcripta proportionalia ſint; & ipſæ rectæ lineæ proportionales erunt.

Ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ ΑΒ, ΓΔ, ΕΖ, ΗΘ, ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ, καὶ ἀναγεγράφθωσαν ἀπὸ τῶν ΑΒ, ΓΔ, ΕΖ, ΗΘ ὅμοιά τε καὶ ὁμοίως κείμενα παραλληλεπίπεδα τὰ ΚΑ, ΛΓ, ΜΕ, ΝΗ· λέγω ὅτι ἐστὶν ὡς τὸ ΚΑ πρὸς τὸ ΛΓ οὕτως τὸ ΜΕ πρὸς τὸ ΝΗ.

Ἐπεὶ γὰρ ἐστὶ τὸ ΚΑ στερεὸν παραλληλεπίπεδον τῷ ΛΓ ὅμοιον, τὸ ΚΑ ἄρα πρὸς τὸ ΛΓ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς τὴν ΓΔ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΜΕ πρὸς τὸ ΝΗ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΗΘ. ἔστιν δὲ καὶ ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ· καὶ ὡς ἄρα τὸ ΑΚ πρὸς τὸ ΛΓ οὕτως τὸ ΜΕ πρὸς τὸ ΝΗ.



Ἀλλὰ δὴ ἔστω ὡς τὸ ΑΚ στερεὸν πρὸς τὸ ΛΓ στερεὸν οὕτως τὸ ΜΕ στερεὸν πρὸς τὸ ΝΗ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒ εὐθεῖα πρὸς τὴν ΓΔ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ.

Ἐπεὶ γὰρ πάλιν τὸ ΑΚ πρὸς τὸ ΛΓ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς τὴν ΓΔ, ἔχει δὲ καὶ τὸ ΜΕ πρὸς τὸ ΝΗ τριπλασίονα λόγον ἤπερ ἡ ΕΖ πρὸς τὴν ΗΘ, καί ἐστιν ὡς τὸ ΑΚ πρὸς τὸ ΛΓ οὕτως τὸ ΜΕ πρὸς τὸ ΝΗ· καὶ ὡς ἄρα ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ.

Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι· καὶ τὰ ἀπ' αὐτῶν σερεὰ παραλληλεπίπεδα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται. καὶ ἐὰν τὰ ἀπ' αὐτῶν σερεὰ παραλληλεπίπεδα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ· καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται. ὅπερ ἔδει δεῖξαι.

SInt quatuor rectæ lineæ proportionales AB, ΓΔ, EZ, HΘ, ſitque ut AB ad ΓΔ ita EZ ad HΘ, & deſcribantur ab ipſis AB, ΓΔ, EZ, HΘ ſimilia & ſimiliter poſita ſolida parallelepipeda KA, ΛΓ, ME, NH: dico ut KA ad ΛΓ ita eſſe ME ad NH.

Quoniam enim ſolidum parallelepipedum KA ſimile eſt ipſi ΛΓ, habebit [per 33. 11.] KA ad ΛΓ triplicatam rationem ejus quam AB habet ad ΓΔ. eadem ratione & ſolidum ME ad ipſum NH triplicatam rationem habebit ejus quam habet EZ ad HΘ. atque [ex hyp.] ut AB ad ΓΔ ita EZ ad HΘ: ut igitur AK ad ΛΓ ita ME ad NH.

SED ſit ut ſolidum AK ad ſolidum ΛΓ ita ME ſolidum ad ſolidum NH: dico ut recta linea AB ad rectam ΓΔ ita eſſe rectam EZ ad ipſam HΘ.

Quoniam enim rurſus AK ad ΛΓ triplicatam rationem habet ejus quam AB habet ad ΓΔ; habet autem & ME ad NH triplicatam rationem ejus quam EZ ad HΘ; atque ut AK ad ΛΓ ita ME ad NH: erit ut AB ad ΓΔ ita EZ ad HΘ.

Si igitur quatuor rectæ lineæ proportionales ſint; & quæ ab ipſis fiunt ſolida parallelepipeda ſimilia & ſimiliter deſcripta proportionalia erunt. & ſi quæ ab ipſis fiunt ſolida parallelepipeda ſimilia & ſimiliter deſcripta proportionalia ſint; & ipſæ rectæ lineæ proportionales erunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λη'.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ πρὸς ἐπίπεδον ὀρθὸν ᾖ, καὶ ἀπό τινος σημείου τῶν ἐν ἑνὶ τῶν στερεοῦ παραλληλεπιπέδου ἐπὶ τὸ ἕτερον ἐπίπεδον κάθετος ἀχθῇ· ἐπὶ τὴν κοινὴν τομὴν πεσεῖται τῶν ἐπιπέδων ἡ ἀχθεῖσα κάθετος.

Prop. XXXVIII. Theor.

Si planum ad planum rectum ſit; & ab aliquo puncto eorum quæ ſunt in uno plano ad alterum planum perpendicularis ducatur: ea in communem planorum ſectionem cadet.

Ἐπίπεδον γὰρ τὸ ΓΔ ἐπιπέδῳ τῷ ΑΒ πρὸς ὀρθὰς ἔστω, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΑΔ, καὶ εἰλήφθω ἐπὶ τοῦ ΓΔ ἐπιπέδου τυχὸν σημεῖον τὸ Ε·

PLanum enim ΓΔ ad planum AB rectum ſit, communis autem eorum ſectio ſit AΔ, & in ipſo ΓΔ plano quodvis punctum E ſumatur:

dico perpendicularem, quæ à puncto E ad planum AB ducitur, cadere in ipsam AΔ.

Non enim, sed si fieri potest, cadat extra, ut EZ, & plano AB in puncto Z occurrat: à puncto autem Z [per 10. 1.] ad ΔA in plano AB perpendicularis ducatur ZH, quæ quidem [per 4. def. 11.] & plano ΓΔ ad rectos angulos erit; & EH jungatur. quoniam igitur ZH plano ΓΔ est ad rectos angulos, contingit autem ipsam recta linea EH, quæ est in eodem ΓΔ plano: erit [per 3. def. 11.] angulus ZHE rectus. sed & EZ plano AB ad rectos angulos est; rectus igitur est angulus EZH. quare trianguli EZH duo anguli duobus rectis sunt æquales; quod [per 17. 1.] est absurdum: non igitur à puncto E ad AB planum perpendicularis ducta extra rectam lineam ΔA cadet: cadet igitur in ipsam AΔ.



Si igitur planum ad planum rectum sit, & ab aliquo puncto eorum quæ sunt in uno plano ad alterum planum perpendicularis ducatur: ea in communem planorum sectionem cadet. quod erat demonstrandum.

λέγω ὅτι ἡ ἀπὸ τοῦ E ἐπὶ τὸ AB ἐπίπεδον κάθετος ἀγομένη ἐπὶ τὴν ΔA πεσεῖται.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν πιπτέτω ἐκτὸς ὡς ἡ EZ, καὶ συμβαλλέτω τῷ AB ἐπιπέδῳ κατὰ τὸ Z σημεῖον, καὶ ἀπὸ τοῦ Z ἐπὶ τινὰ ΔA ἐν τῷ AB ἐπιπέδῳ κάθετος ἤχθω ἡ ZH, ἥτις καὶ τῷ ΓΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι, καὶ ἐπεζεύχθω ἡ EH. ἐπεὶ οὖν ἡ ZH τῷ ΓΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν, ἅπτεται δὲ αὐτῆς ἡ EH, ἔστιν ἐν τῷ ΓΔ ἐπιπέδῳ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ZHE γωνία. ἀλλὰ δὴ καὶ ἡ EZ τῷ AB ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ἡ ἄρα ὑπὸ EZH ὀρθή ἐστι. τριγώνου δὴ τοῦ EZH αἱ δύο γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ ἀπὸ τοῦ E ἐπὶ τὸ AB ἐπίπεδον κάθετος ἀγομένη ἐκτὸς πεσεῖται τῆς ΔA· ἐπὶ τινὰ ΔA ἄρα πεσεῖται.

Εἰ ἄρα ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθὸν ᾖ, καὶ ἀπό τινος σημείου τῶν ἐν ἑνὶ τῶν ἐπιπέδων ἐπὶ τὸ ἕτερον ἐπίπεδον κάθετος ἀχθῇ· ἐπὶ τὴν κοινὴν τομὴν τῶν ἐπιπέδων ἡ ἀγομένη κάθετος πεσεῖται. ὅπερ ἔδει δεῖξαι.

PROP. XXXIX. THEOR.

Si in solido parallelepipedo oppositorum planorum latera secentur bifariam, per sectiones vero plana ducantur; communis planorum sectio & solidi parallelepipedi diameter se mutuo bifariam secabunt.

IN solido enim parallelepipedo AZ oppositorum planorum ΓZ, AΘ latera bifariam secentur in punctis K, Λ, M, N, Ξ, Π, O, P, & per sectiones plana ducantur KN, ΞP, communis autem planorum sectio sit TΣ, & solidi parallelepipedi diameter ΔH: dico TΣ, ΔH sese bifariam secare; hoc est, TT quidem ipsi TΣ; ΔT vero ipsi TH æqualem esse.



Jungantur enim ΔT, TE, BΣ, ΣH. quoniam igitur ΔΞ parallela est ipsi OE, alterni anguli ΔΞT, TOE [per 29. 1.] inter se æquales sunt. & quoniam ΔΞ quidem est æqualis OE; ΞT vero ipsi TO, & angulos æquales continent; erit [per 4. 1.] basis ΔT æqualis basi TE, & triangulum ΔΞT triangulo OE, ἡ δὲ ΞT τῇ TO, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΔT βάσει τῇ TE ἴση ἐστὶ, καὶ τὸ ΔΞT τρίγωνον

ΠΡΟΤΑΣΙΣ λθ'.

Ἐὰν στερεοῦ παραλληλεπιπέδου τῶν ἀπεναντίον ἐπιπέδων αἱ πλευραὶ δίχα τμηθῶσι, διὰ δὲ τῶν τομῶν ἐπίπεδα ἐκβληθῇ· ἡ κοινὴ τομὴ τῶν ἐπιπέδων καὶ ἡ τοῦ στερεοῦ παραλληλεπιπέδου διάμετρος δίχα τέμνουσιν ἀλλήλας.

Στερεοῦ γὰρ παραλληλεπιπέδου τοῦ AZ τὰ ἀπεναντίον ἐπίπεδα τὰ ΓZ, AΘ αἱ πλευραὶ δίχα τετμήσθωσαν κατὰ τὰ K, Λ, M, N, Ξ, Π, O, P σημεῖα, διὰ δὲ τῶν τομῶν ἐπίπεδα ἐκβεβλήσθωσαν τὰ KN, ΞP, κοινὴ δὲ τομὴ ἐπιπέδων τῶν ἐπιπέδων ἔστω ἡ TΣ, τοῦ δὲ AB στερεοῦ παραλληλεπιπέδου διαγώνιος ἡ ΔH· λέγω ὅτι αἱ TΣ, ΔH δίχα τέμνουσιν ἀλλήλας, τουτέστιν ὅτι ἡ μὲν TT τῇ TΣ ἴση ἐστὶν, ἡ δὲ ΔT τῇ TH.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΔΥ, TE, BΣ, ΣH. καὶ ἐπεὶ παραλληλός ἐστιν ἡ ΔΞ τῇ OE, αἱ ἐναλλὰξ ἄρα γωνίαι αἱ ὑπὸ ΔΞT, TOE ἴσαι ἀλλήλαις εἰσί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΔΞ τῇ OE, ἡ δὲ ΞT τῇ TO, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΔT βάσει τῇ TE ἴση ἐστὶ, καὶ τὸ ΔΞT τρίγωνον

γωνον τῷ ΤΟΕ τριγώνῳ ἴσον ἐστί, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴση ἄρα ἡ ὑπὸ ΞΤΔ γωνία τῇ ὑπὸ ΟΤΕ. διὰ δὴ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΣΗ εὐθεῖά ἐστιν ἴση ἡ ΒΣ τῇ ΣΗ. καὶ ἐπεὶ ἡ ΓΑ τῇ ΔΒ ἴση ἐστὶ καὶ παράλληλος, ἀλλὰ ἡ ΓΑ καὶ τῇ ΕΗ ἴση τε ἐστὶ καὶ παράλληλος· καὶ ἡ ΔΒ ἄρα τῇ ΕΗ ἴση τε ἐστὶ καὶ παράλληλος. ἐπιζευγνύουσιν αὐτὰς εὐθεῖαι αἱ ΔΕ, ΗΒ· παράλληλος ἄρα ἡ ΔΕ τῇ ΒΗ. καὶ εἰλήφθω ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα τὰ Δ, Υ, Η, Σ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΗ, ΥΣ· ἐν ἑνὶ ἄρα εἰσὶν ἐπιπέδῳ αἱ ΔΗ, ΥΣ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΔΕ τῇ ΒΗ, ἴση ἄρα ἡ ὑπὸ ΕΔΤ γωνία τῇ ὑπὸ ΒΠΤ, ἐναλλαξ γάρ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΔΤΥ τῇ ὑπὸ ΗΤΣ ἴση· δύο δὴ τρίγωνά ἐστι τὰ ΔΤΥ, ΗΤΣ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν, τὴν ΔΤ τῇ ΗΣ, ἡμίσεια γάρ εἰσι τῶν ΔΕ, ΒΗ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς ἴσας ἕξει· ἴση ἄρα ἡ μὲν ΔΤ τῇ ΤΗ, ἡ δὲ ΥΤ τῇ ΤΣ.

Ἐὰν ἄρα στερεὸν παραλληλεπίπεδον τμηθῇ ἐπιπέδῳ κατὰ τὰς ἀπεναντίον ἐπιπέδων, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

gulo ΤΟΕ, & reliqui anguli reliquis angulis æquales: angulus igitur ΞΤΔ eſt æqualis angulo ΟΤΕ, & ob id [per 14. 1.] ΔΤΕ eſt recta linea: eademque ratione & ΒΣΗ recta eſt, atque ΒΣ æqualis ipſi ΣΗ. & quoniam [per 34. 1.] ΓΑ ipſi ΔΒ æqualis eſt & parallela, ſed & ΓΑ æqualis & parallela ipſi ΕΗ; erit & ΔΒ ipſi ΕΗ æqualis & [per 30. 1.] parallela. & ipſas conjungunt rectæ lineæ ΔΕ, ΒΗ: parallela igitur eſt [per 33. 1.] ΔΕ ipſi ΒΗ. & ſumpta ſunt in utraque ipſarum quædam puncta Δ, Υ, Η, Σ, & junctæ ſunt ΔΗ, ΥΣ: ergo [per 7. 11.] ΔΗ, ΥΣ in uno ſunt plano. quoniam igitur ΔΕ parallela eſt ipſi ΒΗ, erit [per 29. 1.] & ΕΔΤ angulus angulo ΒΗΤ æqualis, alterni enim ſunt. eſt autem & ΔΤΤ angulus [per 15. 1.] æqualis ipſi ΗΤΣ: duo igitur ſunt triangula ΔΤΤ, ΗΤΣ duos angulos duobus angulis æquales habentia, & unum latus uni lateri æquale, quod uni æqualium angulorum ſubtenditur, videlicet ΔΤ ipſi ΗΣ; dimidia enim ſunt ipſorum ΔΕ, ΒΗ: ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt: quare ΔΤ quidem eſt æqualis ΤΗ, ΤΤ vero ipſi ΤΣ.

Si igitur in ſolido parallelepipedo, & quæ ſequuntur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μ'.

Ἐὰν ᾖ δύο πρίσματα ἰσοῦψῆ, καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον, τὸ δὲ τρίγωνον, διπλάσιον δὲ ᾖ τὸ παραλληλόγραμμον τοῦ τριγώνου· ἴσα ἔσται τὰ πρίσματα.

Prop. XL. Theor.

Si ſint duo priſmata æqualta, quorum unum quidem baſim habeat parallelogrammum, alterum vero triangulum, & parallelogrammum duplum ſit trianguli; æqualia erunt ipſa priſmata.

Ἔστω πρίσματα ἰσοῦψῆ τὰ ΑΒΓΔΕΖ, ΗΘΚΛΜΝ, καὶ τὸ μὲν ἐχέτω βάσιν τὸ ΑΖ παραλληλόγραμμον, τὸ δὲ τὸ ΗΘΚ τρίγωνον, διπλάσιον δὲ ἔστω τὸ ΑΖ παραλληλόγραμμον τοῦ ΗΘΚ τριγώνου· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓΔΕΖ πρίσμα τῷ ΗΘΚΛΜΝ πρίσματι.

Συμπεπληρώσθω γὰρ τὰ ΑΞ, ΗΟ στερεά. καὶ ἐπεὶ διπλάσιόν ἐστι τὸ ΑΖ παραλληλόγραμμον τοῦ ΗΘΚ τριγώνου, ἐστὶ δὲ καὶ τὸ ΘΚ παραλληλόγραμμον διπλάσιον τοῦ ΗΘΚ τριγώνου· ἴσον ἄρα ἐστὶ τὸ ΑΖ παραλληλόγραμμον τῷ ΘΚ παραλληλογράμμῳ. τὰ δὲ ἐπὶ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα καὶ τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ ΑΞ στερεὸν τῷ ΗΟ στερεῷ. καὶ ἔστι τοῦ μὲν ΑΞ στερεοῦ ἥμισυ τὸ ΑΒΓΔΕΖ πρίσμα, τοῦ δὲ ΗΟ στερεοῦ ἥμισυ τὸ ΗΘΚΛΜΝ πρίσμα· ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕΖ πρίσμα τῷ ΗΘΚΛΜΝ πρίσματι.



Ἐὰν ἄρα ᾖ δύο πρίσματα ἰσοῦψῆ, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

SInt priſmata æqualta ΑΒΓΔΕΖ, ΗΘΚΛΜΝ, & unum quidem baſim habeat parallelogrammum ΑΖ, alterum vero ΗΘΚ triangulum, & duplum ſit ΑΖ parallelogrammum trianguli ΗΘΚ: dico priſma ΑΒΓΔΕΖ priſmati ΗΘΚΛΜΝ æquale eſſe.

Compleantur enim ΑΞ, ΗΟ ſolida. & quoniam parallelogrammum ΑΖ trianguli ΗΘΚ eſt duplum, eſt autem [per 34. 1.] & ΘΚ parallelogrammum duplum trianguli ΗΘΚ; erit ΑΖ parallelogrammum parallelogrammo ΘΚ æquale. quæ vero in æqualibus ſunt baſibus ſolida parallelepipeda & eadem altitudine [per 31. 11.] inter ſe æqualia ſunt: æquale igitur ΑΞ ſolidum ſolido ΗΟ. atque eſt ſolidi quidem ΑΞ dimidium ΑΒΓΔΕΖ priſma, ſolidi vero ΗΟ dimidium priſma ΗΘΚΛΜΝ: ergo ΑΒΓΔΕΖ priſma priſmati ΗΘΚΛΜΝ eſt æquale.



Si igitur ſint duo priſmata æquealta, & quæ ſequuntur. quod erat demonſtrandum.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΔΥΟΔΕΚΑΤΟΝ,
Καὶ Στερεῶν δεύτερον.

EUCLIDIS
ELEMENTORUM
LIBER DUODECIMUS,
Et Solidorum ſecundus.

PROP. I. THEOR.

Similia polygona circulis inſcripta inter ſe ſunt ut quadrata à diametris.

SINT circuli ΑΒΓΔΕ, ΖΗΘΚΛ, & in ipſis ſimilia polygona ΑΒΓΔΕ, ΖΗΘΚΛ; diametri autem circulorum ſint ΒΜ, ΗΝ: dico ut quadratum ex ΒΜ ad quadratum ex ΗΝ ita eſſe ΑΒΓΔΕ polygonum ad polygonum ΖΗΘΚΛ.

Jungantur enim ΒΕ, ΑΜ, ΗΛ, ΖΝ. & quoniam polygonum ΑΒΓΔΕ ſimile eſt polygono ΖΗΘΚΛ, & [per 1. def. 6.] ΒΑΕ angulus angulo ΗΖΛ eſt æqualis, atque eſt ut ΒΑ ad ΑΕ ita ΗΖ ad ΖΛ: igitur ΒΑΕ, ΗΖΛ ſunt duo triangula unum angulum uni angulo æqualem habentia, videlicet angulum ΒΑΕ angulo ΗΖΛ, circa æquales autem angulos latera proportionalia: quare [per 6. 6.] triangulum ΑΒΕ triangulo ΖΗΛ æquiangulum eſt; ac propterea angulus ΑΕΒ æqualis eſt angulo ΖΛΗ. ſed [per 21. 3.]



ΠΡΟΤΑΣΙΣ α'.

Τὰ ἐν τοῖς κύκλοις ὅμοια πολύγωνα πρὸς ἄλληλά ἐστιν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα.

ΕΣΤΩΣΑΝ κύκλοι οἱ ΑΒΓΔΕ, ΖΗΘΚΛ, καὶ ἐν αὐτοῖς ὅμοια πολύγωνα ἔστω τὰ ΑΒΓΔΕ, ΖΗΘΚΛ, διάμετροι δὲ τῶν κύκλων ἔστωσαν αἱ ΒΜ, ΗΝ· λέγω ὅτι ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΜ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΝ τετράγωνον οὕτως τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΑΜ, ΗΛ, ΖΝ. καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ ΑΒΓΔΕ πολύγωνον τῷ ΖΗΘΚΛ πολυγώνῳ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΒΑΕ γωνία τῇ ὑπὸ ΗΖΛ, καί ἐστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΕ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΛ· δύο δὴ τρίγωνά ἐστι τὰ ΒΑΕ, ΗΖΛ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα, τὴν ὑπὸ ΒΑΕ τῇ ὑπὸ ΗΖΛ, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΖΗΛ τριγώνῳ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΕΒ γωνία τῇ ὑπὸ ΖΛΗ. ἀλλ' ἡ μὲν ὑπὸ



ὑπὸ ΑΕΒ τῇ ὑπὸ ΑΜΒ ἴση ἐστίν, ἐπὶ γὰρ τῆς αὐτῆς περιφερείας βεβήκασιν. ἡ δὲ ὑπὸ ΖΛΗ τῇ ὑπὸ ΖΝΗ· καὶ ἡ ὑπὸ ΑΜΒ ἄρα τῇ ὑπὸ ΖΝΗ ἴση ἐστίν. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΒΑΜ ὀρθῇ τῇ ὑπὸ ΗΖΝ ἴση· καὶ λοιπὴ ἄρα τῇ λοιπῇ ἐστιν ἴση· ἰσογώνιον ἄρα τὸ ΑΒΜ τρίγωνον τῷ ΖΗΝ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΜ πρὸς τὴν ΗΝ οὕτως ἡ ΒΑ πρὸς τὴν ΗΖ. ἀλλὰ μὴν τοῦ ΒΜ πρὸς τὴν ΗΝ λόγου διπλασίων ἐστὶν ὁ τοῦ ΒΜ τετραγώνου πρὸς τὸ ἀπὸ ΗΝ τετράγωνον, ὁ δὲ τοῦ ΒΑ πρὸς τὴν ΗΖ διπλασίων ἐστὶν ὁ τοῦ ΑΒΓΔΕ πολυγώνου πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον· καὶ ὡς ἄρα τὸ ἀπὸ τοῦ ΒΜ τετράγωνον πρὸς τὸ ἀπὸ τοῦ ΗΝ οὕτως τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον.

Τὰ ἄρα ἐν τοῖς κύκλοις ὅμοια πολύγωνα πρὸς ἄλληλά ἐστιν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα. ὅπερ ἔδει δεῖξαι.

angulus quidem AEB angulo AMB eſt æqualis, in eadem enim circumferentia conſiſtunt. angulus autem ZΛH æqualis eſt angulo ZNH: ergo & AMB angulus eſt æqualis angulo ZNH. eſt autem & [per 31.3.] rectus angulus BAM æqualis recto HZN: quare & reliquus reliquo æqualis: æquiangulum igitur eſt triangulum ABM triangulo ZHN: ergo [per 4.6.] ut BM ad HN ita BA ad HZ. ſed [per 20.6.] rationis quidem BM ad HN duplicata eſt ratio quadrati ex BM ad quadratum ex HN; rationis vero BA ad HZ duplicata eſt ratio ABΓΔE polygoni ad polygonum ZHΘKΛ: & igitur [per 11.5.] ut quadratum ex BM ad quadratum ex HN ita polygonum ABΓΔE ad ZHΘKΛ polygonum.

Quare ſimilia polygona circulis inſcripta inter ſe ſunt ut quadrata à diametris. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ β'.

Οἱ κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα.

PROP. II. THEOR.

Circuli inter ſe ſunt ut quadrata à diametris.

Ἐστωσαν κύκλοι οἱ ΑΒΓΔ, ΕΖΗΘ, διάμετροι δὲ αὐτῶν ἔστωσαν αἱ ΒΔ, ΖΘ· λέγω ὅτι ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον.

Εἰ γὰρ μή ἐστιν ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, ἔστω ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς ἔλασσόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον ἢ πρὸς μεῖζον. ἔστω πρότερον πρὸς ἔλασσον τὸ Σ. καὶ ἐγγεγράφθω εἰς τὸν ΕΖΗΘ κύκλον τετράγωνον τὸ ΕΖΗΘ· τὸ δὴ ἐγγεγραμμένον τετράγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ ΕΖΗΘ κύκλου, ἐπειδήπερ ἐὰν διὰ τῶν Ε, Ζ, Η, Θ σημείων ἐφαπτομένας τοῦ κύκλου διαγάγωμεν, τοῦ περιγραφομένου περὶ τὸν κύκλον τετραγώνου ἥμισύ ἐστι τὸ ΕΖΗΘ τετράγωνον. τοῦ δὲ περιγραφέντος τετραγώνου ἔλασσόν ἐστιν ὁ κύκλος· ὥστε τὸ ΕΖΗΘ ἐγγεγραμμένον τετράγωνον μεῖζόν ἐστι τοῦ ἡμίσεως τοῦ ΕΖΗΘ κύκλου. τετμήσθωσαν δίχα αἱ ΕΖ, ΖΗ, ΗΘ, ΘΕ περιφέρειαι κατὰ τὰ Κ, Λ, Μ, Ν σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΚ, ΚΖ, ΖΛ, ΛΗ, ΗΜ, ΜΘ, ΘΝ, ΝΕ· καὶ ἑκάτερον ἄρα τῶν ΕΚΖ, ΖΛΗ, ΘΜΗ, ΘΝΕ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου· ἐπειδήπερ ἐὰν διὰ τῶν Κ, Λ, Μ, Ν



Si enim non ita eſt; erit ut quadratum ex BΔ ad quadratum ex ZΘ ita circulus ABΓΔ vel ad ſpatium aliquod minus circulo EZHΘ vel ad majus. Sit primum ad minus, quod ſit Σ. & in circulo EZHΘ deſcribatur quadratum EZHΘ. itaque deſcriptum in circulo quadratum majus eſt dimidio circuli EZHΘ; quoniam ſi per puncta E, Z, H, Θ contingentes circulum ducamus, erit [per 47.1.&31.3.] deſcripti circa circulum quadrati dimidium quadratum EZHΘ. deſcripto autem circa circulum quadrato minor eſt circulus: ergo quadratum EZHΘ majus eſt dimidio circuli EZHΘ. ſecentur bifariam circumferentiæ EZ, ZH, HΘ, ΘE in punctis K, Λ, M, N; & EK, KZ, ZΛ, ΛH, HM, MΘ, ΘN, NE jungantur: unumquodque igitur triangulorum EKZ, ZΛH, ΘMH, ΘNE majus eſt dimidio ſegmenti circuli in quo conſiſtit; quoniam ſi per puncta K, Λ, M, N

contingentes circulum ducamus, & parallelogramma quæ ſuper rectis lineis ΕΖ, ΖΗ, ΗΘ, ΘΕ compleamus, erit [per 37. 1.] unumquodque triangulorum ΕΚΖ, ΖΛΗ, ΗΜΘ, ΘΝΕ dimidium parallelogrammi quod ad ipſum eſt. ſed ſegmentum minus eſt parallelogrammo: quare unumquodque triangulorum ΕΚΖ, ΖΛΗ, ΗΜΘ, ΘΝΕ majus eſt dimidio ſegmenti circuli in quo conſiſtit: reliquas igitur circumferentias bifariam ſecantes, & jungentes rectas lineas, atque hoc ſemper facientes, relinquemus tandem quædam circuli ſegmenta, quæ minora erunt exceſſu, quo circulus ΕΖΗΘ ipſum Σ ſpatium ſuperat. etenim oſtenſum eſt, in primo theoremate decimi libri, duabus magnitudinibus inæqualibus expoſitis, ſi à majori auferatur majus quam dimidium, & ab eo quod relinquitur rurſus majus quam dimidium, & hoc ſemper fiat, relinqui tandem magnitudinem aliquam, quæ minore magnitudine expoſita ſit minor. itaque relicta ſint ſegmenta circuli ΕΖΗΘ in rectis lineis ΕΚ, ΚΖ, ΖΛ, ΛΗ, ΗΜ, ΜΘ, ΘΝ, ΝΕ, quæ majora ſint exceſſu quo circulus ΕΖΗΘ ipſum Σ ſpatium ſuperat: ergo reliquum ΕΚΖΛΗΜΘΝ polygonum majus erit ſpatio Σ. deſcribatur etiam in ΑΒΓΔ circulo polygono ΕΚΖΛΗΜΘΝ ſimile polygonum ΑΞΒΟΓΠΔΡ: eſt igitur [per 1. 12.] ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita polygonum ΑΞΒΟΓΠΔΡ ad ΕΚΖΛΗΜΘΝ polygonum. ſed [ex hypoth.] ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita ΑΒΓΔ circulus ad ſpatium Σ: ergo & ut circulus ΑΒΓΔ ad ſpatium Σ ita polygonum ΑΞΒΟΓΠΔΡ ad ΕΚΖΛΗΜΘΝ polygonum, & permutando ut circulus ΑΒΓΔ ad polygonum quod in ipſo eſt ita ſpatium Σ ad polygonum ΕΚΖΛΗΜΘΝ. major autem eſt circulus ΑΒΓΔ eo qui in ipſo eſt polygono: quare & ſpatium Σ majus eſt polygono ΕΚΖΛΗΜΘΝ. ſed & [ex hyp.] minus; quod fieri non poteſt: non igitur eſt ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita ΑΒΓΔ circulus ad ſpatium aliquod minus circulo ΕΖΗΘ. ſimiliter oſtendemus, neque eſſe ut quadratum ex ΖΘ ad quadratum ex ΒΔ ita circulum ΕΖΗΘ ad aliquod ſpatium minus circulo ΑΒΓΔ. Dico etiam neque eſſe ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita circulum ΑΒΓΔ ad aliquod ſpatium majus circulo ΕΖΗΘ. ſi enim fieri poteſt,



σημείων ἐφαπτομένας τοῦ κύκλου ἀγάγωμεν, καὶ ἀναπληρώσωμεν τὰ ἀπὸ τῶν ΕΖ, ΖΗ, ΗΘ, ΘΕ εὐθειῶν παραλληλόγραμμα· ὥστε ἕκαστον τῶν ΕΚΖ, ΖΛΗ, ΗΜΘ, ΘΝΕ τριγώνων ἥμισυ ἔσται τοῦ καθ' ἑαυτὸ παραλληλογράμμου. ἀλλὰ τὸ καθ' ἑαυτὸ τμῆμα ἔλαττόν ἐστι τοῦ παραλληλογράμμου· ὥστε ἕκαστον τῶν ΕΚΖ, ΖΛΗ, ΗΜΘ, ΘΝΕ τριγώνων μεῖζόν ἐστι τοῦ ἡμίσεως τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου· τέμνοντες δὴ τὰς ὑπολειπομένας περιφερείας δίχα, καὶ ἐπιζευγνύντες εὐθείας, καὶ τοῦτο ἀεὶ ποιοῦντες, καταλείψομέν τινα τμήματα τοῦ κύκλου, ἃ ἔσται ἐλάσσονα τοῦ ὑπεροχῆς, ᾗ ὑπερέχει ὁ ΕΖΗΘ κύκλος τοῦ Σ χωρίου. ἐδείχθη γὰρ ἐν τῷ πρώτῳ θεωρήματι τοῦ ι', ὅτι δύο μεγεθῶν ἀνίσων ἐκκειμένων, ἐὰν ἀπὸ τοῦ μείζονος ἀφαιρεθῇ μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦ καταλειπομένου μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦτο ἀεὶ γίνηται, λειφθήσεταί τι μέγεθος ὃ ἔσται ἔλασσον τοῦ ἐκκειμένου ἐλάσσονος μεγέθους. λελείφθω ἔστω, καὶ ἔστω τὰ ὑπὸ τῶν ΕΚ, ΚΖ, ΖΛ, ΛΗ, ΗΜ, ΜΘ, ΘΝ, ΝΕ τμήματα τοῦ ΕΖΗΘ κύκλου ἐλάσσονα τοῦ ὑπεροχῆς ᾗ ὑπερέχει ὁ ΕΖΗΘ κύκλος τοῦ Σ χωρίου· λοιπὸν ἄρα τὸ ΕΚΖΛΗΜΘΝ πολύγωνον μεῖζόν ἐστι τοῦ Σ χωρίου. ἐγγεγράφθω καὶ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΕΚΖΛΗΜΘΝ πολυγώνῳ ὅμοιον πολύγωνον τὸ ΑΞΒΟΓΠΔΡ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς ΒΔ πρὸς τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον, οὕτως τὸ ΑΞΒΟΓΠΔΡ πολύγωνον πρὸς τὸ ΕΚΖΛΗΜΘΝ πολύγωνον. ἀλλὰ καὶ ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸ Σ χωρίον· καὶ ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸ Σ χωρίον, οὕτως τὸ ΑΞΒΟΓΠΔΡ πολύγωνον πρὸς τὸ ΕΚΖΛΗΜΘΝ πολύγωνον· ἐναλλὰξ ἄρα ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ἐν αὐτῷ πολύγωνον, οὕτως τὸ Σ χωρίον πρὸς τὸ ΕΚΖΛΗΜΘΝ πολύγωνον. μεῖζων δὲ ὁ ΑΒΓΔ κύκλος τοῦ ἐν αὐτῷ πολυγώνου· μεῖζον ἄρα καὶ τὸ Σ χωρίον τοῦ ΕΚΖΛΗΜΘΝ πολυγώνου. ἀλλὰ καὶ ἔλαττον, ὅπερ ἀδύνατον· οὐκ ἄρα ὡς τὸ ἀπὸ τῆς ΒΔ πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ὡς τὸ ἀπὸ τῆς ΖΘ πρὸς τὸ ἀπὸ τῆς ΒΔ οὕτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον. λέγω δὴ ὅτι οὐδ' ὡς τὸ ἀπὸ τῆς ΒΔ πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον. εἰ γὰρ δυνατόν,

ἔστω

ἔστω πρὸς μεῖζον τὸ Σ· ἀνάπαλιν ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς Ζ Θ πετράγωνον πρὸς τὸ ἀπὸ τῆς Β Δ ἕτως τὸ Σ χωρίον πρὸς τὸ ΑΒΓΔ κύκλον· ἀλλ' ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον ἕτως ὁ ΕΖΗΘ πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς Ζ Θ πετράγωνον πρὸς τὸ ἀπὸ τῆς Β Δ ἕτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον, ὅπερ ἐδείχθη ἀδύνατον· οὐκ ἄρα ὡς τὸ ἀπὸ τῆς Β Δ πετράγωνον πρὸς τὸ ἀπὸ τῆς Ζ Θ ἕτως ὁ ΑΒΓΔ κύκλος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον. ἐδείχθη δὲ ὅτι οὐδὲ πρὸς ἔλαττον· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Β Δ πετράγωνον πρὸς τὸ ἀπὸ τῆς Ζ Θ πετράγωνον ἕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον.

Οἱ ἄρα κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα. ὅπερ ἔδει δεῖξαι.

sit ad majus, nempe Σ; erit igitur invertendo ut quadratum ex Z Θ ad quadratum ex Β Δ ita ſpatium Σ ad ΑΒΓΔ circulum: ſed [ut infra oſtendetur] ut ſpatium Σ ad circulum ΑΒΓΔ ita circulus ΕΖΗΘ ad aliquod ſpatium minus circulo ΑΒΓΔ; ergo & ut quadratum ex Z Θ ad quadratum ex Β Δ ita ΕΖΗΘ circulus ad aliquod ſpatium minus circulo ΑΒΓΔ, quod fieri non poſſe oſtenſum eſt: non igitur eſt ut quadratum ex Β Δ ad quadratum ex Z Θ ita circulus ΑΒΓΔ ad ſpatium aliquod majus ΕΖΗΘ circulo. oſtenſum autem eſt neque ad minus: quare ut quadratum ex Β Δ ad quadratum ex Z Θ ita erit ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ.

Circuli igitur inter ſe ſunt, ut quadrata à diametris. quod erat demonſtrandum.

ΛΗΜΜΑ.

Λέγω δή, ὅτι τοῦ Σ χωρίου μείζονος ὄντος τοῦ ΕΖΗΘ κύκλου, ἐστὶν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον ἕτως ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον.

Γεγονέτω γὰρ ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον ἕτως ὁ ΕΖΗΘ κύκλος πρὸς τὸ Τ χωρίον· λέγω ὅτι ἔλαττόν ἐστι τὸ Τ χωρίον τοῦ ΑΒΓΔ κύκλου. ἐπεὶ γάρ ἐστιν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον ἕτως ὁ ΕΖΗΘ κύκλος πρὸς τὸ Τ χωρίον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΕΖΗΘ κύκλον ἕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸ Τ χωρίον. μεῖζον δὲ τὸ Σ τοῦ ΕΖΗΘ κύκλου· μεῖζον ἄρα καὶ ὁ ΑΒΓΔ κύκλος τοῦ Τ χωρίου· ὥστε ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον ἕτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον.



LEMMA.

Itaque dico, ſi ſpatium Σ ſit majus circulo ΕΖΗΘ, eſſe ut ſpatium Σ ad circulum ΑΒΓΔ ita circulum ΕΖΗΘ ad ſpatium aliquod circulo ΑΒΓΔ minus.

Fiat enim ut ſpatium Σ ad circulum ΑΒΓΔ ita ΕΖΗΘ circulus ad ſpatium Τ: dico ſpatium Τ circulo ΑΒΓΔ minus eſſe. quoniam enim eſt ut ſpatium Σ ad circulum ΑΒΓΔ ita ΕΖΗΘ circulus ad ſpatium Τ; erit permutando [per 16. 5.] ut ſpatium Σ ad circulum ΕΖΗΘ ita ΑΒΓΔ circulus ad ſpatium Τ. majus autem eſt [ex hyp.] ſpatium Σ circulo ΕΖΗΘ; ergo ΑΒΓΔ circulus ſpatio Τ eſt major; ac propterea ut ſpatium Σ ad circulum ΑΒΓΔ ita eſt ΕΖΗΘ circulus ad ſpatium aliquod circulo ΑΒΓΔ minus.



ΠΡΟΤΑΣΙΣ γ'.

Πᾶσα πυραμὶς τρίγωνον ἔχουσα βάσιν διαιρεῖται εἰς δύο πυραμίδας ἴσας τε καὶ ὁμοίας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας καὶ ὁμοίας τῇ ὅλῃ· καὶ εἰς δύο πρίσματα ἴσα,

PROP. III. THEOR.

Omnis pyramis triangularem habens baſim dividitur in duas pyramides æquales & ſimiles inter ſe quæ triangulares baſes habent, eaſque ſimiles toti; necnon in duo priſmata æqualia,

æqualia, quæ dimidio quidem totius pyramidis ſunt majora.

SIT pyramis, cujus baſis quidem ΑΒΓ triangulum, vertex autem punctum Δ: dico pyramidem ΑΒΓΔ dividi in duas pyramides æquales & ſimiles inter ſe triangulares baſes habentes, ſimileſque toti; necnon in duo priſmata æqualia, duo vero priſmata dimidio totius pyramidis eſſe majora.

Secentur enim ΑΒ, ΒΓ, ΓΑ, ΑΔ, ΔΒ, ΔΓ bifariam in punctis Ε, Ζ, Η, Θ, Κ, Λ, & ΕΘ, ΕΗ, ΗΘ, ΘΚ, ΚΑ, ΛΘ, ΕΚ, ΚΖ, ΖΗ jungantur. quoniam igitur ΑΕ quidem eſt æqualis ΕΒ; ΑΘ vero ipſi ΘΔ; erit [per 2. 6.] ΕΘ ipſi ΔΒ parallela. eadem ratione & ΘΚ eſt parallela ipſi ΑΒ: parallelogrammum igitur eſt ΘΕΒΚ: quare [per 34. 1.] ΘΚ eſt æqualis ΕΒ. ſed ΕΒ ipſi ΑΕ eſt æqualis: ergo & ΑΕ ipſi ΘΚ æqualis erit. eſt autem & ΑΘ æqualis ΘΔ: duæ igitur ΑΕ, ΑΘ duabus ΚΘ, ΘΔ æquales ſunt, altera alteri, & [per 29. 1.] angulus ΕΑΘ æqualis angulo ΚΘΔ: baſis igitur ΕΘ [per 4. 1.] baſi ΚΔ eſt æqualis: quare triangulum ΑΕΘ æquale eſt & ſimile triangulo ΘΚΔ. eadem ratione & triangulum ΑΘΗ triangulo ΘΔΛ æquale eſt & ſimile. & quoniam duæ rectæ lineæ ſeſe tangentes ΕΘ, ΘΗ duabus rectis lineis ſeſe tangentibus ΚΔ, ΔΛ parallelæ ſunt, non autem in eodem plano, [per 10. 11.] æquales angulos continebunt: ergo angulus ΕΘΗ eſt æqualis angulo ΚΔΛ. rurſus quoniam duæ rectæ lineæ ΕΘ, ΘΗ duabus ΚΔ, ΔΛ æquales ſunt altera alteri, & angulus ΕΘΗ æqualis angulo ΚΔΛ; erit baſis ΕΗ baſi ΚΛ æqualis; æquale igitur eſt & ſimile triangulum ΕΘΗ triangulo ΚΔΛ. eadem ratione & ΑΕΗ triangulum eſt æquale & ſimile triangulo ΘΚΛ; quare pyramis, cujus baſis quidem eſt ΑΕΗ triangulum, vertex autem punctum Θ, æqualis & ſimilis eſt pyramidi, cujus baſis eſt triangulum ΘΚΛ, & vertex Δ punctum. & quoniam uni laterum trianguli ΑΔΒ, videlicet ipſi ΑΒ, parallela ducta eſt ΘΚ; erit [per 29. 1.] triangulum ΑΔΒ triangulo ΔΘΚ æquiangulum, & [per 4. 6.] latera habent proportionalia: ſimile igitur eſt ΑΔΒ triangulum triangulo ΔΘΚ. & eadem ratione triangulum quidem ΔΒΓ ſimile eſt triangulo ΔΚΛ; triangulum vero ΑΔΓ triangulo ΔΘΛ. quod cum duæ rectæ lineæ ſeſe tangentes ΒΑ, ΑΓ duabus rectis lineis ſeſe tangentibus ΚΘ, ΘΛ parallelæ ſint, non exiſtentes in eodem plano, [per 10. 11.] æquales angulos continebunt: angulus igitur ΒΑΓ angulo ΚΘΛ eſt æqualis. atque



ἢ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος.

ΕΣτω πυραμὶς, ἧς βάσις μὲν τὸ ΑΒΓ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον· λέγω ὅτι ἡ ΑΒΓΔ πυραμὶς διαιρεῖται εἰς δύο πυραμίδας ἴσας τε καὶ ὁμοίας ἀλλήλαις, τριγώνους βάσεις ἐχούσας, καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος.

Τετμήσθωσαν γὰρ αἱ ΑΒ, ΒΓ, ΓΑ, ΑΔ, ΔΒ, ΔΓ δίχα κατὰ τὰ Ε, Ζ, Η, Θ, Κ, Λ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΘ, ΕΗ, ΗΘ, ΘΚ, ΚΑ, ΛΘ, ΕΚ, ΚΖ, ΖΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΒ, ἡ δὲ ΑΘ τῇ ΘΔ· παραλληλος ἄρα ἐστὶν ἡ ΕΘ τῇ ΔΒ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΘΚ τῇ ΑΒ παραλληλός ἐστιν· παραλληλόγραμμον ἄρα τὸ ΘΕΒΚ· ἴση ἄρα ἐστὶν ἡ ΘΚ τῇ ΕΒ. ἀλλὰ ἡ ΕΒ τῇ ΑΕ ἐστιν ἴση· καὶ ἡ ΑΕ ἄρα τῇ ΘΚ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΑΘ τῇ ΘΔ ἴση· δύο δὴ αἱ ΑΕ, ΑΘ δυσὶ ταῖς ΚΘ, ΘΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΕΑΘ γωνίᾳ τῇ ὑπὸ ΚΘΔ ἴση· βάσις ἄρα ἡ ΕΘ βάσει τῇ ΚΔ ἐστιν ἴση· ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΑΕΘ τριγώνον τῷ ΘΚΔ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΘΗ τρίγωνον τῷ ΘΛΔ τριγώνῳ ἴσον τέ ἐστι καὶ ὅμοιον. καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΕΘ, ΘΗ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΔ, ΔΛ εἰσιν, οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὔσας, ἴσας γωνίας περιέχουσιν· ἴση ἄρα ἡ ὑπὸ ΕΘΗ γωνία τῇ ὑπὸ ΚΔΛ γωνίᾳ. καὶ ἐπεὶ δύο εὐθεῖαι αἱ ΕΘ, ΘΗ δυσὶ ταῖς ΚΔ, ΔΛ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΕΘΗ γωνίᾳ τῇ ὑπὸ ΚΔΛ ἐστιν ἴση· βάσις ἄρα ἡ ΕΗ βάσει τῇ ΚΛ ἐστιν ἴση· ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΕΘΗ τριγώνον τῷ ΚΔΛ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΕΗ τριγώνον τῷ ΘΚΑ τριγώνῳ ἴσον καὶ ὅμοιόν ἐστιν· ἡ ἄρα πυραμὶς, ἧς βάσις μὲν τὸ ΑΕΗ τρίγωνον, κορυφὴ δὲ τὸ Θ σημεῖον, ἴση καὶ ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μὲν τὸ ΘΚΛ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. καὶ ἐπεὶ τριγώνου τοῦ ΑΔΒ παραλληλόγραμμον συμπέπληται τὸ ΑΒΚΘ, ἴσον ἐστὶ τὸ ΑΔΒ τρίγωνον τῷ ΔΘΚ τριγώνῳ, καὶ τὰς πλευρὰς ἀνάλογον ἔχουσιν· ὅμοιον ἄρα τὸ ΑΔΒ τρίγωνον τῷ ΔΘΚ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΔΒΓ τρίγωνον τῷ ΔΚΛ τριγώνῳ ὅμοιόν ἐστι, τὸ δὲ ΑΔΓ τῷ ΔΘΛ τριγώνῳ. καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΒΑ, ΑΓ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΘ, ΘΛ εἰσιν, οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὔσας, ἴσας γωνίας περιέχουσιν· ἴση ἄρα ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΗΘΚ. καὶ

ἔστι

ἔστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ ὕτως ἡ ΚΘ πρὸς τὴν ΘΛ· ὅμοιον ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ ΘΚΛ τριγώνῳ· καὶ πυραμὶς ἄρα, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μὲν ἐστὶ τὸ ΘΚΛ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον. ἀλλὰ πυραμὶς, ἧς βάσις μὲν ἐστὶ τὸ ΘΚΛ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ἐδείχθη ὁμοία πυραμίδι, ἧς βάσις μέν ἐστι τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον· ὥστε καὶ πυραμὶς, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μέν ἐστι τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον· ἑκατέρα ἄρα τῶν ΑΕΗΘ, ΘΚΛΔ πυραμίδων ὁμοία ἐστὶ τῇ ὅλῃ τῇ ΑΒΓΔ πυραμίδι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΖ τῇ ΖΓ, διπλάσιόν ἐστι τὸ ΕΒΖΗ παραλληλόγραμμον τοῦ ΗΖΓ τριγώνου. καὶ ἐπεὶ ἐὰν δύο πρίσματα ἰσοῦψῆ ὦσι, καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον, τὸ δὲ τρίγωνον, διπλάσιον δὲ ἡ τὸ παραλληλόγραμμον τοῦ τριγώνου, ἴσα εἰσὶν ἀλλήλοις τὰ πρίσματα· ἴσον ἄρα τὸ πρίσμα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΒΚΖ, ΕΘΗ τριῶν δὲ παραλληλογράμμων τῶν ΕΒΖΗ, ΕΒΚΘ, ΚΘΗΖ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν ΗΖΓ, ΘΚΛ τριῶν δὲ παραλληλογράμμων τῶν ΚΖΓΛ, ΛΓΗΘ, ΘΚΖΗ. καὶ φανερὸν ὅτι ἑκάτερον τῶν πρισμάτων, οὗ μὲν βάσις τὸ ΕΒΗΖ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα, καὶ οὗ βάσις τὸ ΗΖΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΚΛΘ τρίγωνον, μεῖζόν ἐστιν ἑκατέρας τῶν πυραμίδων, ὧν βάσις μὲν τὸ ΑΕΗ, ΘΚΛ τρίγωνα κορυφαὶ δὲ τὰ Θ, Δ σημεῖα· ἐπειδήπερ ἐὰν ἐπιζεύξωμεν τὰς ΕΖ, ΕΚ εὐθείας, τὸ μὲν πρίσμα, οὗ βάσις τὸ ΕΒΖΗ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα, μεῖζόν ἐστι τῆς πυραμίδος, ἧς βάσις μέν τὸ ΕΒΖ τρίγωνον κορυφὴ δὲ τὸ Κ σημεῖον. ἀλλ' ἡ πυραμὶς, ἧς βάσις μὲν τὸ ΕΒΖ τρίγωνον κορυφὴ δὲ τὸ Κ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις μὲν τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον, ἐπὶ γὰρ ἴσων καὶ ὁμοίων ὑπιπέδων περιέχονται· ὥστε καὶ τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΕΒΖΗ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα, μεῖζόν ἐστι πυραμίδος, ἧς βάσις μὲν τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον. ἴσον δὲ τὸ μὲν πρίσμα, οὗ βάσις μὲν τὸ ΕΒΖΗ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα, τῷ πρίσματι, οὗ βάσις μὲν τὸ ΗΖΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΘΚΛ τρίγωνον· ἡ ἄρα πυραμὶς, ἧς βάσις μὲν τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις μὲν τὸ ΘΚΛ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον· τὰ ἄρα εἰρημένα δύο πρίσματα μείζονά ἐστι τῶν εἰρημένων δύο πυραμίδων, ὧν βάσεις μὲν τὰ ΑΕΗ, ΘΚΛ τρίγωνα κορυφαὶ δὲ τὰ Θ, Δ σημεῖα· ἡ ἄρα ὅλη πυραμὶς, ἧς βάσις τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, διήρηται εἰς δύο πυραμίδας, ἴσας τε καὶ ὁμοίας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος. ὅπερ ἔδει δεῖξαι.

est ut BA ad AΓ ita KΘ ad ΘΛ: ergo [per 6.6.] ABΓ triangulum ſimile eſt triangulo ΘKΛ: ideoque pyramis, cujus baſis quidem triangulum ABΓ vertex autem punctum Δ, ſimilis eſt pyramidi, cujus triangulum ΘKΛ & vertex punctum Δ. ſed pyramis, cujus baſis quidem ΘKΛ triangulum vertex autem punctum Δ, oſtenſa eſt ſimilis pyramidi, cujus baſis triangulum AEH & vertex Θ punctum: quare & pyramis, cujus baſis triangulum ABΓ & vertex punctum Δ, ſimilis eſt pyramidi, cujus baſis AEH triangulum & vertex punctum Θ: utraque igitur ipſarum AEHΘ, ΘKΛΔ pyramidum ſimilis eſt toti pyramidi ABΓΔ. & quoniam BZ eſt æqualis ZΓ, erit [per 41. 1.] EBZH parallelogrammum duplum trianguli HZΓ. & quoniam ſi ſint duo priſmata æquealta, quorum unum quidem baſim habet parallelogrammum, alterum vero triangulum, ſitque parallelogrammum duplum trianguli; ſunt [per 40. 11.] ea priſmata inter ſe æqualia: ergo priſma contentum ſub duobus triangulis BKZ, EΘH & tribus parallelogrammis EBZH, EBKΘ, KΘHZ eſt æquale priſmati quod ſub duobus triangulis HZΓ, ΘKΛ & tribus parallelogrammis KZΓΛ, ΛΓHΘ, ΘKZH continetur. & manifeſtum eſt utrumque ipſorum priſmatum, & cujus baſis eſt EBZH parallelogrammum oppoſita autem ipſi ΘK recta linea, & cujus baſis eſt HZΓ triangulum & oppoſitum ipſi triangulum KΛΘ, majus eſſe utraque pyramidum, quarum baſes quidem AEH, ΘKΛ triangula vertices autem puncta Θ, Δ: quoniam ſi jungamus EZ, EK rectas lineas, priſma quidem, cujus baſis eſt EBZH parallelogrammum & oppoſita ipſi recta linea ΘK, majus eſt pyramide, cujus baſis EBZ triangulum vertex autem punctum K. ſed pyramis, cujus baſis triangulum EBZ, & vertex K punctum, [per 10. def. 11.] eſt æqualis pyramidi, cujus baſis AEH triangulum & vertex punctum Θ; æqualibus enim & ſimilibus planis continentur: quare & priſma, cujus baſis parallelogrammum EBZH oppoſita autem ipſi recta linea ΘK, majus eſt pyramide, cujus baſis AEH triangulum & vertex punctum Θ. priſma vero, cujus baſis parallelogrammum EBZH & oppoſita ipſi recta linea ΘK, eſt æquale priſmati, cujus baſis HZΓ triangulum & ipſi oppoſitum triangulum ΘKΛ; & pyramis, cujus baſis triangulum AEH vertex autem Θ punctum, eſt æqualis pyramidi, cujus baſis ΘKΛ triangulum & vertex punctum Δ: ergo duo priſmata, de quibus dictum eſt, ſunt majora duabus dictis pyramidibus, quorum baſes triangula AEH, ΘKΛ vertices autem Θ, Δ puncta: tota igitur pyramis, cujus baſis ABΓ triangulum vertex autem punctum Δ, diviſa eſt in duas pyramides æquales & ſimiles inter ſe & ſimiles toti; & in duo priſmata æqualia, quæ dimidio quidem totius pyramidis ſunt majora. quod erat demonſtrandum.

PROP. IV. THEOR.

Si ſint duæ pyramides æquealtæ, quæ triangulares baſes habent, dividatur autem utraque ipſarum, & in duas pyramides æquales inter ſe ſimileſque toti, & in duo priſmata æqualia, atque ortarum pyramidum utraque eodem modo dividatur, idque ſemper fiat; erit ut unius pyramidis baſis ad baſim alterius ita priſmata omnia in una pyramde ad priſmata omnia in altera pyramide numero æqualia.

SInt duæ pyramides æquealtæ, quæ triangulares baſes habent ΑΒΓ, ΔΕΖ, vertices autem ſint puncta Η, Θ, & dividatur utraque ipſarum in duas pyramides æquales inter ſe ſimileſque toti, & in duo priſmata æqualia, atque ortarum pyramidum utraque eodem modo diviſa intelligatur, atque hoc ſemper fiat: dico ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita eſſe priſmata omnia quæ ſunt in pyramide ΑΒΓΗ ad priſmata omnia in pyramide ΔΕΖΘ numero æqualia.

Quoniam enim ΒΞ quidem eſt æqualis ΞΓ, ΑΛ vero æqualis ΛΓ; erit [per 2. 6.] ΞΛ ipſi ΑΒ parallela, & [per 4. 6.] triangulum ΛΞΓ triangulo ΑΒΓ ſimile. eadem ratione & triangulum ΔΕΖ ſimile eſt triangulo ΡΦΖ. & quoniam ΒΓ quidem eſt dupla ΓΞ, & ΕΖ dupla ipſius ΖΦ, ut ΒΓ ad ΓΞ ita erit ΕΖ ad ΖΦ. & deſcripta ſunt ab ipſis ΒΓ, ΓΞ ſimilia & ſimiliter poſita rectilinea ΑΒΓ, ΛΞΓ, ab ipſis vero ΕΖ, ΖΦ ſimilia & ſimiliter poſita rectilinea ΔΕΖ, ΡΦΖ: eſt igitur [per 22. 6.] ut ΒΑΓ triangulum ad triangulum ΛΞΓ ita triangulum ΔΕΖ ad ΡΦΖ triangulum; & permutando ut triangulum ΑΒΓ ad triangulum ΔΕΖ ita ΛΞΓ triangulum ad triangulum ΡΦΖ. ſed [ut oſtendetur infra] ut ΛΞΓ triangulum ad triangulum ΡΦΖ ita priſma, cujus baſis eſt triangulum ΛΞΓ oppoſitum autem ipſi ΟΜΝ, ad priſma, cujus baſis ΡΦΖ triangulum & oppoſitum ipſi ΣΤΤ: igitur [per 11. 5.] ut ΑΒΓ triangulum ad triangulum ΔΕΖ ita priſma, cujus baſis eſt triangulum ΛΞΓ oppoſitum autem ipſi ΟΜΝ, ad priſma, cujus baſis ΡΦΖ triangulum & oppoſitum ipſi ΣΤΤ. & quoniam duo priſmata, quæ ſunt in pyramide ΑΒΓΗ, inter ſe æqualia ſunt, ſed &



ΠΡΟΤΑΣΙΣ δ'.

Ἐὰν ὦσι δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος, τριγώνους ἐχούσας βάσεις, διαιρεθῇ δὲ ἑκατέρα αὐτῶν εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τῶν γενομένων πυραμίδων ἑκατέρα τὸν αὐτὸν τρόπον, καὶ τοῦτο ἀεὶ γίνηται· ἔστιν ὡς ἡ τῆς μιᾶς πυραμίδος βάσις πρὸς τὴν τῆς ἑτέρας πυραμίδος βάσιν οὕτως καὶ τὰ ἐν τῇ μιᾷ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ἑτέρᾳ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

Ἔστωσαν δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος, τριγώνους ἐχούσας βάσεις τὰς ΑΒΓ, ΔΕΖ, κορυφὰς δὲ τὰ Η, Θ σημεῖα, καὶ διηρήσθω ἑκατέρα αὐτῶν εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τῶν γενομένων πυραμίδων ἑκατέρα τὸν αὐτὸν τρόπον νενοήσθω διῃρημένη, καὶ τοῦτο ἀεὶ γινέσθω· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ μὲν ΒΞ τῇ ΞΓ, ἡ δὲ ΑΛ τῇ ΛΓ· διπλασίων ἄρα ἡ ΓΑ τῆς ΑΛ, καὶ ὅμοιον τὸ ΑΒΓ τρίγωνον τῷ ΛΞΓ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΔΕΖ τρίγωνον ὅμοιόν ἐστι τῷ ΡΦΖ τριγώνῳ. ἐπεὶ διπλασίων ἐστὶν ἡ μὲν ΒΓ τῆς ΓΞ, ἡ δὲ ΕΖ τῆς ΖΦ· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΞ οὕτως ἡ ΕΖ πρὸς τὴν ΖΦ. ἐὰν ἀναγέγραπται ἀπὸ μὲν τῶν ΒΓ, ΓΞ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ ΑΒΓ, ΛΞΓ, ἀπὸ δὲ τῶν ΕΖ, ΖΦ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ ΔΕΖ, ΡΦΖ· ἔστιν ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΛΞΓ τρίγωνον οὕτως τὸ ΔΕΖ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον· ἀναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον οὕτως τὸ ΛΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον. ἀλλ' ὡς τὸ ΛΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον οὕτως τὸ πρίσμα, οὗ βάσις μέν ἐστι τὸ ΛΞΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΟΜΝ πρὸς τὸ πρίσμα, οὗ βάσις μέν τὸ ΡΦΖ τρίγωνον ἀπεναντίον δὲ τὸ ΣΤΤ· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον οὕτως τὸ πρίσμα, οὗ βάσις μέν τὸ ΛΞΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΟΜΝ, πρὸς τὸ πρίσμα, οὗ βάσις μέν τὸ ΡΦΖ τρίγωνον ἀπεναντίον ἢ τὸ ΣΤΤ. καὶ ἐπεὶ τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα ἴσα ἐστὶν ἀλλήλοις, ἀλλὰ μὴν καὶ

καὶ τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα ἴσα ἐστὶν ἀλλήλοις· ἔστιν ἄρα ὡς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΚΛΞΒ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΜΟ εὐθεῖα, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΛΞΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΟΜΝ, οὕτως τὸ πρίσμα, οὗ βάσις μὲν ΕΠΡΦ ἀπεναντίον ἡ ΣΤ εὐθεῖα, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον ἀπεναντίον τὸ ΣΤΥ· συνθέντι ἄρα ὡς τὰ ΚΒΞΛΜΟ, ΛΞΓΜΝΟ πρίσματα πρὸς τὸ ΛΞΓΜΝΟ πρίσμα οὕτως τὰ ΠΕΦΡΣΤ, ΡΦΖΣΤΥ πρίσματα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα· ἐναλλὰξ ἄρα ὡς τὰ ΚΒΞΛΟΜ, ΛΞΓΟΜΝ πρὸς τὰ ΠΕΦΡΣΤ, ΡΦΖΣΤΥ πρίσματα οὕτως τὸ ΛΞΓΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα. ὡς δὲ ΛΞΓΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα οὕτως ἐδείχθη ἡ ΛΞΓ βάσις πρὸς τὴν ΡΦΖ βάσιν, καὶ ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον οὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα. ὁμοίως δὲ καὶ τὰς γενομένας πυραμίδας δείξομεν τὸν αὐτὸν τρόπον οἷον ὡς τὰ ΟΜΝΗ, ΣΤΥΘ, ἔσται ὡς ἡ ΟΜΝ βάσις πρὸς τὴν ΣΤΥ βάσιν οὕτως τὰ ἐν τῇ ΟΜΝΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύο πρίσματα. ἀλλ' ὡς ἡ ΟΜΝ βάσις πρὸς τὴν ΣΤΥ βάσιν οὕτως ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν· καὶ ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως καὶ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα, καὶ τὰ ἐν τῇ ΟΜΝΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύο πρίσματα, καὶ ποτέρα πρὸς ποτέρα. τὰ αὐτὰ δὲ δειχθήσεται καὶ ἐπὶ τῶν γενομένων πρισμάτων ἐκ τῆς διαιρέσεως τῶν ΑΚΛΟ καὶ ΔΠΡΣ πυραμίδων καὶ πάντων ἁπλῶς τῶν ἰσοπληθῶν. ὅπερ ἔδει δεῖξαι.

quæ in pyramide ΔΕΖΘ prismata inter se sunt æqualia; erit ut prisma, cujus basis parallelogrammum ΚΛΞΒ opposita vero ipsi recta linea ΜΟ, ad prisma, cujus basis ΛΞΓ triangulum & oppositum ipsi ΟΜΝ, ita prisma, cujus basis parallelogrammum ΒΠΡΦ & opposita recta linea ΣΤ, ad prisma, cujus basis ΡΦΖ triangulum oppositum vero ipsi ΣΤΥ: quare componendo [per 18. 5.] ut prismata ΚΒΞΛΜΟ, ΛΞΓΜΝΟ ad prisma ΛΞΓΜΝΟ ita prismata ΠΕΦΡΣΤ, ΡΦΖΣΤΥ ad prisma ΡΦΖΣΤΥ: & permutando ut prismata ΚΒΞΛΟΜ, ΛΞΓΟΜΝ ad prismata ΠΕΦΡΣΤ, ΡΦΖΣΤΥ ita prisma ΛΞΓΜΝΟ ad prisma ΡΦΖΣΤΥ. ut autem prisma ΛΞΓΜΝΟ ad prisma ΡΦΖΣΤΥ ita ostensa est basis ΛΞΓ ad ΡΦΖ basim, & ΑΒΓ basis ad basim ΔΕΖ: ergo & ut triangulum ΑΒΓ ad triangulum ΔΕΖ ita quæ in pyramide ΑΒΓΗ duo prismata ad duo prismata quæ in pyramide ΔΕΖΘ. similiter autem & si factas pyramides dividamus eodem modo velut ΟΜΝΗ, ΣΤΥΘ, erit ut ΟΜΝ basis ad basim ΣΤΥ ita quæ in pyramide ΟΜΝΗ duo prismata ad duo prismata quæ in pyramide ΣΤΥΘ. sed ut ΟΜΝ basis ad basim ΣΤΥ ita basis ΑΒΓ ad ΔΕΖ basim: & igitur ut ΑΒΓ basis ad basim ΔΕΖ ita quæ in pyramide ΑΒΓΗ duo prismata ad duo prismata quæ in pyramide ΔΕΖΘ, & quæ in pyramide ΟΜΝΗ duo prismata ad duo prismata quæ in pyramide ΣΤΥΘ, & quatuor ad quatuor. eadem autem ostendentur & in cæteris prismatum quæ oriuntur divisione pyramidum ΑΚΛΟ, & ΔΠΡΣ & omnium simpliciter multitudine æqualium. quod erat demonstrandum.

ΛΗΜΜΑ.

Οτι δέ ἐστιν ὡς τὸ ΛΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον, οὕτως τὸ πρίσμα, οὗ βάσις τὸ ΛΞΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΟΜΝ, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον ἀπεναντίον δὲ τὸ ΣΤΥ, οὕτως δειχτέον.

Ἐπὶ γὰρ τῆς αὐτῆς καταγραφῆς νενοήθωσαν ἀπὸ τῶν Η, Θ κάθετοι ἐπὶ τὰ ΑΒΓ, ΔΕΖ τρίγωνα ἐπίπεδα, ἴσαι δηλαδὴ τυγχάνουσαι διὰ τὸ ἰσοϋψεῖς ὑπονοεῖσθαι τὰς πυραμίδας. καὶ ἐπεὶ δύο εὐθεῖαι, ἥτε ΗΓ ἐστὶ καὶ ἀπὸ τοῦ Η κάθετος ἀπὸ παραλλήλων ἐπιπέδων τῶν ΑΒΓ, ΟΜΝ πίπτουσι, εἰς τοὺς αὐτοὺς λόγους τμηθήσονται. καὶ τέτμηται ἡ ΗΓ δίχα κατὰ τὸ Ν σημεῖον· καὶ ἡ ἀπὸ τοῦ Η ἄρα κάθετος ἐπὶ τὸ ΑΒΓ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ ΟΜΝ ἐπιπέδου. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἀπὸ τοῦ Θ κάθετος ἐπὶ τὸ ΔΕΖ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ ΣΤΥ ἐπιπέδου. καὶ εἰσὶν ἴσαι αἱ ἀπὸ τῶν Η, Θ κάθετοι ἐπὶ τὰ ΑΒΓ, ΔΕΖ ἐπίπεδα· ἴσαι ἄρα καὶ αἱ ἀπὸ τῶν ΟΜΝ, ΣΤΥ τριγώνων ἐπὶ

LEMMA.

At vero ut ΛΞΓ triangulum ad triangulum ΡΦΖ, ita esse prisma, cujus basis triangulum ΛΞΓ oppositum autem ipsi ΟΜΝ, ad prisma, cujus basis ΡΦΖ triangulum & oppositum ipsi ΣΤΥ, hoc modo ostendemus.

In eadem enim figura intelligantur ab ipsis Η, Θ punctis perpendiculares ductæ ad ΑΒΓ, ΔΕΖ triangulorum plana, quæ inter se æquales erunt; propterea quod pyramides ipsæ æqualtæ ponuntur. & quoniam duæ rectæ lineæ ΗΓ & perpendicularis à puncto Η ducta secantur à parallelis planis ΑΒΓ, ΟΜΝ, [per 17. 11.] in eadem ratione secabuntur. secatur vero ΗΓ bifariam a plano ΟΜΝ in puncto Ν: ergo & à puncto Η ducta perpendicularis ad ΑΒΓ planum bifariam secabitur à plano ΟΜΝ. eadem ratione & quæ à puncto Θ ducitur perpendicularis ad ΔΕΖ planum à plano ΣΤΥ bifariam secabitur. sunt autem æquales perpendiculares, quæ ab ipsis Η, Θ ducuntur ad plana ΑΒΓ, ΔΕΖ: ergo & æquales quæ à triangulis ΟΜΝ, ΣΤΥ ad ipsa

ABΓ, ΔEZ perpendiculares ducuntur: æquealta igitur ſunt priſmata, quorum baſes triangula ΛΞΓ, PΦΣ, oppoſita autem ipſis OMN, ΣTT: quare [per 32. 11.] & ſolida parallelepipeda quæ à dictis priſmatibus deſcribuntur æquealta inter ſe ſunt ut baſes; pariterque de illorum dimidiis, ut AΞΓ baſis ad baſim PΦZ ita erunt inter ſe & dicta priſmata. quod erat demonſtrandum.

Prop. V. Theor.

Pyramides quæ in eadem ſunt altitudine & triangulares baſes habent inter ſe ſunt ut baſes.

SInt enim in eadem altitudine pyramides, quarum baſes quidem triangula ABΓ, ΔEZ, vertices autem puncta H, Θ: dico ut ABΓ baſis ad baſim ΔEZ ſic eſſe pyramidem ABΓH ad ΔEZΘ pyramidem.

Si enim non ita ſit, erit ut ABΓ baſis ad baſim ΔEZ ſic ABΓH pyramis vel ad ſolidum minus pyramide ΔEZΘ vel ad majus. eſto primum ad ſolidum minus, ſitque X; & dividatur pyramis ΔEZΘ in duas pyramides æquales inter ſe, & ſimiles toti, & in duo priſmata æqualia; ſunt igitur [per 3. 12.] duo priſmata dimidio totius pyramidis majora. & rurſus pyramides ex diviſione factæ ſimiliter dividantur, atque hoc ſemper fiat quoad ſumantur quædam pyramides à pyramide ΔEZΘ, quæ ſint minores exceſſu, quo pyramis ΔEZΘ ſolidum X ſuperat. itaque ſumantur, & ſint exempli cauſa pyramides ΔΠPΣ, ΣTTΘ: erunt igitur reliqua in pyramide ΔEZΘ priſmata ſolido X majora. dividatur etiam ABΓH pyramis ſimiliter & in totidem partes atque pyramis ΔEZΘ: ergo [per 4. 12.] ut ABΓ baſis ad baſim ΔEZ ita quæ in pyramide ABΓH priſmata ad priſmata quæ in pyramide ΔEZΘ. ſed [ex hyp.] ut ABΓ baſis ad baſim ΔEZ ita pyramis ABΓH ad ſolidum X: & igitur ut ABΓH pyramis ad ſolidum X ita quæ in pyramide ABΓH priſmata ad priſmata quæ in pyramide ΔEZΘ: & permutando ut ABΓH pyramis ad priſmata quæ in ipſa ſunt ita ſolidum X ad priſmata quæ ſunt in pyramide ΔEZΘ. major autem eſt pyramis ABΓH priſmatibus quæ in ipſa ſunt: ergo & ſolidum X priſmatibus quæ ſunt in pyramide ΔEZΘ eſt majus. ſed & minus, quod



ΠΡΟΤΑΣΙΣ ε'.

Αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχουσι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις.

ΕΣτωσαν ὑπὸ τὸ αὐτὸ ὕψος πυραμίδες, ὧν βάσεις μὲν τὰ ΑΒΓ, ΔΕΖ τρίγωνα, κορυφαὶ δὲ τὰ Η, Θ σημεῖα· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ ὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα.

Εἰ γὰρ μή ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα, ἔστω ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ὕτως ἡ ΑΒΓΗ πυραμὶς ἤτοι πρὸς ἔλασσόν τι τοῦ ΔΕΖΘ πυραμίδος στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρότερον πρὸς ἔλασσον τὸ Χ· καὶ διῃρήσθω ἡ ΔΕΖΘ πυραμὶς εἰς τὰ δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα· τὰ δὴ δύο πρίσματα μείζονά ἐστιν, ἢ τὸ ἥμισυ τοῦ ὅλης πυραμίδος. καὶ πάλιν αἱ ἐκ τῆς διαιρέσεως γινόμεναι δυὸ πυραμίδες ὁμοίως διῃρήσθωσαν καὶ εἰς πρίσματα ἴσα· καὶ τοῦτο ἀεὶ γινέσθω ἕως οὗ λειφθῶσί τινες πυραμίδες ἀπὸ τῆς ΔΕΖΘ πυραμίδος, αἵ εἰσιν ἐλάσσονες τοῦ ὑπερέχοντος, ἧς ὑπερέχει ἡ ΔΕΖΘ πυραμὶς τοῦ Χ στερεοῦ. λελείφθωσαν καὶ ἔστωσαν λόγου ἕνεκα αἱ ΔΠΡΣ, ΣΤΤΘ· λοιπὰ ἄρα τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα μείζονά ἐστι τοῦ Χ στερεοῦ. διῃρήσθω καὶ ἡ ΑΒΓΗ πυραμὶς ὁμοίως καὶ ἰσοπληθῶς τῇ ΔΕΖΘ πυραμίδι· ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα. ἀλλ' ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὸ Χ στερεόν· καὶ ὡς ἄρα ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὸ Χ στερεὸν ὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα· ἀναλλὰξ ἄρα ὡς ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὰ ἐν αὐτῇ πρίσματα ὕτως τὸ Χ στερεὸν πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα. μείζων δὲ ἡ ΑΒΓΗ πυραμὶς τῶν ἐν αὐτῇ πρισμάτων· μεῖζον ἄρα καὶ τὸ Χ στερεὸν τῶν ἐν τῇ ΔΕΖΘ πυραμίδι πρισμάτων. ἀλλὰ καὶ ἔλασσον, ὅπερ ἐστὶν

ἐστὶν ἀδύνατον· οὐκ ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ἕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς ἔλαττόν τι τοῦ ΔΕΖΘ πυραμίδος στερεόν. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ὡς ἡ ΔΕΖ βάσις πρὸς τὴν ΑΒΓ βάσιν ἕτως ἡ ΔΕΖΘ πυραμὶς πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΗ πυραμίδος στερεόν. λέγω δὴ ὅτι οὐδὲ ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ἕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς μεῖζόν τι τοῦ ΔΕΖΘ πυραμίδος στερεόν. εἰ γὰρ δυνατόν, ἔστω πρὸς μεῖζον τὸ Χ· ἀνάπαλιν ἄρα ὡς ἡ ΔΕΖ βάσις πρὸς τὴν ΑΒΓ βάσιν ἕτως τὸ Χ στερεὸν πρὸς τὴν ΑΒΓΗ πυραμίδα. ὡς δὲ τὸ Χ στερεὸν πρὸς τὴν ΑΒΓΗ πυραμίδα ἕτως ἡ ΔΕΖΘ πυραμὶς πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΗ πυραμίδος, ὡς ἔμπροσθεν ἐδείχθη· καὶ ὡς ἄρα ἡ ΔΕΖ βάσις πρὸς τὴν ΑΒΓ βάσιν ἕτως ἡ ΔΕΖΘ πυραμὶς πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΗ πυραμίδος, ὅπερ ἄτοπον ἐδείχθη· οὐκ ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ἕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς μεῖζόν τι τοῦ ΔΕΖΘ πυραμίδος στερεόν. ἐδείχθη δὲ ὅτι οὐδὲ πρὸς ἔλαττον· ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ἕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα.

Αἱ ἄρα ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις. ὅπερ ἔδει δεῖξαι.

Quoniam enim quintuplum est [ex hyp.] quadratum ex ΓΔ quadrati ex ΔΑ, quadrato autem ex ΓΔ æqualia sunt [per 4. 2.] quadrata ex ΓΑ, ΑΔ una cum eo quod bis sub ΓΑ, ΑΔ continetur; erunt quadrata ex ΓΑ, ΑΔ una cum eo quod bis sub ΓΑ, ΑΔ continetur quadrati ex ΑΔ quintupla: ergo dividendo quadratum ex ΓΑ cum eo quod bis continetur sub ΓΑ, ΑΔ quadruplum est quadrati ex ΑΔ. sed ei quidem quod bis sub ΓΑ, ΑΔ continetur æquale est rectangulum sub ΒΑ, ΑΓ, est enim ΒΑ ipsius ΑΔ dupla; quadrato autem ex ΑΓ [per 17. 6.] est æquale rectangulum sub ΑΒ, ΒΓ, namque [ex hyp.] ΑΒ extrema ac media ratione secta est: rectangulum igitur sub ΒΑ, ΑΓ una cum rectangulo sub ΑΒ, ΒΓ quadruplum est quadrati ex ΑΔ. sed [per 2. 2.] rectangulum sub ΒΑ, ΑΓ una cum rectangulo sub ΑΒ, ΒΓ est quadratum ex ΑΒ: ergo quadratum ex ΑΒ quadruplum est quadrati ex ΑΔ. quod quidem [per cor. 20. 6.] ita se habet; est enim ΒΑ ipsius ΑΔ dupla.

Compositio ejusdem.

Quoniam igitur quadruplum est quadratum ΒΑ quadrati ex ΑΔ; quadratum autem ex ΑΒ est [per 2. 2.] rectangulum sub ΒΑ, ΑΓ una cum rectangulo sub ΑΒ, ΒΓ: erit rectangulum sub ΒΑ, ΑΓ una cum rectangulo sub ΑΒ, ΒΓ quadrati ex ΑΔ quadruplum. sed rectangulum quidem sub ΒΑ, ΑΓ est æquale ei quod bis sub

* Deest in *Codd. MS.* † Pariter & resolutio & compositio hujus theorematis, ut & cujusvis ex quatuor sequentibus, desideratur in *Codd. MSS.*

ΔA, AΓ continetur; rectangulum autem ſub AB, BΓ eſt æquale quadrato ex AΓ: ergo quadratum ex AΓ una cum eo quod bis continetur ſub ΔA, AΓ quadruplum eſt quadrati ex ΔA; quare quadrata ipſarum ΔA, AΓ una cum eo quod bis ſub ΔA, AΓ continetur quintuplum eſt quadrati ex ΔA. ſed [per 4. 2.] quadrata ex ΔA, AΓ una cum eo quod bis continetur ſub ΔA, AΓ eſt quadratum ex ΔΓ: quadratum igitur ex ΔΓ quadrati ex ΔA quintuplum eſt. quod erat demonſtrandum.



ΔA, AΓ, τὸ δὲ ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ· τὸ ἄρα ἀπὸ τῆς AΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔA, AΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔA· ὥστε τὰ ἀπὸ τῶν ΔA, AΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔA, AΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔA. τὰ δὲ ἀπὸ τῶν ΔA, AΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔA, AΓ τὸ ἀπὸ τῆς ΔΓ ἐστι· τὸ ἄρα ἀπὸ τῆς ΔΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔA. ὅπερ ἔδει δεῖξαι.

Prop. II. Theor.

Si recta linea partis ſui ipſius quintuplum poſſit, atque duplum dictæ partis extrema ac media ratione ſecetur; major portio eſt pars reliqua ejus quæ à principio rectæ lineæ.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν εὐθεῖα γραμμὴ τμήματος ἑαυτῆς πενταπλάσιον δύνηται, τὸ δὲ διπλασίας τοῦ εἰρημένου τμήματος ἄκρον καὶ μέσον λόγον τεμνομένης· τὸ μεῖζον τμῆμα τὸ λοιπόν ἐστι μέρος τῆς ἐξ ἀρχῆς εὐθείας.

Recta enim linea AB partis ipſius AΓ quintuplum poſſit, & ipſius AΓ dupla ſit ΓΔ: dico ſi ΓΔ extrema ac media ratione ſecetur, ΓB eſſe majorem ejus portionem.

Deſcribantur enim ex utraque ipſarum AB, ΓΔ quadrata AZ, ΓH; & in AZ figura deſcribatur, & producatur ZB in E. quoniam igitur quadratum ipſius AB quintuplum eſt quadrati ipſius AΓ, hoc eſt quadratum AZ quintuplum ipſius AΘ, erit MNΞ gnomon ipſius AΘ quadruplus. & quoniam ΔΓ dupla eſt ΓA, quadratum ex ΔΓ [per 20. 6.] quadrati ex ΓA quadruplum eſt, videlicet quadratum ΓH quadruplum quadrati AΘ. oſtenſus eſt autem MNΞ gnomon quadruplus ipſius AΘ quadrati; ergo gnomon MNΞ quadrato ΓH eſt æqualis. & quoniam ΔΓ dupla eſt ΓA, æqualis autem eſt ΔΓ ipſi ΓK, & AΓ ipſi ΓΘ; erit & KΓ ipſius ΓΘ dupla: parallelogrammum igitur KB duplum eſt parallelogrammi BΘ. & [per 43. 1.] ſunt parallelogramma ΛΘ, ΘB ſimul ipſius ΘB dupla: ergo KB æquale eſt ipſis ΛΘ, ΘB. ſed & totus MNΞ gnomon toti ΓH oſtenſus eſt æqualis: & reliquum igitur ΘZ æquale eſt reliquo BH. atque eſt BH quidem quod ſub ΓΔ, ΔB continetur, etenim ΓΔ eſt æqualis ΔH; ipſum vero ΘZ eſt quadratum ipſius BΓ: ergo quod continetur ſub ΓΔ, ΔB quadrato ex ΓB eſt æquale: & igitur [per 17. 6.] ut ΔΓ ad ΓB ita eſt ΓB ad BΔ. major autem eſt ΔΓ quam ΓB: ergo & ΓB quam BΔ eſt major. itaque recta linea ΓΔ extrema ac media ratione ſecta eſt, & major ejus portio eſt ΓB.



Si igitur recta linea partis ſui ipſius quintuplum poſſit, atque duplum dictæ partis extrema ac media ratione ſecetur; major portio eſt pars reliqua ejus quæ à principio rectæ lineæ. quod erat demonſtrandum.

Εὐθεῖα γὰρ γραμμὴ ἡ AB τμήματος ἑαυτῆς τοῦ AΓ πενταπλάσιον δυνάσθω, τὸ δὲ AΓ διπλῆ ἔστω ἡ ΓΔ· λέγω ὅτι τὸ ΓΔ ἄκρον καὶ μέσον λόγον τεμνομένης, τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΓB.

Ἀναγεγράφθω γὰρ ἀπὸ ἑκατέρας τῶν AB, ΓΔ τετράγωνα τὰ AZ, ΓH, καὶ καταγεγράφθω ἐν τῷ AZ τὸ σχῆμα, καὶ διήχθω ἡ ZB ἐπὶ τὸ E. Καὶ ἐπεὶ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς AB τοῦ ἀπὸ τῆς AΓ, τουτέστι τὸ AZ τοῦ AΘ, τετράπλασιος ἄρα ὁ MNΞ γνώμων τοῦ AΘ. Καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΔΓ τῆς ΓA, τετράπλασιον ἄρα τὸ ἀπὸ τῆς ΔΓ τοῦ ἀπὸ τῆς ΓA, τουτέστι τὸ ΓH τοῦ AΘ. ἐδείχθη δὲ καὶ ὁ MNΞ γνώμων τετράπλασιος τοῦ AΘ, ἴσος ἄρα ὁ MNΞ γνώμων τῷ ΓH. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΔΓ τῆς ΓA, ἴση δὲ ἡ μὲν ΔΓ τῇ ΓK, ἡ δὲ AΓ τῇ ΓΘ· διπλῆ ἄρα καὶ ἡ KΓ τῆς ΓΘ· διπλάσιον ἄρα καὶ τὸ KB τοῦ BΘ. εἰσὶ δὲ καὶ τὰ ΛΘ, ΘB διπλάσια τοῦ ΘB· ἴσον ἄρα τὸ KB τοῖς ΛΘ, ΘB. ἐδείχθη δὲ καὶ ὅλος ὁ MNΞ γνώμων ὅλῳ τῷ ΓH ἴσος· καὶ λοιπὸν ἄρα τὸ ΘZ τῷ BH ἐστιν ἴσον. καὶ ἔστι τὸ μὲν BH τὸ ὑπὸ τῶν ΓΔ, ΔB, ἴση γὰρ ἡ ΓΔ τῇ ΔH, τὸ δὲ ΘZ τὸ ἀπὸ τῆς BΓ· τὸ ἄρα ὑπὸ τῶν ΓΔ, ΔB ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓB· ἔστιν ἄρα ὡς ἡ ΔΓ πρὸς τὴν ΓB οὕτως ἡ ΓB πρὸς τὴν BΔ. μεῖζων δὲ ἡ ΔΓ τῆς ΓB· μείζων ἄρα καὶ ἡ ΓB τῆς BΔ. τῆς ΓΔ ἄρα εὐθείας ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΓB.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμήματος ἑαυτῆς πενταπλάσιον δύνηται, τὸ δὲ διπλασίας τοῦ εἰρημένου τμήματος ἄκρον καὶ μέσον λόγον τεμνομένης· τὸ μεῖζον τμῆμα τὸ λοιπόν ἐστι μέρος τῆς ἐξ ἀρχῆς εὐθείας. ὅπερ ἔδει δεῖξαι.

ΛΗΜΜΑ.

Οτι δὲ ἡ διπλῆ τ̃ ΑΓ μείζων ἐστὶ τ̃ ΒΓ, ἔτως δεικτέον.

Εἰ γὰρ μὴ, ἔσω, εἰ δυνατὸν, ἡ ΒΓ τ̃ ΓΑ διπλῆ· πενταπλάσιον ἄρα τὸ ἀπὸ τ̃ ΒΓ τ̃ ἀπὸ τ̃ ΓΑ· πενταπλάσιον ἄρα ἑκάτερον τ̃ ἀπὸ τ̃ ΒΓ, ΓΑ τ̃ ἀπὸ τ̃ ΓΑ. συγκει) δὲ καὶ τὸ ἀπὸ τῆς ΒΑ πενταπλάσιον τ̃ ἀπὸ τ̃ ΓΑ· τὸ ἄρα ἀπὸ τ̃ ΒΑ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΓ, ΓΑ, ὅπερ ἀδυνάτον· οὐκ ἄρα ἡ ΒΓ διπλασία τ̃ ΓΑ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἐλάττων τ̃ ΒΓ διπλάσιόν ἐστι τ̃ ΓΑ, πολλῷ γὰρ μεῖζον τὸ ἄτοπον· ἡ ἄρα τ̃ ΑΓ διπλῆ μείζων ἐστὶ τ̃ ΒΓ. ὅπερ ἔδει δεῖξαι.

ΣΧΟΛΙΟΝ.

Τ̃ εἰρημένου θεωρήματος ἡ ἀνάλυσις.

Εὐθεῖα γάρ τις ἡ ΓΔ τμήματος ἑαυτῆς τ̃ ΔΑ πενταπλάσιον δυνάσθω, τ̃ δὲ ΔΑ διπλῆ κείσθω ἡ ΑΒ· λέγω ὅτι ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ σημεῖον, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ, ἥτις ἐστὶ τὸ λοιπὸν μέρος τ̃ ἐξ ἀρχῆς εὐθείας.

Ἐπεὶ γὰρ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ· τὸ ἄρα ὑπὸ τ̃ ΑΒ, ΒΓ ἴσον ἐστὶ τ̃ ἀπὸ τ̃ ΑΓ. ἔστι δὲ καὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ τ̃ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ ἴσον, διπλῆ γὰρ ἐστιν ἡ ΒΑ τ̃ ΑΔ· τὸ ἄρα ὑπὸ τ̃ ΑΒ, ΒΓ μετὰ τ̃ δὶς ὑπὸ τ̃ ΒΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΒΑ, ἴσον ἐστὶ τ̃ ὑπὸ τ̃ ΔΑ, ΑΓ, μετὰ τ̃ ἀπὸ τ̃ ΑΓ. πενταπλάσιον δὲ τὸ ἀπὸ τ̃ ΑΒ τ̃ ἀπὸ τ̃ ΔΑ· πενταπλάσιον ἄρα καὶ τὸ δὶς ὑπὸ τῶν ΔΑ ΑΓ μετὰ τ̃ ἀπὸ τ̃ ΑΓ τ̃ ἀπὸ τ̃ ΑΔ· ὥστε καὶ τὰ ἀπὸ τ̃ ΔΑ, ΑΓ μετὰ τ̃ δὶς ὑπὸ τ̃ ΔΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τ̃ ΓΔ, πενταπλάσιά ἐστι τ̃ ἀπὸ τ̃ ΔΑ. ἔστι δὲ λοιπὸν τὴν σύνθεσιν.

Σύνθεσις τ̃ αὐτ̃.

Ἐπεὶ οὖν πενταπλάσιόν ἐστι τὸ ἀπὸ τ̃ ΓΔ τ̃ ἀπὸ τ̃ ΔΑ, τὸ δὲ ἀπὸ τ̃ ΓΔ τὰ ἀπὸ τῶν ΔΑ, ΑΓ ἐστὶ μετὰ τ̃ δὶς ὑπὸ τ̃ ΔΑ, ΑΓ· τὰ ἄρα ἀπὸ τῶν ΔΑ, ΑΓ μετὰ τ̃ δὶς ὑπὸ τ̃ ΔΑ, ΑΓ πενταπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΔΑ· διπλόνη ἄρα τὸ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ ἀπὸ τῆς ΑΓ τετραπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΑΔ. ἐστὶ δὲ καὶ τὸ ἀπὸ τῆς ΑΒ τετραπλάσιον τοῦ ἀπὸ τῆς ΑΔ· τὸ ἄρα δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῶν ΒΑ, ΑΓ μετὰ τ̃ ἀπὸ τῆς ΑΓ ἴσον ἐστὶ τ̃ ἀπὸ τ̃ ΑΒ. ἀλλὰ τὸ ἀπὸ τ̃ ΑΒ ἐστὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τ̃ ὑπὸ τῶν ΒΑ, ΑΓ· τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΔΓ μετὰ τ̃ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τ̃ ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τ̃ ἀπὸ τ̃ ΑΓ· καὶ κοινῆ ἀφαιρεθέντος τ̃ ὑπὸ τῶν ΒΑ, ΑΓ, λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ ἕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. μείζων

LEMMA.

At vero duplam ipſius ΑΓ majorem eſſe quam ΓΒ, [ut in præc. aſſumptum eſt,] ſic demonſtrabitur.

Si enim non, ſit, ſi fieri poteſt, ΒΓ ipſius ΓΑ dupla: quadratum igitur ex ΒΓ quadruplum eſt quadrati ex ΓΑ; quare ſimul utraque quadrata ipſarum ΒΓ, ΓΑ quadrati ex ΓΑ quintuplum eſt. ſed quadratum ex ΒΑ quadrati ex ΓΑ quintuplum ponitur: ergo quadratum ex ΒΑ æquale eſt quadratis ex ΒΓ, ΓΑ, quod [per 4.2.] fieri non poteſt; non igitur ΒΓ dupla eſt ipſius ΓΑ. ſimiliter demonſtrabimus quod neque minor quam ΒΓ dupla eſt ipſius ΓΑ; multo enim majus abſurdum ſequeretur: ergo dupla ipſius ΑΓ major eſt quam ΒΓ. quod erat demonſtrandum.

SCHOLIUM.

Antecedentis theorematis reſolutio.

Recta enim linea quædam ΓΔ partis ipſius ΔΑ quintuplum poſſit, & ipſius ΔΑ dupla ponatur ΑΒ: dico ΑΒ extrema ac media ratione ſectam eſſe in puncto Γ, & majorem ejus portionem eſſe ΑΓ, quæ quidem eſt reliqua pars ejus quæ à principio rectæ lineæ.

Quoniam enim ΑΒ extrema ac media ratione ſecta eſt in Γ, & ΑΓ eſt major portio; erit [per 17.6.] rectangulum ſub ΑΒ, ΒΓ quadrato ex ΑΓ æquale. eſt autem & rectangulum ſub ΒΑ, ΑΓ æquale ei quod bis ſub ΔΑ, ΑΓ continetur; etenim ΒΑ ipſius ΑΔ eſt dupla: ergo rectangulum ſub ΑΒ, ΒΓ una cum rectangulo ſub ΒΑ, ΑΓ, quod quidem [per 2.2.] eſt ipſius ΒΑ quadratum, æquale eſt ei quod bis ſub ΔΑ, ΑΓ continetur una cum quadrato ex ΑΓ. quadratum autem ex ΑΒ [per 20.6.] quadruplum eſt quadrati ex ΔΑ: ergo quod bis ſub ΔΑ, ΑΓ continetur una cum quadrato ex ΑΓ quadruplum eſt quadrati ex ΑΔ: ergo & quadrata ex ΔΑ, ΑΓ una cum eo quod bis continetur ſub ΔΑ, ΑΓ, hoc eſt [per 4.2.] quadratum ex ΓΔ, quintupla ſunt quadrati ex ΑΔ. & hoc eſt ſecundum hypotheſin.

Compoſitio ejuſdem.

Quoniam igitur quadratum ex ΓΔ quintuplum eſt quadrati ex ΔΑ; quadrato autem ex ΓΔ æqualia ſunt [per 4.2.] quadrata ex ΔΑ, ΑΓ una cum eo quod bis ſub ΔΑ, ΑΓ continetur; erunt quadrata ex ΔΑ, ΑΓ una cum eo quod bis continetur ſub ΔΑ, ΑΓ quintupla quadrati ex ΔΑ: dividendo ergo, quod bis ſub ΔΑ, ΑΓ continetur una cum quadrato ex ΑΓ quadrupla ſunt quadrati ex ΑΔ. eſt autem [per 20.6.] & quadratum ex ΑΒ quadrati ex ΑΔ quadruplum: ergo quod bis continetur ſub ΔΑ, ΑΓ hoc eſt quod ſemel continetur ſub ΒΑ, ΑΓ una cum quadrato ex ΑΓ, eſt æquale quadrato ex ΑΒ. ſed [per 2.2.] quadratum ex ΑΒ eſt rectangulum ſub ΑΒ, ΒΓ una cum rectangulo ſub ΒΑ, ΑΓ: rectangulum igitur ſub ΒΑ, ΑΓ una cum rectangulo ſub ΑΒ, ΒΓ eſt æquale rectangulo ſub ΒΑ, ΑΓ una cum quadrato ex ΑΓ: & ablato communi rectangulo ſub ΒΑ, ΑΓ, erit reliquum rectangulum ſub ΑΒ, ΒΓ quadrato ex ΑΓ æquale: eſt igitur [per 17.6.] ut ΒΑ ad ΑΓ ita ΑΓ ad ΓΒ. major autem

autem est BA quam AΓ: ergo & AΓ quam ΓB est major: quare [per 3. def. 6.] AB extrema ac media ratione secta est in Γ, & AΓ est major ejus portio. quod erat demonstrandum.

ζων δὲ ἡ ΒΑ τῆς ΑΓ· μείζων ἄρα καὶ ἡ ΑΓ τῆς ΓΒ· ἡ ΑΒ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ. ὅπερ ἔδει δεῖξαι.

PROP. III. THEOR.

Si recta linea extrema ac media ratione secta fuerit; portio minor, assumens dimidiam majoris portionis, quintuplum potest ejus quod à dimidia majoris portionis fit quadrati.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ· τὸ ἔλασσον τμῆμα, τοῦ λαβόντος τὴν ἡμίσειαν τοῦ μείζονος τμήματος, πενταπλάσιον δύναται τοῦ ἀπὸ τῆς ἡμισείας τοῦ μείζονος τμήματος τετραγώνου.

RECta enim linea quævis AB extrema ac media ratione secetur in Γ, sitque AΓ major portio, & secetur AΓ bifariam in Δ: dico quadratum ex BΔ quadrati ex ΔΓ quintuplum esse.

Describatur enim ex AB quadratum AE, & figura compleatur. quoniam igitur AΓ dupla est ΓΔ, erit quadratum ex AΓ quadrati ex ΓΔ quadruplum, hoc est quadratum PΣ ipsius ZH. & quoniam [per 17. 6.] rectangulum quod sub AB, BΓ continetur est æquale quadrato ex AΓ, atque est rectangulum quidem sub AB, BΓ ipsum ΓE; quadratum vero ex AΓ est PΣ; erit rectangulum ΓE quadrato PΣ æquale. quadruplum autem est quadratum PΣ quadrati ZH: ergo & ΓE rectangulum quadrati ZH quadruplum erit. rursus quoniam AΔ æqualis est ΔΓ, erit [per 34. 1.] & ΘK ipsi KZ æqualis: ideoque quadratum HZ est æquale quadrato ΘΛ: æqualis igitur est HK ipsi KΛ, hoc est MN ipsi NE: ergo [per 36. 1.] & parallelogrammum MZ parallelogrammo ZE est æquale. sed [per 43. 1.] MZ est æquale ΓH: quare & ΓH ipsi EZ æquale erit. commune apponatur ΓN: gnomon igitur ΞOΠ est æqualis parallelogrammo ΓE. ostensum autem est ΓE esse quadruplum HZ quadrati: & gnomon igitur ΞOΠ ipsius HZ quadruplus est: quare quadratum ΔN quintuplum est ipsius HZ. est autem ΔN quadratum ipsius ΔB; HZ vero quadratum ipsius ΔΓ: quadratum igitur ex ΔB quadrati ex ΔΓ est quintuplum. quod erat demonstrandum.



Ἐυθεῖα γάρ τις ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ σημεῖον, ἔστω δὲ μεῖζον τμῆμα ἡ ΑΓ, καὶ τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Δ· λέγω ὅτι πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΔΓ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΕ, καὶ κατεσκευάσθω τὸ σχῆμα. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΓ τῆς ΓΔ, τετραπλάσιον ἐστι τὸ ἀπὸ τῆς ΑΓ τοῦ ἀπὸ τῆς ΓΔ, τουτέστι τὸ ΡΣ τοῦ ΖΗ. ἔστι δὲ καὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ, καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ΓΕ, τὸ δὲ ἀπὸ τῆς ΑΓ τὸ ΡΣ· τὸ ἄρα ΓΕ ἴσον ἐστὶ τῷ ΡΣ. τετραπλάσιον δὲ τὸ ΡΣ τοῦ ΖΗ· τετραπλάσιον ἄρα καὶ τὸ ΓΕ τοῦ ΖΗ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΓ, ἴση ἐστὶ καὶ ἡ ΘΚ τῇ ΚΖ· ὥστε καὶ τὸ ΗΖ τετράγωνον ἴσον ἐστὶ τῷ ΘΛ τετραγώνῳ· ἴση ἄρα ἡ ΗΚ τῇ ΚΛ, τουτέστιν ἡ ΜΝ τῇ ΝΕ· ὥστε καὶ τὸ ΜΖ τῷ ΖΕ ἐστιν ἴσον. ἀλλὰ τὸ ΜΖ τῷ ΓΗ ἐστιν ἴσον· καὶ τὸ ΓΗ ἄρα τῷ ΖΕ ἐστιν ἴσον. κοινὸν προσκείσθω τὸ ΓΝ· ὁ ἄρα ΞΟΠ γνώμων ἴσος ἐστὶ τῷ ΓΕ. ἀλλὰ τὸ ΓΕ τετραπλάσιόν ἐστι τοῦ ΗΖ· καὶ ὁ ΞΟΠ ἄρα γνώμων τετραπλάσιός ἐστι τοῦ ΗΖ· τὸ ἄρα ΔΝ πενταπλάσιόν ἐστι τοῦ ΗΖ τετραγώνου. καὶ ἔστι τὸ μὲν ΔΝ τὸ ἀπὸ τῆς ΔΒ, τὸ δὲ ΗΖ τὸ ἀπὸ τῆς ΔΓ· τὸ ἄρα ἀπὸ τῆς ΔΒ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ. ὅπερ ἔδει δεῖξαι.

SCHOLIUM.

Antecedentis theorematis resolutio.

Recta enim linea AB extrema ac media ratione secetur in Γ; & sit AΓ major portio, cujus dimidia ΓΔ: dico quadratum ex BΔ quadrati ex ΓΔ quintuplum esse.



Quoniam enim [ex hyp.] quadratum ex BΔ quintuplum est quadrati ex ΔΓ; quadratum autem ex BΔ est [per 6. 2.] quod continetur sub AB, BΓ

ΣΧΟΛΙΟΝ.

Τοῦ εἰρημένου θεωρήματος ἡ ἀνάλυσις.

Εὐθεῖα γὰρ γραμμὴ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ σημεῖον, καὶ ἔστω μεῖζον τμῆμα τὸ ΑΓ, καὶ τοῦ ΑΓ ἡμίσεια ἡ ΓΔ· λέγω ὅτι πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΓΔ.

Ἐπεὶ γὰρ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΓΔ, τὸ δὲ ἀπὸ τῆς ΒΔ τοῦ ἴσου τῶν ΑΒ, ΒΓ ἐστι μετὰ

μετὰ τοῦ ἀπὸ τῆς ΔΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ τῆς ΔΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ· διελόντι ἄρα τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ. τῷ δὲ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ, ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ· τὸ ἄρα ἀπὸ τῆς ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΔ. ἔστι δὲ, διπλῆ γὰρ ἡ ΑΓ τῆς ΓΔ.

Σύνθεσις δ' αὐτοῦ.

Ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΓ τῆς ΔΓ, τετραπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τοῦ ἀπὸ τῆς ΔΓ. ἀλλὰ τὸ ἀπὸ τῆς ΑΓ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΒ, ΒΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ· συνθέντι ἄρα τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ τῆς ΔΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΔΒ, πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ. ὅπερ ἔδει δεῖξαι.

una cum quadrato ex ΔΓ: ergo quod ſub ΑΒ, ΒΓ continetur una cum quadrato ex ΔΓ quintuplum eſt quadrati ex ΔΓ: dividendo igitur quod ſub ΑΒ, ΒΓ continetur quadrati ex ΔΓ quadruplum eſt. ei vero quod continetur ſub ΑΒ, ΒΓ æquale eſt [per 17.6.] quadratum ex ΑΓ, etenim [ex hyp.] ΑΒ extrema ac media ratione ſecta eſt in Γ: ergo quadratum ex ΑΓ quadrati ex ΓΔ quadruplum eſt. quod quidem ita ſe habet; eſt enim ΑΓ ipſius ΓΔ dupla.

Compoſitio ejuſdem.

Quoniam dupla eſt ΑΓ ipſius ΔΓ, erit quadratum ex ΑΓ quadrati ex ΓΔ quadruplum. ſed [per 17.6.] quadratum ex ΑΓ eſt æquale ei quod bis ſub ΑΒ, ΒΓ continetur: quod igitur ſub ΑΒ, ΒΓ continetur quadruplum eſt quadrati ex ΔΓ: ideoque componendo, quod continetur ſub ΑΒ, ΒΓ una cum quadrato ex ΔΓ, quod quidem [per 6.2.] eſt quadratum ex ΔΒ, quintuplum eſt quadrati ipſius ΔΓ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ δ'.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ· τὸ ἀπὸ τῆς ὅλης καὶ τοῦ ἐλάττονος τμήματος, τὰ συναμφότερα τετράγωνα, τριπλάσιά ἐστι τοῦ ἀπὸ τοῦ μείζονος τμήματος τετραγώνου.

PROP. IV. THEOR.

Si recta linea extrema ac media ratione ſecta fuerit; totius & minoris portionis utraque ſimul quadrata tripla ſunt quadrati ejus quod à majori fit portione.

Ἔστω εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα τὸ ΑΓ· λέγω ὅτι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΑΓ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔΕΒ, καὶ κατεσκευάσθω τὸ σχῆμα. ἐπεὶ οὖν ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ. καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ΑΚ, τὸ δὲ ἀπὸ τῆς ΑΓ τὸ ΘΗ· ἴσον ἄρα ἐστὶ τὸ ΑΚ τῷ ΘΗ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΑΖ τῷ ΖΕ, κοινὸν προσκείσθω τὸ ΓΚ· ὅλον ἄρα τὸ ΑΚ ὅλῳ τῷ ΓΕ ἐστὶν ἴσον· τὰ ἄρα ΓΕ, ΑΚ τοῦ ΑΚ ἐστὶ διπλάσια. ἀλλὰ τὰ ΑΚ, ΓΕ ὁ ΛΜΝ γνώμων ἐστὶ καὶ τὸ ΓΚ τετράγωνον· ὁ ἄρα ΛΜΝ γνώμων καὶ τὸ ΓΚ τετράγωνον διπλάσιά ἐστι τοῦ ΑΚ. ἀλλὰ μὴν καὶ τὸ ΑΚ τῷ ΘΗ ἐδείχθη ἴσον· ὁ ἄρα ΛΜΝ γνώμων, καὶ τὸ ΓΚ τετράγωνον διπλάσιά ἐστι τοῦ ΘΗ· ὥστε καὶ ὁ ΛΜΝ γνώμων καὶ τὰ ΓΚ, ΘΗ τετράγωνα τριπλάσιά ἐστι τοῦ ΘΗ τετραγώνου. καὶ ἔστιν ὁ μὲν ΛΜΝ γνώμων καὶ τὰ ΓΚ, ΘΗ τετράγωνα ὅλον τὸ ΑΕ καὶ τὸ ΓΚ, ἅπερ ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα, τὸ δὲ ΗΘ τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΑΓ τετραγώνου. ὅπερ ἔδει δεῖξαι.



SIT recta linea ΑΒ, quæ extrema ac media ratione ſecetur in Γ, & ſit ΑΓ major portio: dico quadrata ex ΑΒ, ΒΓ quadrati ex ΑΓ tripla eſſe.

Deſcribatur enim ex ΑΒ quadratum ΑΔΕΒ, & figura compleatur. itaque quoniam ΑΒ extrema ac media ratione ſecta eſt in Γ, & major portio eſt ΑΓ: erit [per 17.6.] rectangulum contentum ſub ΑΒ, ΒΓ quadrato ex ΑΓ æquale. atque eſt rectangulum quidem ΑΚ quod ſub ΑΒ, ΒΓ continetur, quadratum vero ΘΗ eſt quadratum ipſius ΑΓ: æquale igitur eſt ΑΚ ipſi ΘΗ. & quoniam [per 43. 1.] rectangulum ΑΖ eſt æquale ΖΕ, commune apponatur ΓΚ, erit totum ΑΚ toti ΓΕ æquale: ergo rectangula ΓΕ, ΑΚ ipſius ΑΚ ſunt dupla. ſed rectangula ΑΚ, ΓΕ ſunt gnomon ΛΜΝ & quadratum ΓΚ; gnomon igitur ΛΜΝ & quadratum ΓΚ dupla ſunt ipſius ΑΚ. rectangulum autem ΑΚ oſtenſum eſt æquale quadrato ΘΗ: ergo gnomon ΛΜΝ & quadratum ΓΚ ipſius ΘΗ ſunt dupla: ac propterea gnomon ΛΜΝ & quadrata ΓΚ, ΘΗ tripla ſunt quadrati ΘΗ. & gnomon quidem ΛΜΝ & quadrata ΓΚ, ΘΗ ſunt totum ΑΕ quadratum & quadratum ΓΚ, quæ quidem ſunt quadrata ipſarum ΑΒ, ΒΓ; quadratum autem ΗΘ eſt quod fit ex ΑΓ: quadrata igitur ex ΑΒ, ΒΓ quadrati ex ΑΓ ſunt tripla. quod erat demonſtrandum.

SCHOLIUM.

Antecedentis theorematis reſolutio.

Recta enim linea AB extrema ac media ratione ſecetur in Γ, & ſit AΓ major portio: dico quadrata ex AB, BΓ tripla eſſe quadrati ex AΓ.

Quoniam enim quadrata ex AB, BΓ tripla ſunt quadrati ex AΓ; ſuntque [per 7. 2.] quadrata ex AB, BΓ æqualia rectangulo quod bis ſub AB, BΓ continetur una cum quadrato ex AΓ: erit rectangulum quod bis continetur ſub AB, BΓ una cum quadrato ex AΓ triplum quadrati ex AΓ: dividendo igitur, quod bis continetur ſub AB, BΓ duplum eſt quadrati ex AΓ; ergo quod ſemel ſub AB, BΓ continetur quadrato ex AΓ eſt æquale. quod quidem ita ſe habet; recta enim linea AB [ex hyp.] extrema ac media ratione ſecta eſt in puncto Γ.

Compoſitio ejuſdem.

Itaque quoniam AB extrema ac media ratione ſecta eſt in Γ, atque eſt AΓ major portio; erit [per 17. 6.] rectangulum quod ſub AB, BΓ continetur quadrato ex AΓ æquale: ergo quod bis continetur ſub AB, BΓ duplum eſt quadrati ex AΓ: & componendo, quod bis continetur ſub AB, BΓ una cum quadrato ex AΓ triplum eſt quadrati ex AΓ: ſed [per 7. 2.] quod bis ſub AB, BΓ continetur una cum quadrato ex AΓ eſt æquale quadratis ipſarum AB, BΓ: quadrata igitur ex AB, BΓ quadrati ex AΓ ſunt tripla.

ΣΧΟΛΙΟΝ.

Τῆ εἰρημένη θεωρήματος ἡ ἀνάλυσις.

Εὐθεῖα γὰρ γραμμὴ ἡ AB ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα τὸ AΓ· λέγω ὅτι τὰ ἀπὸ τῶν AB, BΓ τετραπλάσιά ἐστι τοῦ ἀπὸ τῆς AΓ.

Ἐπεὶ γὰρ τὰ ἀπὸ τῶν AB, BΓ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς AΓ, ἀλλὰ τὰ ἀπὸ τῶν AB, BΓ τὸ δὶς ὑπὸ τῶν AB, BΓ ἐστὶ μετὰ τοῦ ἀπὸ τῆς AΓ· τὸ ἄρα δὶς ὑπὸ τῶν AB, BΓ μετὰ τοῦ ἀπὸ τῆς AΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς AΓ· διελόντι ἄρα τὸ δὶς ὑπὸ τῶν AB, BΓ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς AΓ· ὥστε τὸ ἅπαξ ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ. ἔστι δὲ, ἡ γὰρ AB ἄκρον καὶ μέσον λόγον τετμημένη κατὰ τὸ Γ.

Συνθεσις τοῦ αὐτοῦ.

Ἐπεὶ οὖν ἡ AB ἄκρον καὶ μέσον λόγον τετμημένη κατὰ τὸ Γ, καὶ ἔστι μεῖζον τμῆμα ἡ AΓ, τὸ ἄρα ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ· τὸ ἄρα δὶς ὑπὸ τῶν AB, BΓ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς AΓ· συνθέντι ἄρα τὸ δὶς ὑπὸ τῶν AB, BΓ μετὰ τοῦ ἀπὸ τῆς AΓ τετραπλάσιά ἐστι τοῦ ἀπὸ τῆς AΓ· ἀλλὰ τὸ δὶς ὑπὸ τῶν AB, BΓ μετὰ τοῦ ἀπὸ τῆς AΓ τὰ ἀπὸ τῶν AB, BΓ ἐστὶ τετράγωνα· τὰ ἄρα ἀπὸ τῶν AB, BΓ τετράγωνα τετραπλάσιά ἐστι τοῦ ἀπὸ τῆς AΓ.

PROP. V. THEOR.

Si recta linea extrema ac media ratione ſecetur, adjiciaturque ipſi æqualis majori portioni; erit tota linea extrema ac media ratione ſecta, & major portio erit ea quæ à principio poſita eſt recta linea.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, καὶ προστεθῇ ἴση τῷ μείζονι τμήματι· ὅλη ἡ εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ἐξ ἀρχῆς εὐθεῖα.

REcta enim linea AB extrema ac media ratione ſecetur in Γ, & ſit AΓ major portio, ponaturque ipſi AΓ æqualis AΔ: dico rectam lineam ΔB extrema ac media ratione ſecari in puncto A, & majorem portionem eſſe AB, quæ à principio poſita eſt.

Deſcribatur enim ex AB quadratum AE, & figura compleatur. quoniam igitur AB extrema ac media ratione ſecta eſt in Γ, erit [per 17. 6.] rectangulum quod continetur ſub AB, BΓ quadrato ex AΓ æquale. ſed rectangulum quidem quod continetur ſub AB, BΓ eſt ΓE: quadratum vero ex AB eſt ΓΘ: ergo ΓE ipſi ΓΘ eſt æquale. ſed ΓE eſt [per 43. 1.] æquale ΘE, & ΓΘ ipſi ΔΘ: quare & ΔΘ ipſi ΘE æquale erit. commune apponatur ΘB. totum igitur ΔK toti



ΕΥΘΕΙΑ γὰρ γραμμὴ ἡ AB ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ AΓ, καὶ τῇ AΓ ἴση κείσθω ἡ AΔ· λέγω ὅτι ἡ ΔB εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ A, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ἐξ ἀρχῆς εὐθεῖα ἡ AB.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς AB τετράγωνον τὸ AE, καὶ κατεσκευάσθω τὸ σχῆμα. ἐπεὶ οὖν ἡ AB ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, τὸ ἄρα ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ. καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν AB, BΓ τὸ ΓE, τὸ δὲ ἀπὸ τῆς AΓ τὸ ΓΘ· ἴσον ἄρα τὸ ΓE τῷ ΓΘ. ἀλλὰ τὸ μὲν ΓE ἴσον ἐστὶ τῷ ΘE, τὸ δὲ ΓΘ ἴσον τῷ ΔΘ· καὶ τὸ ΔΘ ἄρα ἴσον ἐστὶ τῷ ΘE. κοινὸν προσκείσθω τὸ ΘB. ὅλον ἄρα τὸ ΔK ἴσον

ἐστὶ

ἐστὶν ὅλῳ τῷ ΑΕ. καὶ ἔστι τὸ μὲν ΔΚ τὸ ὑπὸ τῶν ΒΔ, ΔΑ, ἴση γὰρ ἡ ΑΔ τῇ ΔΛ, τὸ δὲ ΑΕ τῷ ἀπὸ τῆς ΑΒ· τὸ ἄρα ὑπὸ τῶν ΒΔ, ΔΑ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ. μείζων δὲ ἡ ΒΔ τῆς ΒΑ· μείζων ἄρα καὶ ἡ ΒΑ τῆς ΑΔ· ἡ ἄρα ΒΔ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΒ. ὅπερ ἔδει δεῖξαι.

AE eſt æquale. atque eſt ΔK quidem quod ſub BΔ, ΔA continetur, eſt enim AΔ æqualis ΔΛ; quadratum autem AE eſt æquale quadrato ex AB: ergo quod ſub BΔ, ΔA continetur eſt æquale quadrato ex AB: quare [per 17. 6.] ut BΔ ad BA ita eſt BA ad AΔ. ſed BΔ eſt major quam BA: major igitur eſt BA quam AΔ: ergo ΔB extrema ac media ratione ſecta eſt in A, & AB eſt major ejus portio. quod erat demonſtrandum.

ΣΧΟΛΙΟΝ.

Τῆς εἰρημένης θεωρήματος ἡ ἀνάλυσις.

Εὐθεῖα γάρ τις ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ ΑΓ, καὶ τῇ ΑΓ ἴση κείσθω ἡ ΑΔ· λέγω ὅτι ἡ ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΒΑ.

Ἐπεὶ γὰρ ἡ ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΒΑ· ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ. ἴση δὲ ἡ ΑΔ τῇ ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ· ἀναστρέψαντι ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΓ· διελόντι ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἴση δὲ ἡ ΑΔ τῇ ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἔστι δὲ, ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ.



SCHOLIUM.

Antecedentis theorematis reſolutio.

Recta enim linea AB extrema ac media ratione ſecetur in Γ, & ſit major portio AΓ, ponaturque AΔ ipſi AΓ æqualis: dico ΔB extrema ac media ratione ſecari in puncto A, & BA majorem eſſe portionem.

Quoniam enim ΔB extrema ac media ratione ſecta eſt in A, & major portio eſt BA; erit [per 30. 6.] ut ΔB ad BA ita BA ad AΔ. æqualis autem eſt AΔ ipſi AΓ: ut igitur ΔB ad BA ita BA ad AΓ; ergo per converſionem rationis [per cor. 19. 5.] ut BΔ ad ΔA ita AB ad BΓ: quare dividendo [per 17. 5.] ut BA ad AΔ ita AΓ ad ΓB. æqualis autem [per conſtr.] eſt AΔ ipſi AΓ: eſt igitur ut BA ad AΓ ita AΓ ad ΓB. quod quidem ita ſe habet; etenim [ex hyp.] AB extrema ac media ratione ſecatur in Γ puncto.

Συνθεσις τῶν αὐτῶν.

Ἐπεὶ οὖν ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἴση δὲ ἡ ΑΓ τῇ ΑΔ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ· συνθέντι ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΒΓ· ἀναστρέψαντι ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ. ἴση δὲ ἡ ΑΓ τῇ ΑΔ· ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ· ἡ ἄρα ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΒ. ὅπερ ἔδει δεῖξαι.

Compoſitio ejuſdem.

Itaque quoniam AB extrema ac media ratione ſecatur in Γ, erit ut BA ad AΓ ita AΓ ad ΓB. æqualis autem eſt AΓ ipſi AΔ: ergo ut BA ad AΔ ita AΓ ad ΓB: ergo componendo [per 18. 5.] ut BΔ ad ΔA ita BA ad BΓ; & convertendo [per coroll. 19. 5.] ut ΔB ad BA ita BA ad AΓ. ſed eſt AΓ æqualis AΔ: eſt igitur ut ΔB ad BA ita BA ad AΔ: quare [per 3. def. 6.] ΔB extrema ac media ratione ſecatur in puncto A, & AB eſt portio major. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν εὐθεῖα ῥητὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἔστω εὐθεῖα ῥητὴ ἡ ΑΒ, καὶ τετμήσθω ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ ΑΓ· λέγω ὅτι ἑκατέρα τῶν ΑΓ, ΓΒ ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἐκβεβλήσθω γὰρ ἡ ΒΑ ἐπὶ τὸ Δ, καὶ κείσθω τῇ ΒΑ ἡμίσεια ἡ ΑΔ. ἐπεὶ οὖν εὐθεῖα ἡ ΑΒ τέτμηται ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ τῷ μείζονι τμήματι τῷ ΑΓ πρόσκειται ἡ ΑΔ, ἡμίσεια οὖσα τῆς ΑΒ· τὸ ἄρα ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΑ πενταπλάσιόν ἐστι.

PROP. VI. THEOR.

Si recta linea rationalis extrema ac media ratione ſecta fuerit; utraque portio irrationalis eſt quæ apotome appellatur.

SIT recta linea rationalis AB, & ſecetur extrema ac media ratione in Γ, ſitque AΓ major portio: dico utramque portionem AΓ, ΓB irrationalem eſſe quæ apotome appellatur.

Producatur enim BA in Δ, & ſit ipſius BA dimidia AΔ. itaque quoniam recta linea AB extrema ac media ratione ſecatur in Γ, & majori portioni AΓ adjicitur AΔ, quæ eſt ipſius AB dimidia: erit [per 1. 13.] quadratum ex ΓΔ quadrati ex ΔA quintuplum



quadratum igitur ex ΓΔ ad quadratum ex ΔΑ rationem habet quam numerus ad numerum; ideoque [per 6. 10.] quadratum ex ΓΔ commensurabile est quadrato ex ΔΑ. rationale autem est quadratum ex ΔΑ; etenim ΔΑ est rationalis, cum sit ipsius ΑΒ rationalis dimidia: ergo [per 6. def. 10.] & quadratum ex ΓΔ est rationale; ac propterea [per 8. def. 10.] ipsa ΓΔ rationalis. quoniam vero quadratum ex ΓΔ ad quadratum ex ΔΑ rationem non habet quam quadratus numerus ad quadratum numerum, recta linea ΓΔ [per 9. 10.] ipsi ΔΑ incommensurabilis est longitudine: quare ΓΔ, ΔΑ rationales sunt potentia solum commensurabiles; & idcirco [per 74. 10.] ΑΓ apotome est. rursus, quoniam ΑΒ extrema ac media ratione secta est, & major portio est ΑΓ; erit rectangulum sub ΑΒ, ΒΓ æquale quadrato ex ΑΓ: quadratum igitur apotomæ ΑΓ ad rationalem ΑΒ applicatum latitudinem facit ΒΓ. sed [per 98. 10.] quadratum apotomæ ad rationalem applicatum latitudinem facit apotomen primam; ergo ΒΓ est apotome prima. ostensa est autem & ΑΓ apotome.



Si igitur recta linea rationalis extrema ac media ratione secta fuerit; utraque portio irrationalis est quæ apotome appellatur. quod erat demonstrandum.

τὸ ἄρα ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΔΑ λόγον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν· σύμμετρον ἄρα τὸ ἀπὸ τῆς ΓΔ τῷ ἀπὸ τῆς ΔΑ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΔΑ, ῥητὸν γάρ ἐστιν ἡ ΔΑ ἡμίσεια οὖσα τῆς ΑΒ ῥητῆς οὔσης· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΓΔ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΓΔ. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΔΑ λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ἀσύμμετρος ἄρα μήκει ἡ ΓΔ τῇ ΔΑ· αἱ ΓΔ, ΔΑ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΑΓ. πάλιν, ἐπεὶ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ, τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· τὸ ἄρα ἀπὸ τῆς ΑΓ ἀποτομῆς παρὰ ῥητὴν παραβληθὲν πλάτος ποιεῖ τὴν ΑΒ ῥητήν παραβεβλήθω πλάτος ποιεῖ τὴν ΒΓ. τὸ δὲ ἀπὸ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην· ἀποτομὴ ἄρα πρώτη ἡ ΒΓ. ἐδείχθη δὲ καὶ ἡ ΑΓ ἀποτομή.

Ἐὰν ἄρα εὐθεῖα ῥητὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή. ὅπερ ἔδει δεῖξαι.

Prop. VII. Theor.

Si pentagoni æquilateri tres anguli, sive deinceps sive non deinceps, inter se fuerint æquales; æquiangulum erit pentagonum.

PEntagoni enim æquilateri ΑΒΓΔΕ tres anguli primum deinceps, qui ad puncta Α, Β, Γ, æquales inter se sint: dico pentagonum ΑΒΓΔΕ æquiangulum esse.

Jungantur enim ΑΓ, ΒΕ, ΖΔ. quoniam autem duæ ΓΒ, ΒΑ duabus ΒΑ, ΑΕ, æquales sunt, altera alteri, & angulus ΓΒΑ æqualis angulo ΒΑΕ, erit [per 4. 1.] basis ΑΓ æqualis basi ΒΕ, & triangulum ΑΒΓ triangulo ΑΒΕ æquale, & reliqui anguli reliquis angulis æquales quibus æqualia latera subtenduntur, angulus quidem ΒΓΑ angulo ΒΕΑ, angulus vero ΑΒΕ angulo ΓΑΒ: quare [per 6. 1.] & latus ΑΖ est æquale lateri ΒΖ. ostensa autem est & tota ΑΓ toti ΒΕ æqualis: ergo & reliqua ΖΓ est æqualis reliquæ ΖΕ. atque est ΓΔ æqualis ΔΕ; duæ igitur ΖΓ, ΓΔ duabus ΖΕ, ΕΔ æquales sunt, & basis ipsorum ΖΔ est communis: quare [per 8. 1.] angulus ΖΓΔ angulo ΖΕΔ est æqualis. ostensus autem est & angulus ΒΓΑ æqualis angulo ΑΕΒ: totus igitur ΒΓΔ æqualis est toti ΑΕΔ. sed [ex hyp.] angulus ΒΓΔ positus est æqualis angulis, qui sunt ad puncta Α, Β: ergo & ΑΕΔ angulus angulis qui sunt ad Α, Β æqualis erit. simili-



ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν πενταγώνου ἰσοπλεύρου αἱ τρεῖς γωνίαι, ἤτοι αἱ κατὰ τὸ ἑξῆς ἢ αἱ μὴ κατὰ τὸ ἑξῆς, ἴσαι ἀλλήλαις ὦσιν· ἰσογώνιον ἔσται τὸ πεντάγωνον.

Πενταγώνου γὰρ ἰσοπλεύρου τοῦ ΑΒΓΔΕ αἱ τρεῖς γωνίαι πρότερον αἱ κατὰ τὸ ἑξῆς αἱ πρὸς τοῖς Α, Β, Γ ἴσαι ἀλλήλαις ἔστωσαν· λέγω ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓΔΕ πεντάγωνον.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΓ, ΒΕ, ΖΔ. καὶ ἐπεὶ δύο αἱ ΓΒ, ΒΑ δυσὶ ταῖς ΒΑ, ΑΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΓΒΑ γωνίᾳ τῇ ὑπὸ ΒΑΕ ἐστιν ἴση· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΒΕ ἐστιν ἴση, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΒΕ τριγώνῳ ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν, ἡ μὲν ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΒΕΑ, ἡ δὲ ὑπὸ ΑΒΕ τῇ ὑπὸ ΓΑΒ· ὥστε καὶ πλευρὰ ἡ ΑΖ πλευρᾷ τῇ ΒΖ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ ὅλη ἡ ΑΓ ὅλῃ τῇ ΒΕ ἴση· καὶ λοιπὴ ἄρα ἡ ΖΓ λοιπῇ τῇ ΖΕ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΓΔ τῇ ΔΕ ἴση· δύο δὴ αἱ ΖΓ, ΓΔ δυσὶ ταῖς ΖΕ, ΕΔ ἴσαι εἰσίν, καὶ βάσις αὐτῶν κοινὴ ἡ ΖΔ· γωνία ἄρα ἡ ὑπὸ ΖΓΔ γωνίᾳ τῇ ὑπὸ ΖΕΔ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΒΓΑ γωνία τῇ ὑπὸ ΑΕΒ ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΒΓΔ ὅλῃ τῇ ὑπὸ ΑΕΔ ἐστιν ἴση. ἀλλὰ ἡ ὑπὸ ΒΓΔ ἴση ὑπόκειται καὶ τοῖς πρὸς τοῖς Α, Β· καὶ ἡ ὑπὸ ΑΕΔ ἄρα ταῖς πρὸς τοῖς Α, Β γωνίαις ἴση ἐστίν. ὁμοίως δὴ

δὴ δείξομεν ὅτι καὶ ἡ ὑπὸ ΓΔΕ γωνία ἴση ἐστὶ τῇ πρὸς τοῖς Α, Β γωνίαις· ἰσογώνιον ἄρα τὸ ΑΒΓΔΕ πεντάγωνον.

ΑΛΛΑ δὴ μὴ ἐστωσαν ἴσαι αἱ κατὰ τὸ ἑξῆς γωνίαι, ἀλλ' ἔστωσαν ἴσαι αἱ πρὸς τοῖς Α, Γ, Δ σημείοις· λέγω ὅτι καὶ οὕτως ἰσογώνιόν ἐστι τὸ ΑΒΓΔΕ πεντάγωνον.

Ἐπεζεύχθω γὰρ ἡ ΒΔ. καὶ ἐπεὶ δύο αἱ ΒΑ, ΑΕ δυσὶ ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσὶ, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΒΕ βάσει τῇ ΒΔ ἴση ἐστὶ, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΑΕΒ γωνία τῇ ὑπὸ ΓΔΒ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΕΔ γωνία τῇ ὑπὸ ΒΔΕ ἴση, ἐπεὶ πλευρὰ ἡ ΒΕ πλευρᾷ τῇ ΒΔ ἐστιν ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΑΕΔ γωνία ὅλῃ τῇ ὑπὸ ΓΔΕ ἐστιν ἴση. ἀλλὰ ἡ ὑπὸ ΓΔΕ ταῖς πρὸς τοῖς Α, Γ γωνίαις ὑπόκειται ἴση, καὶ ἡ ὑπὸ ΑΕΔ ἄρα γωνία ταῖς πρὸς τοῖς Α, Γ ἴση ἐστί. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΒΓ ἴση ἐστὶ ταῖς πρὸς τοῖς Α, Γ, Δ γωνίαις· ἰσογώνιον ἄρα τὸ ΑΒΓΔΕ πεντάγωνον. ὅπερ ἔδει δεῖξαι.

ter demonstrabimus & angulum ΓΔΕ angulis qui sunt ad Α, Β esse æqualem: æquiangulum igitur est ΑΒΓΔΕ pentagonum.

SED non sint anguli deinceps sibi ipsis æquales, sed qui sunt ad Α, Γ, Δ: dico & sic æquiangulum esse ΑΒΓΔΕ pentagonum.

Jungatur enim ΒΔ. & quoniam duæ ΒΑ, ΑΕ duabus ΒΓ, ΓΔ æquales sunt, & angulos æquales continent; erit [per 4. 1.] basis ΒΕ æqualis basi ΒΔ, & ΑΒΕ triangulum triangulo ΒΓΔ, & reliqui anguli reliquis angulis æquales erunt quibus æqualia latera subtenduntur: æqualis igitur est angulus ΑΕΒ angulo ΓΔΒ. est autem [per 6. 1.] & ΒΕΔ angulus ipsi ΒΔΕ æqualis, quoniam latus ΒΕ est æquale lateri ΒΔ: totus igitur angulus ΑΕΔ toti ΓΔΕ est æqualis. sed [ex hyp.] angulus ΓΔΕ angulis qui sunt ad puncta Α, Γ æqualis ponitur: ergo & ΑΕΔ angulus angulis qui sunt ad Α, Γ est æqualis. eadem ratione & angulus ΑΒΓ æqualis est angulis qui sunt ad Α, Γ, Δ puncta: æquiangulum igitur est ΑΒΓΔΕ pentagonum. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν πενταγώνου ἰσοπλεύρου καὶ ἰσογωνίου αἱ κατὰ τὸ ἑξῆς δύο γωνίαι ὑποτείνωσιν εὐθεῖαι, ἄκρον καὶ μέσον λόγον τέμνουσιν ἀλλήλας, καὶ τὰ μείζονα αὐτῶν τμήματα ἴσα ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ.

PROP. VIII. THEOR.

Si pentagoni æquilateri & æquianguli duos qui deinceps sunt angulos subtendant rectæ lineæ, extrema ac media ratione se mutuo secant; & majores ipsarum portiones pentagoni lateri sunt æquales.

ΠΕντάγωνον γὰρ ἰσόπλευρον καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ δύο γωνίας, τὰς κατὰ τὸ ἑξῆς τὰς πρὸς τοῖς Α, Β, ὑποτεινέτωσαν εὐθεῖαι αἱ ΑΓ, ΒΕ, τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Θ σημεῖον· λέγω ὅτι ἑκατέρα αὐτῶν ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Θ, καὶ τὰ μείζονα αὐτῶν τμήματα ἴσα εἰσὶ τῇ τοῦ πενταγώνου πλευρᾷ.

PEntagoni enim æquilateri & æquianguli ΑΒΓΔΕ duos qui sunt deinceps angulos ad puncta Α, Β subtendant rectæ lineæ ΑΓ, ΒΕ, quæ sese in puncto Θ secent: dico utramque ipsarum extrema ac media ratione secari in puncto Θ; & majores earum portiones pentagoni lateri æquales esse.



Περιγεγράφθω γὰρ περὶ τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλος ὁ ΑΒΓΔΕ. καὶ ἐπεὶ δύο εὐθεῖαι αἱ ΕΑ, ΑΒ δυσὶ ταῖς ΑΒ, ΒΓ ἴσαι εἰσὶ, καὶ γωνίας ἴσας περιέχουσι, βάσις ἄρα ἡ ΒΕ βάσει τῇ ΑΓ ἴση ἐστὶ, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΑΒΓ τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσι· ἴση ἄρα ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΑΒΕ· διπλῆ ἄρα ἡ ὑπὸ ΑΘΕ τῆς ὑπὸ ΒΑΘ γωνίας, ἐκτὸς γάρ ἐστι τοῦ ΑΒΘ τριγώνου. ἔστι δὲ καὶ ἡ ὑπὸ ΕΑΓ τῆς ὑπὸ ΒΑΓ διπλῆ, ἐπειδὴ καὶ περιφέρεια ἡ ΕΔΓ περιφερείας τῆς ΓΒ ἐστι διπλῆ· ἴση ἄρα ἡ ὑπὸ ΘΑΕ γωνία τῇ ὑπὸ ΑΘΕ· ὥστε καὶ ἡ ΘΕ εὐθεῖα τῇ ΕΑ, τουτέστι

Describatur enim [per 14. 4.] circa ΑΒΓΔΕ pentagonum circulus ΑΒΓΔΕ. & quoniam duæ rectæ lineæ ΕΑ, ΑΒ duabus ΑΒ, ΒΓ æquales sunt & angulos æquales continent; erit [per 4. 1.] basis ΒΕ basi ΑΓ æqualis, & ΑΒΕ triangulum æquale triangulo ΑΒΓ, & reliqui anguli reliquis angulis æquales, alter alteri, quibus æqualia latera subtenduntur: æqualis igitur est ΒΑΓ angulus angulo ΑΒΕ: ergo [per 6 & 32. 1.] ΑΘΕ angulus anguli ΒΑΘ est duplus; est etenim extra triangulum ΑΒΘ. est autem [per 33. 6.] & angulus ΕΑΓ duplus anguli ΒΑΓ, quoniam circumferentia ΕΔΓ circumferentiæ ΓΒ est dupla: ergo ΘΑΕ angulus æqualis est angulo ΑΘΕ; quare [per 6. 1.] recta ΘΕ est æqualis ipsi ΕΑ, hoc

est, ipsi AB. & quoniam BA est æqualis AE; erit & angulus ABE [per 5. 1.] angulo AEB æqualis. sed angulus ABE ostensus est æqualis angulo BAΘ; ergo & BEA angulus æqualis est angulo BAΘ. verum angulus ABE est communis duobus triangulis, videlicet triangulo ABE & triangulo ABΘ; reliquus igitur BAE [per 32. 1.] reliquo AΘB est æqualis: ergo triangulum ABE æquiangulum est triangulo AΘB; ideoque [per 4. 6.] ut EB ad BA ita est AB ad BΘ. æqualis autem est BA ipsi EΘ: & igitur ut BE ad EΘ ita EΘ ad ΘB. sed BE major est quam EΘ: ergo & EΘ quam ΘB est major: recta igitur linea BE [per 30. 6.] extrema ac media ratione secta est in Θ, & major ejus portio ΘE pentagoni lateri est æqualis. similiter demonstrabimus & AΓ extrema ac media ratione secari in Θ, & majorem ejus portionem ΓΘ pentagoni lateri æqualem esse. quod erat demonstrandum.



τῇ AB ἐστιν ἴση. ἐπεὶ ἴση ἐστὶν ἡ BA εὐθεῖα τῇ AE, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ABE τῇ ὑπὸ AEB. ἀλλὰ ἡ ὑπὸ ABE τῇ ὑπὸ BAΘ ἐδείχθη ἴση· καὶ ἡ ὑπὸ BEA ἄρα γωνία τῇ ὑπὸ BAΘ ἐστιν ἴση. καὶ κοινὴ τῶν δύο τριγώνων τοῦ τε ABE καὶ τοῦ ABΘ ἐστιν ἡ ὑπὸ ABE· λοιπὴ ἄρα ἡ ὑπὸ BAE γωνία λοιπῇ τῇ ὑπὸ AΘB ἐστιν ἴση· ἰσογώνιον ἄρα τὸ ABE τριγώνον τῷ ABΘ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ EB πρὸς τὴν BA οὕτως ἡ AB πρὸς τὴν BΘ. ἴση δὲ ἡ BA τῇ EΘ· ὡς ἄρα ἡ BE πρὸς τὴν EΘ οὕτως ἡ EΘ πρὸς τὴν ΘB. μείζων δὲ ἡ BE τῆς EΘ· μείζων ἄρα καὶ ἡ EΘ τῆς ΘB· ἡ BE ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Θ, καὶ τὸ μεῖζον αὐτῆς τμῆμα τὸ ΘE ἴσον ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ AΓ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Θ, καὶ τὸ μεῖζον αὐτῆς τμῆμα τὸ ΓΘ ἴσον ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ. ὅπερ ἔδει δεῖξαι.

PROP. IX. THEOR.

Si latera hexagoni & decagoni in eodem circulo descriptorum componantur; erit tota recta extrema ac media ratione secta, & major ipsius portio erit hexagoni latus.

ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν ἡ τοῦ ἑξαγώνου πλευρὰ καὶ ἡ τοῦ δεκαγώνου τοῦ εἰς αὐτὸν ἐγγραφομένων συντεθῶσιν· ἡ ὅλη εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ τοῦ ἑξαγώνου πλευρά.

SIT circulus ABΓ, &, descriptarum in ABΓ circulo figurarum, sit decagoni quidem latus BΓ, hexagoni vero ΓΔ, & in directum sibi ipsis constituantur: dico totam rectam lineam BΔ extrema ac media ratione secari in Γ, & majorem ejus portionem esse ΓΔ.

Sumatur enim centrum circuli, quod sit E; jungunturque EB, EΓ, EΔ, & BE ad A producatur. quoniam igitur BΓ est decagoni æquilateri latus, erit AΓB circumferentia circumferentiæ BΓ quintupla; quare circumferentia AΓ quadrupla est circumferentiæ ΓB. ut autem circumferentia AΓ ad ipsam ΓB ita [per 33. 6.] AEΓ angulus ad angulum ΓEB: anguli igitur AEΓ anguli ΓEB quadruplus est. & quoniam [per 5. 1.] EBΓ angulus est æqualis angulo EΓB, erit [per 32. 1.] angulus AEΓ anguli EΓB duplus. & quoniam recta linea EΓ æqualis ipsi ΓΔ; utraque enim [per hyp. & 15. 4.] est æqualis



Ἔστω κύκλος ὁ ABΓ, καὶ τοῦ εἰς τὸν ABΓ κύκλον ἐγγραφομένων σχημάτων, δεκαγώνου μὲν ἔστω πλευρὰ ἡ BΓ, ἑξαγώνου δὲ ἡ ΓΔ, καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας· λέγω ὅτι ἡ ὅλη εὐθεῖα ἡ BΔ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ ΓΔ.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου, καὶ ἔστω τὸ E σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ EB, EΓ, EΔ, καὶ διήχθω ἡ BE ἐπὶ τὸ A. καὶ ἐπεὶ δεκαγώνου ἰσοπλεύρου πλευρά ἐστιν ἡ BΓ, πενταπλασίων ἄρα ἡ AΓB περιφέρεια τῆς BΓ περιφερείας· πενταπλασίων ἄρα ἡ AΓ περιφέρεια τῆς ΓB. ὡς δὲ ἡ AΓ περιφέρεια πρὸς τὴν ΓB οὕτως ἡ ὑπὸ AEΓ γωνία πρὸς τὴν ὑπὸ ΓEB· πενταπλασίων ἄρα ἡ ὑπὸ AEΓ τῆς ὑπὸ ΓEB. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ EBΓ γωνία τῇ ὑπὸ EΓB, ἡ ἄρα ὑπὸ AEΓ γωνία διπλασία ἐστὶ τῆς ὑπὸ EΓB. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ EΓ εὐθεῖα τῇ ΓΔ, ἑκατέρα γὰρ αὐτῶν ἴση

ἴση ἐστὶ τῇ τοῦ ἑξαγώνου πλευρᾷ, τοῦ εἰς τὸν ΑΒΓ κύκλον ἐγγραφομένου, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΓΕΔ γωνίᾳ τῇ ὑπὸ ΓΔΕ· διπλασία ἄρα ἡ ὑπὸ ΕΓΒ τῆς ὑπὸ ΕΔΓ. ἀλλὰ τῆς ὑπὸ ΕΓΒ διπλασία ἐδείχθη ἡ ὑπὸ ΑΕΓ· τετραπλασία ἄρα ἡ ὑπὸ ΑΕΓ τῆς ὑπὸ ΕΔΓ. ἐδείχθη δὲ καὶ τῆς ὑπὸ ΒΕΓ τετραπλασία ἡ ὑπὸ ΑΕΓ· ἴση ἄρα ἡ ὑπὸ ΕΔΓ τῇ ὑπὸ ΒΕΓ. κοινὴ δὲ τῶν δύο τριγώνων, τοῦ τε ΒΕΓ ⟨καὶ⟩ οὗ ΒΕΔ, ἡ ὑπὸ ΕΒΔ γωνία· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΕΔ λοιπῇ τῇ ὑπὸ ΕΓΒ ἐστιν ἴση· ἰσογώνιον ἄρα τὸ ΕΒΔ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΕ οὕτως ἡ ΕΒ πρὸς τὴν ΒΓ. ἴση δὲ ἡ ΕΒ τῇ ΓΔ· ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΒ. μείζων δὲ ἡ ΒΔ τῆς ΔΓ· μείζων ἄρα καὶ ἡ ΔΓ τῆς ΓΒ· ἡ ΒΔ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον τμῆμα αὐτῆς ἐστιν ἡ ΔΓ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ι'.

Εἰς τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρον ἐγγράψαι· ἥ τε τοῦ πενταγώνου πλευρὰ δυνατή ἐστι τήν τε τοῦ ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου, τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ, οὗ ἡ μὲν τοῦ ἐγγραφομένου ἰσοπλεύρου πενταγώνου πλευρὰ ἔστω ἡ ΑΒ, ἡ δὲ τοῦ ἑξαγώνου ἡ ΑΖ, ἡ δὲ τοῦ δεκαγώνου ἡ ΑΗ· δεῖ δὴ τὴν ΑΒ καὶ ΑΖ δυνατὴν εἶναι ἐν τῷ ΑΒΓΔΕ κύκλῳ.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΖΒ, καὶ διήχθωσαν ἐπὶ τὸ Η σημεῖον, καὶ ἐπεζεύχθω ἡ ΖΒ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΑΒ κάθετος ἤχθω ἡ ΖΘ, καὶ διήχθω ἐπὶ τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΚ, ΚΒ, καὶ πάλιν ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΑΚ κάθετος ἤχθω ἡ ΖΛ, καὶ διήχθω ἐπὶ τὸ Μ, καὶ ἐπεζεύχθω ἡ ΚΝ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒΓΗ περιφέρεια τῇ ΑΕΔΗ περιφερείᾳ, ὧν ἡ ΑΒΓ τῇ ΑΕΔ ἐστιν ἴση· λοιπὴ ἄρα ἡ ΓΗ περιφέρεια λοιπῇ τῇ ΔΗ ἐστιν ἴση. πενταγώνου γάρ ἐστιν ἡ ΓΔ· δεκαγώνου ἄρα ἡ ΓΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΖ τῇ ΖΒ, καὶ κάθετος ἡ ΖΘ· ἴση ἄρα καὶ ἡ ὑπὸ ΑΖΚ γωνία τῇ ὑπὸ ΚΖΒ· ὥστε καὶ περιφέρεια ἡ ΑΚ τῇ ΚΒ ἐστιν ἴση· διπλῆ ἄρα ἡ ΑΒ περιφέρεια τῆς ΒΚ περιφερείας· δεκαγώνου ἄρα πλευρά ἐστιν ἡ ΑΚ εὐθεῖα. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΑΚ τῇ ΚΜ ἐστι διπλῆ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΒ περιφέρεια τῆς ΒΚ περιφερείας, ἴση δὲ ἡ ΓΔ περιφέρεια τῇ ΑΒ περιφερείᾳ· διπλῆ ἄρα καὶ ἡ ΓΔ περιφέρεια τῆς ΒΚ περιφερείας. ἔστι δὲ ἡ ΓΔ περιφέρεια καὶ τῆς ΓΗ διπλῆ· καὶ λοιπὴ ἄρα ἡ ΑΒ περιφέρεια λοιπῆς τῆς ΒΚ διπλῆ ἐστιν· καὶ ἡ ΑΚ ἄρα τῆς ΚΒ διπλῆ ἐστιν. ἐπεζεύχθωσαν αἱ ΚΝ, ΝΑ, ΑΜ, ΜΚ· καὶ ἐπεὶ ἡ ΚΑ τῆς ΚΒ διπλῆ ἐστιν, ἀλλὰ τῆς μὲν ΚΑ διπλῆ ἐστιν ἡ ΚΜ, τῆς δὲ ΚΒ διπλῆ ἐστιν ἡ ΚΝ· καὶ ἡ ΚΜ ἄρα τῆς ΚΝ διπλῆ ἐστιν· ἴση ἄρα ἐστὶν ἡ ΚΜ τῇ ΚΝ. ἀλλὰ μὴν καὶ ἡ ΚΖ τῇ ΚΖ ἐστιν ἴση· δύο δὴ αἱ ΜΚ, ΚΖ δυσὶ ταῖς ΝΚ, ΚΖ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΜΚΖ γωνίᾳ τῇ ὑπὸ ΝΚΖ ἴση· βάσις ἄρα ἡ ΜΖ βάσει τῇ ΝΖ ἐστιν ἴση· καὶ τὸ ΜΚΖ ἄρα τρίγωνον τῷ ΝΚΖ τριγώνῳ ἴσον ἐστίν· καὶ λοιπαὶ ἄρα γωνίαι λοιπαῖς ταῖς ὑφ' ἃς ἴσαι πλευραὶ ὑποτείνουσιν ἴσαι ἐστίν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΚΜΖ γωνία τῇ ὑπὸ ΚΝΖ. ἀλλὰ ἡ ὑπὸ ΚΝΖ τῇ ὑπὸ ΝΑΖ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΚΜΖ ἄρα τῇ ὑπὸ ΝΑΖ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΜΑΝ ἄρα γωνία διπλασία ἐστὶ τῆς ὑπὸ ΚΜΖ γωνίας. ἐπεὶ οὖν ἡ ὑπὸ ΚΜΖ γωνία τῇ ὑπὸ ΜΚΖ ἐστιν ἴση, καὶ ἡ ὑπὸ ΜΚΖ ἄρα τῇ ὑπὸ ΝΚΖ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΜΚΝ ἄρα γωνία διπλασία ἐστὶ τῆς ὑπὸ ΜΚΖ γωνίας. ἀλλὰ ἡ ὑπὸ ΜΚΖ τῆς ὑπὸ ΚΜΖ ἐστι διπλῆ· καὶ ἡ ὑπὸ ΜΚΝ ἄρα τῆς ὑπὸ ΚΜΖ ἐστι διπλῆ. ἀλλὰ ἡ ὑπὸ ΜΚΝ τῇ ὑπὸ ΜΑΝ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΜΑΝ ἄρα τῆς ὑπὸ ΚΜΖ ἐστι διπλῆ. ἀλλὰ ἡ ὑπὸ ΜΑΝ τῆς ὑπὸ ΚΜΖ ἐδείχθη διπλασία· ἑκατέρα ἄρα τῶν ὑπὸ ΜΑΝ, ΚΜΖ γωνιῶν ὀρθή ἐστιν· καὶ ἡ ὑπὸ ΚΜΑ ἄρα ὀρθή ἐστιν· καὶ ἐπεὶ ἡ ὑπὸ ΚΜΖ γωνία τῇ ὑπὸ ΚΝΖ ἐστιν ἴση, ἀλλὰ ἡ ὑπὸ ΚΜΖ ὀρθή ἐστιν· καὶ ἡ ὑπὸ ΚΝΖ ἄρα ὀρθή ἐστιν· καὶ ἡ ὑπὸ ΜΝΑ ἄρα ὀρθή ἐστιν· καὶ ἐπεὶ ἡ ὑπὸ ΚΜΑ γωνία ὀρθή ἐστιν, ἡμικύκλιον ἄρα ἐστὶ τὸ ΚΜΑ· καὶ ἡ ΚΑ ἄρα διάμετρός ἐστι τοῦ ΑΒΓΔΕ κύκλου· ἐπεζεύχθωσαν αἱ ΚΔ, ΔΑ, ΑΓ, ΓΚ· καὶ ἐπεὶ ἡμικύκλιον ἐστὶ τὸ ΚΓΑ, ὀρθή ἐστιν ἡ ὑπὸ ΚΓΑ γωνία· καὶ ἐπεὶ ἡ ὑπὸ ΚΓΑ γωνία τῇ ὑπὸ ΚΔΑ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΚΔΑ ἄρα ὀρθή ἐστιν· καὶ ἐπεὶ ἡ ὑπὸ ΚΝΑ ὀρθή ἐστιν, ἡμικύκλιον ἄρα ἐστὶ τὸ ΚΝΑ· καὶ ἡ ὑπὸ ΚΔΑ ἄρα ὀρθή ἐστιν· καὶ ἐπεὶ ἡ ὑπὸ ΚΜΑ ὀρθή ἐστιν, ἡμικύκλιον ἄρα ἐστὶ τὸ ΚΜ

ipſius ΓH: ergo ΓH eſt æqualis BK. ſed BK ipſius KM eſt dupla, quoniam & AK: & ΓH igitur ipſius KM dupla erit. eſt autem & ΓB circumferentia circumferentiæ BK dupla; etenim ΓB eſt æqualis BA: ergo & tota HB dupla eſt ipſius BM, & [per 33. 6.] angulus HZB anguli BZM duplus. ſed [per 32. 1.] & angulus HZB eſt duplus anguli ZAB; etenim [per 5. 1.] ZAB angulus æqualis eſt angulo ABZ: ergo & angulus BZN angulo ZAB eſt æqualis. communis autem duobus triangulis ABZ, BZN eſt ABZ angulus: reliquus igitur AZB [per 32. 1.] eſt æqualis reliquo BNZ, & triangulum ABZ triangulo BZN æquiangulum: ergo [per 4. 6.] ut AB ad BZ ita ZB ad BN: rectangulum igitur ſub AB, BN [per 17. 6.] eſt æquale quadrato ex ZB. rurſus quoniam AΛ eſt æqualis AK, communis autem & ad rectos angulos AN; erit [per 4. 1.] baſis KN æqualis baſi AN: ergo & angulus AKN angulo AΛN eſt æqualis. ſed [per 5. 1.] angulus AΛN eſt æqualis angulo KBN: & igitur angulus AKN eſt æqualis angulo KBN. angulus autem NAK eſt communis duobus triangulis AKB & AKN: ergo [per 32. 1.] reliquus AKB reliquo KNA eſt æqualis, & triangulum KBA triangulo KNA æquiangulum; igitur ut BA ad AK ita [per 4. 6.] KA ad AN; quare [per 17. 6.] rectangulum ſub BA, AN eſt æquale quadrato ex AK. oſtenſum eſt autem & rectangulum ſub AB, BN quadrato ex BZ æquale: rectangulum igitur ſub AB, BN una cum rectangulo ſub BA, AN, quod [per 2. 2.] eſt quadratum ex AB, eſt æquale quadrato ex BZ una cum quadrato ex AK. ſed eſt AB quidem pentagoni latus, BZ vero latus hexagoni, & AK latus decagoni.



Ergo pentagoni latus poteſt & latus hexagoni & latus decagoni in eodem circulo deſcriptorum. quod erat demonſtrandum.

πλῆ· ἴση ἄρα ἡ ΓH περιφέρεια τῇ BK περιφερείᾳ. ἀλλὰ, ἡ BK τῇ KM ἐστι διπλῆ, ἐπεὶ καὶ ἡ KA· καὶ ἡ ΓH ἄρα τῇ KM ἐστι διπλῆ. ἀλλὰ ἡ ΓB περιφέρεια τῇ ΓK περιφερείας ἐστὶ διπλῆ, ἴση γὰρ ἡ ΓB περιφέρεια τῇ BA περιφερείᾳ· καὶ ὅλη ἄρα ἡ HB περιφέρεια τῇ BM ἐστι διπλῆ· ὥστε ἡ γωνία ἡ ὑπὸ HZB γωνίας τῆς ὑπὸ BZM ἐστι διπλῆ. ἔστι δὲ ἡ ὑπὸ HZB καὶ τῆς ὑπὸ ZAB διπλῆ, ἴση γὰρ ἡ ὑπὸ ZAB τῇ ὑπὸ ABZ· καὶ ἡ ὑπὸ BZN ἄρα τῇ ὑπὸ ZAB ἐστιν ἴση. κοινὴ δὲ τῶν δύο τριγώνων, τοῦ τε ABZ καὶ BZN, ἡ ὑπὸ ABZ γωνία· λοιπὴ ἄρα ἡ ὑπὸ AZB λοιπῇ τῇ ὑπὸ BNZ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ καὶ τὸ ABZ τρίγωνον τῷ BZN τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ AB εὐθεῖα πρὸς τὴν BZ οὕτως ἡ ZB πρὸς τὴν BN· τὸ ἄρα ὑπὸ τῶν AB, BN ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ZB. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ AΛ τῇ AK, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ AN· βάσις ἄρα ἡ KN βάσει τῇ AN ἐστιν ἴση· καὶ γωνία ἄρα ἡ ὑπὸ AKN γωνίᾳ τῇ ὑπὸ AΛN ἐστιν ἴση. ἀλλὰ ἡ ὑπὸ AΛN τῇ ὑπὸ KBN ἐστιν ἴση· καὶ ἡ ὑπὸ AKN ἄρα τῇ ὑπὸ KBN ἐστιν ἴση. καὶ κοινὴ τῶν δύο τριγώνων, τοῦ τε AKB καὶ τοῦ AKN, ἡ ὑπὸ NAK· λοιπὴ ἄρα ἡ ὑπὸ AKB λοιπῇ τῇ ὑπὸ KNA ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ KBA τρίγωνον τῷ KNA τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ BA εὐθεῖα πρὸς τὴν AK οὕτως ἡ KA εὐθεῖα πρὸς τὴν AN· τὸ ἄρα ὑπὸ τῶν BA, AN ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AK. ἐδείχθη δὲ καὶ τὸ ὑπὸ τῶν AB, BN ἴσον τῷ ἀπὸ τῆς BZ· τὸ ἄρα ὑπὸ τῶν AB, BN μετὰ τοῦ ὑπὸ τῶν BA, AN, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς AB, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς BZ μετὰ τοῦ ἀπὸ τῆς AK. καὶ ἔστιν ἡ μὲν AB πενταγώνου πλευρά, ἡ δὲ BZ ἑξαγώνου, ἡ δὲ AK δεκαγώνου.

Η ἄρα τοῦ πενταγώνου πλευρὰ δυνάται τήν τε τοῦ ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου, τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων. ὅπερ ἔδει δεῖξαι.

Prop. XI. Theor.

Si in circulo rationalem diametrum habente pentagonum æquilaterum deſcribatur; pentagoni latus eſt linea irrationalis quæ minor appellatur.

ΠΡΟΤΑΣΙΣ ια'.

Εἰς κύκλον ῥητὴν ἔχοντα τὴν διάμετρον πενταγώνου ἰσοπλεύρου ἐγγραφῆ, ἡ τοῦ πενταγώνου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων.

IN circulo enim ABΓΔE rationalem diametrum habente pentagonum æquilaterum deſcribatur ABΓΔE: dico pentagoni ABΓΔE latus irrationalem eſſe lineam, quæ minor appellatur.

Sumatur enim circuli centrum Z; & junctæ AZ, BZ ad puncta H, Θ producantur, & jungatur AΓ; ponaturque ZK ipſius AZ pars

ΕΙΣ γὰρ κύκλον τὸν ABΓΔE ῥητὴν ἔχοντα τὴν διάμετρον πενταγώνου ἰσοπλεύρου ἐγγεγράφθω τὸ ABΓΔE· λέγω ὅτι ἡ τοῦ πενταγώνου πλευρὰ ἡ ABΓΔE ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Z σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ AZ, ZB, καὶ διήχθωσαν ἐπὶ τὰ H, Θ σημεῖα, καὶ ἐπεζεύχθω ἡ AΓ, καὶ κείσθω τῇ AZ τετρα-

τέταρτον μέρος ἡ Z K. ῥητὴ δὲ ἡ A Z· ῥητὴ ἄρα καὶ ἡ Z K. ἔστι δὲ καὶ ἡ B Z ῥητή· ὅλη ἄρα ἡ B K ῥητή ἐστι. Ὡ ἐπεὶ ἴση ἐστὶν ἡ A Γ H περιφέρεια τῇ A Δ H περιφερείᾳ, ὧν ἡ A B Γ τῇ A E Δ ἴση· λοιπὴ ἄρα ἡ Γ H λοιπῇ τῇ H Δ ἐστιν ἴση. καὶ ἐὰν ἐπιζεύξωμεν τὴν A Δ, συναγον) ὀρθαὶ αἱ πρὸς τῷ Λ γωνίαι, Ὡ διπλῆ ἡ Γ Δ τῆς Γ Λ. Διὰ τὰ αὐτὰ καὶ αἱ πρὸς τῷ M ὀρθαί εἰσι, Ὡ διπλῆ ἡ A Γ τῆς Γ M. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ A Λ Γ γωνία τῇ ὑπὸ A M Z, κοινὴ δὲ τῶν δύο τριγώνων, τῶν τε A Λ Γ καὶ τοῦ A M Z, ἡ ὑπὸ Λ A Γ· λοιπὴ ἄρα ἡ ὑπὸ A Γ Λ λοιπῇ τῇ ὑπὸ M Z A ἐστιν ἴση· ἰσογώνιον ἄρα τὸ A Γ Λ τριγωνον τῷ A M Z τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ Λ Γ πρὸς τὴν Γ A οὕτως ἡ M Z πρὸς τὴν Z A, καὶ τῶν ἡγουμένων τὰ διπλάσια· ὡς ἄρα ἡ τοῦ Λ Γ διπλῆ πρὸς τὴν Γ A οὕτως ἡ τοῦ M Z διπλῆ πρὸς τὴν Z A. ἀλλ' ὡς ἡ τοῦ M Z διπλῆ πρὸς τὴν Z A οὕτως ἡ M Z πρὸς τὴν ἡμίσειαν τοῦ Z A· καὶ ὡς ἄρα ἡ τοῦ Λ Γ διπλῆ πρὸς τὴν Γ A οὕτως ἡ M Z πρὸς τὴν ἡμίσειαν τοῦ Z A, καὶ τῶν ἑπομένων τὰ ἡμίσεια· ὡς ἄρα ἡ τοῦ Λ Γ διπλῆ πρὸς τὴν ἡμίσειαν τοῦ Γ A οὕτως ἡ M Z πρὸς τὸ τέταρτον τοῦ Z A. καὶ ἔστι τοῦ μὲν Λ Γ διπλῆ ἡ Δ Γ, τοῦ δὲ Γ A ἡμίσεια ἡ Γ M, τοῦ δὲ Z A τέταρτον μέρος ἡ Z K· ἔστιν ἄρα ὡς ἡ Δ Γ πρὸς τὴν Γ M οὕτως ἡ M Z πρὸς τὴν Z K. συνθέντι καὶ ὡς συναμφότερος ἡ Δ Γ M πρὸς τὴν Γ M οὕτως ἡ M K πρὸς τὴν Z K· καὶ ὡς ἄρα τὸ ἀπὸ συναμφοτέρου τοῦ Δ Γ M πρὸς τὸ ἀπὸ τοῦ Γ M οὕτως τὸ ἀπὸ τοῦ M K πρὸς τὸ ἀπὸ τοῦ K Z. καὶ ἐπεὶ τῆς ὑπὸ δύο πλευρὰς δ πενταγώνου ὑποτεινούσης, οἷον τοῦ Λ Γ, ἄκρον καὶ μέσον λόγον τετμημένης, τὸ μεῖζον τμῆμα ἴσον ἐστὶ τῇ δ πενταγώνου πλευρᾷ, τουτέστι τῷ Δ Γ, τὸ δὲ μεῖζον τμῆμα τριπλάσιον τοῦ ἡμίσειαν τοῦ ὅλης πενταπλάσιον δυνάται) τὸ ἀπὸ τοῦ ἡμισείας τοῦ ὅλης, καὶ ἔστιν ὅλης τοῦ Λ Γ ἡμίσεια ἡ Γ M· τὸ ἄρα ἀπὸ τοῦ Δ Γ M ὡς μιᾶς πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τοῦ Γ M. ὡς δὲ τὸ ἀπὸ τοῦ Δ Γ M ὡς μιᾶς πρὸς τὸ ἀπὸ τοῦ Γ M οὕτως ἐδείχθη τὸ ἀπὸ τοῦ M K πρὸς τὸ ἀπὸ τοῦ K Z· πενταπλάσιον ἄρα τὸ ἀπὸ τοῦ M K τοῦ ἀπὸ τῆς K Z. ῥητὸν δὲ τὸ ἀπὸ τοῦ K Z, ῥητὴ γὰρ ἡ διάμετρος· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τοῦ M K· ῥητὴ ἄρα ἐστὶν ἡ M K, λόγον γὰρ ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμὸν τὸ ἀπὸ τοῦ M K πρὸς τὸ ἀπὸ τοῦ K Z. Ὡ ἐπεὶ τετραπλασία ἐστὶν ἡ B Z τῆς Z K, πενταπλασία ἄρα ἐστὶν ἡ B K τῆς K Z· εἴκοσι πενταπλάσιον ἄρα τὸ ἀπὸ τοῦ B K τοῦ ἀπὸ τοῦ K Z. πενταπλάσιον δὲ τὸ ἀπὸ τοῦ M K τοῦ ἀπὸ τοῦ K Z· πενταπλάσιον ἄρα τὸ ἀπὸ τοῦ B K τοῦ ἀπὸ τοῦ K M· τὸ ἄρα ἀπὸ τοῦ B K πρὸς τὸ ἀπὸ τοῦ K M λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἡ B K τῇ K M μήκει. καί ἐστι ῥητὴ ἑκατέρα αὐτῶν· αἱ B K, K M



Centro enim A, intervallo autem A Δ, circulus E Δ Z describatur. itaque [per 6. def. dat.] positione datus est circulus E Δ Z: nam ejus centrum positione datum est, & quæ ex centro, ipsa A Δ, magnitudine. sed & recta B Γ est etiam positione data. at vero si duæ lineæ positione datæ se invicem secent; punctum intersectionis [per 25. dat.] datum est: ergo datum est punctum Δ. est autem punctum A datum: quare [per 26. dat.] A Δ positione data est.



ΠΡΟΤΑΣΙΣ λα'.

Ἐὰν ἀπὸ δεδομένου σημείου ἐπὶ θέσει δεδομένην εὐθεῖαν εὐθεῖα γραμμὴ προσβληθῇ δεδομένην τῷ μεγέθει, δέδοται καὶ τῇ θέσει.

Ἀπὸ γὰρ δεδομένου σημείου τοῦ A ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν B Γ εὐθεῖα γραμμὴ ἦκται ἡ A Δ, δεδομένη τῷ μεγέθει· λέγω ὅτι καὶ τῇ θέσει δέδοται.

Κέντρῳ γὰρ τῷ A, διαστήματι δὲ τῷ A Δ, κύκλος γεγράφθω ὁ E Δ Z. θέσει ἄρα ἐστὶν ὁ E Δ Z κύκλος, δέδοται γὰρ αὐτοῦ τὸ A κέντρον τῇ θέσει, καὶ ἡ ἐκ τοῦ κέντρου ἡ A Δ τῷ μεγέθει. θέσει δὲ καὶ ἡ B Γ εὐθεῖα. ἐὰν δὲ δύο γραμμαὶ τῇ θέσει δεδομένην τέμνωσιν ἀλλήλας, δέδοται τὸ σημεῖον, καθ' ὃ τέμνουσιν ἀλλήλας· δοθὲν ἄρα ἐστὶ τὸ Δ. ἔστι δὲ καὶ τὸ A δοθέν· θέσει ἄρα ἐστὶν ἡ A Δ.

Prop. XXXII.

Si in positione datas parallelas rectas agatur recta linea, quæ faciat angulos datos; acta recta magnitudine data est.

IN datas enim positione parallelas rectas A B, Γ Δ agatur recta linea E Z, faciens angulos B E Z, E Z Δ datos: dico magnitudine datam esse rectam E Z.

Sumatur enim in Γ Δ datum punctum H, & [per 31. 1.] per H agatur ipsi E Z parallela H Θ. & quoniam parallela est H Θ ipsi E Z, & in illas incidit Γ Δ; erit [per 29. 1.] angulus E Z Δ angulo Θ H Δ æqualis. angulus autem E Z Δ [ex hyp.] datus est: quare & angulus Θ H Δ datus est. quoniam itaque ad positione da-



ΠΡΟΤΑΣΙΣ λβ'.

Ἐὰν εἰς παραλλήλους τῇ θέσει δεδομένας εὐθείας εὐθεῖα γραμμὴ ἀχθῇ, δεδομένας ποιοῦσα γωνίας, δέδοται ἡ ἀχθεῖσα τῷ μεγέθει.

Εἰς γὰρ παραλλήλους τῇ θέσει δεδομένας εὐθείας τὰς A B, Γ Δ, εὐθεῖα γραμμὴ ἦκται ἡ E Z, δεδομένας ποιοῦσα γωνίας τὰς ὑπὸ B E Z, E Z Δ· λέγω ὅτι δέδοται ἡ E Z τῷ μεγέθει.

Εἰλήφθω γὰρ ἐπὶ τῆς Γ Δ δοθὲν σημεῖον τὸ H, καὶ διὰ τοῦ H τῇ E Z παράλληλος ἦκται ἡ H Θ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ H Θ τῇ E Z, καὶ εἰς αὐτὰς εὐθεῖα ἐμπέπτωκεν ἡ Γ Δ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ E Z Δ τῇ ὑπὸ Θ H Δ. δοθεῖσα δὲ ἡ ὑπὸ E Z Δ· δοθεῖσα ἄρα καὶ ἡ ὑπὸ Θ H Δ. ἐπεὶ οὖν πρὸς θέσει δεδο-

* Nam rectarum positione datarum datur inclinatio ad invicem; hoc est, angulus ab illis comprehensus.

μένην

μένη εὐθεῖα τῇ ΓΔ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ δεδομένῳ τῷ Η, εὐθεῖα γραμμὴ ἦκται ἡ ΗΘ, δεδομένην ποιοῦσι γωνίαν τὴν ὑπὸ ΘΗΖ· θέσει ἄρα ἐστὶν ἡ ΗΘ. θέσει δὲ καὶ ἡ ΑΒ· δοθὲν ἄρα καὶ τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ Η δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΗΘ τῷ μεγέθει. καὶ ἔστιν ἴση τῇ ΕΖ· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ ΕΖ τῷ μεγέθει.

tam rectam ΓΔ, & datum in ea punctum Η, acta est recta ΗΘ, quæ facit angulum ΘΗΖ datum: positione data erit [per 29. dat.] recta ΗΘ. est autem [ex hyp.] ΑΒ positione data: itaque [per 25. dat.] punctum Θ datum est. est autem [per constr.] punctum Η datum; quare [per 26. dat.] ΗΘ magnitudine data est. atque [per 34. 1.] est æqualis ipsi ΕΖ: ergo etiam [per 1. def. dat.] ΕΖ magnitudine data est.

ΠΡΟΤΑΣΙΣ λγ'.

Ἐὰν εἰς παραλλήλους τῇ θέσει δεδομένας εὐθείας εὐθεῖα γραμμὴ ἀχθῇ, δεδομένην τῷ μεγέθει· δεδομένας ποιήσει γωνίας.

PROP. XXXIII.

Si in datas positione rectas parallelas agatur recta magnitudine data; faciet ea angulos datos.

Εἰς γὰρ παραλλήλους τῇ θέσει δεδομένας εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΕΖ, δεδομένην τῷ μεγέθει· λέγω ὅτι δεδομένας ποιήσει γωνίας τὰς ὑπὸ ΑΕΖ, ΕΖΓ.

IN datas enim positione parallelas rectas ΑΒ, ΓΔ agatur recta ΕΖ magnitudine data: dico quod ipsa faciet angulos ΑΕΖ, ΕΖΓ datos.



Εἰλήφθω γὰρ ἐπὶ τῆς ΑΒ δοθὲν σημεῖον τὸ Η, καὶ διὰ τοῦ Η τῇ ΕΖ παράλληλος ἤχθω ἡ ΗΘ· ἴση ἄρα ἐστὶν ἡ ΖΕ τῇ ΗΘ. δοθεῖσα δὲ ΕΖ τῷ μεγέθει· δοθεῖσα ἄρα καὶ ἡ ΗΘ τῷ μεγέθει. καὶ ἔστι τὸ Η δοθέν· ὁ ἄρα κέντρῳ μὲν τῷ Η, διαστήματι δὲ τῷ ΗΘ, κύκλος γραφόμενος ἔσται τῇ θέσει. γεγράφθω, καὶ ἔστω ὁ ΚΘΛ· θέσει ἄρα ἐστὶν ὁ ΚΘΛ. θέσει δὲ καὶ ἡ ΓΔ· δοθὲν ἄρα ἐστὶ τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ Η δοθέν· θέσει ἄρα ἐστὶν ἡ ΗΘ. θέσει δὲ ΓΔ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΗΘΓ γωνία. καὶ ἔστι τῇ ὑπὸ ΕΖΓ ἴση· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΕΖΓ· ἡ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΕΖ δοθεῖσά ἐστι.

Accipiatur enim in recta ΑΒ datum punctum Η, & per punctum Η agatur [per 31. 1.] ipsi ΕΖ parallela ΗΘ: æqualis igitur [per 34. 1.] est ΖΕ ipsi ΗΘ. est autem [ex hyp.] ΕΖ magnitudine data: ergo ΗΘ magnitudine data est. & datum est punctum Η: quare [per 6. def. dat.] centro Η, intervallo ΗΘ, descriptus circulus positione datus erit. describatur, & sit ΚΘΛ: positione igitur datus est circulus ΚΘΛ. est autem [ex hyp.] ΓΔ positione data: ergo [per 25. dat.] datum est punctum Θ. sed & [per constr.] punctum Η datum est: quare [per 26. dat.] recta ΗΘ positione data est. positione autem data est [ex hyp.] recta ΓΔ: itaque angulus ΗΘΓ datus est. & est ΗΘΓ [per 29. 1.] ipsi ΕΖΓ æqualis: igitur angulus ΕΖΓ datus est: igitur [per 32. 1. & 4. dat.] & reliquus ΑΕΖ datus est.

ΑΛΛΩΣ.

Εἰλήφθω ἐπὶ τῆς ΓΔ δοθὲν σημεῖον τὸ Η, καὶ κείσθω τῇ ΕΖ ἴση ἡ ΗΔ, καὶ κέντρῳ μὲν τῷ Η, διαστήματι δὲ τῷ ΗΔ κύκλος γεγράφθω ὁ ΔΒ· θέσει ἄρα ὁ ΔΒ κύκλος, δέδοται γὰρ αὐτοῦ τὸ κέντρον τῇ θέσει, καὶ ἡ ἐκ κέντρου τῷ μεγέθει. θέσει δὲ καὶ ἡ ΑΒ· δοθὲν ἄρα ἐστὶ τὸ Β σημεῖον. ἔστι δὲ καὶ τὸ Η δοθέν· θέσει ἄρα ἐστὶν ἡ ΗΒ. θέσει δὲ καὶ ἡ ΓΔ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΗΔ γωνία. καὶ εἰ μὲν παράλληλός ἐστιν ἡ ΕΖ τῇ ΗΒ, ἔσται καὶ ἡ ὑπὸ ΕΖΗ γωνία δοθεῖσα· ὥστε καὶ λοιπὴ ἡ ὑπὸ ΖΕΒ γωνία δοθεῖσα ἐστίν· εἰ δὲ μὴ παράλληλός ἐστιν ἡ ΕΖ τῇ ΗΒ, ἤχθω ἀπὸ τοῦ Η τῇ ΕΖ παράλληλος ἡ ΗΘ· θέσει ἄρα ἐστὶν ἡ ΗΘ. καὶ ἔστι τὸ Η δοθέν· δοθὲν ἄρα ἐστὶ καὶ τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ Β δοθέν· θέσει ἄρα ἐστὶν ἡ ΘΒ. καὶ ἔστι θέσει καὶ ἡ ΓΔ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΗΔ γωνία. καὶ ἔστιν ἴση τῇ ὑπὸ ΕΖΗ· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΕΖΗ γωνία· ὥστε καὶ λοιπὴ ἡ ὑπὸ ΖΕΒ γωνία δοθεῖσά ἐστιν.

ALITER.

Sumatur in recta ΓΔ datum punctum Η, & ponatur ipsi ΕΖ æqualis ΗΔ, dein centro quidem Η, intervallo autem ΗΔ, circulus ΔΒ describatur: positione igitur datus est [per 6. def. dat.] circulus ΔΒ; ipsius enim centrum positione datum est, & ea quæ ex centro magnitudine. est autem [ex hyp.] recta ΑΒ positione data: quare [per 25. dat.] punctum Β datum est. verum [per constr.] & punctum Η datum est: itaque positione data est recta ΗΒ. sed [ex hyp.] positione data est etiam recta ΓΔ: ergo angulus ΒΗΔ datus est. unde, si parallela sit ΕΖ ipsi ΗΒ, angulus ΕΖΗ [per 29. 1. & 1. def. dat.] datus erit: necnon & reliquus angulus ΖΕΒ [per



32. 1. & 4. dat.] datus erit. si vero parallelæ non sint; rectæ EZ, BH concurrant in puncto Θ. quoniam itaque [per constr.] æqualis est EZ ipsi ΔH, hoc est ipsi HB; atque [ex hyp.] parallela est EB ipsi ZH: erit [per 2. 6.] ZΘ ipsi ΘH æqualis: quare [per 6. 1.] & angulus ΘHZ angulo ΘZH æqualis est. datus autem [per 15. 1.] est angulus ΘHZ: ergo angulus HZΘ datus est: quare [per 32. 1. & 4. dat.] & qui deinceps est angulus HZE datus est: angulus igitur ZEB datus est.



θεῖσά ἐστι. εἰ δὲ ὄ, συμπιπτέτωσαν αἱ EZ, BH κατὰ τὸ Θ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ EZ τῇ ΔH, τοῦτ' ἔστιν τῇ HB, καὶ ἔστι παράλληλος ἡ EB τῇ ZH· ἴση ἄρα ἐστὶ καὶ ἡ ZΘ τῇ ΘH· ὥστε καὶ γωνία ἡ ὑπὸ ΘHZ γωνίᾳ τῇ ὑπὸ ΘZH ἐστὶν ἴση. δοθεῖσα δὲ ἡ ὑπὸ ΘHZ· δοθεῖσα ἄρα καὶ ἡ ὑπὸ HZΘ· ὥστε καὶ ἡ ἐφεξῆς ἡ ὑπὸ HZE δοθεῖσά ἐστι· καὶ ἡ ὑπὸ ZEB ἄρα δοθεῖσά ἐστι.

PROP. XXXIV.

Si in datas positione parallelas rectas à dato puncto recta linea agatur; secabitur illa in data ratione.

IN parallelas enim positione datas rectas AB, Γ Δ, à dato puncto E, agatur linea EZH: dico ipsius EZ ad ZH rationem datam esse.

Agatur enim [per 12. 1.] à puncto E in rectam Γ Δ perpendicularis EKΘ. & quoniam à dato puncto E ad positione datam rectam Γ Δ recta EΘ acta est, quæ facit angulum EΘH datum: [per 30. dat.] positione data erit EΘ. est autem [ex hyp.] utraque rectarum AB, Γ Δ positione data: itaque [per 25. dat.] utrumque punctorum K, Θ datum est. sed & punctum E datum est: quare [per 26. dat.] utraque rectarum EK, KΘ data est: igitur [per 1. dat.] ratio ipsius EK ad KΘ data est. sed [per 2. 6.] est EK ad KΘ ut EZ ad ZH: ergo [per 2. def. dat.] ratio ipsius EZ ad ZH data est.



ΠΡΟΤΑΣΙΣ λδ'.

Εὰν εἰς παραλλήλους τῇ θέσει δεδομένας εὐθείας ἀπὸ δεδομένου σημείου εὐθεῖα γραμμὴ ἀχθῇ, εἰς δεδομένον λόγον τμηθήσεται.

ΕΙΣ γὰρ παραλλήλους τῇ θέσει δεδομένας εὐθείας τὰς AB, Γ Δ, ἀπὸ δεδομένου σημείου τοῦ E, εὐθεῖα γραμμὴ ἤχθω ἡ EZH· λέγω ὅτι λόγος ἐστὶ τῆς EZ πρὸς τὴν ZH δοθείς.

Ηχθω γὰρ ἀπὸ τοῦ E σημείου ἐπὶ τὴν Γ Δ κάθετος ἡ EKΘ. καὶ ἐπεὶ ἀπὸ δεδομένου σημείου τοῦ E ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν Γ Δ εὐθεῖα γραμμὴ ἦκται ἡ EΘ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ EΘH· θέσει ἄρα ἐστὶν ἡ EΘ. θέσει δὲ καὶ ἑκατέρα τῶν AB, Γ Δ· δοθὲν ἄρα ἐστὶν ἑκάτερον τῶν K, Θ σημείων. ἔστι δὲ καὶ τὸ E δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκατέρα τῶν EK, KΘ· λόγος ἄρα τῆς EK πρὸς τὴν KΘ δοθείς. καὶ ἔστιν ὡς ἡ EK πρὸς τὴν KΘ οὕτως ἡ EZ πρὸς τὴν ZH· λόγος ἄρα καὶ τῆς EZ πρὸς τὴν ZH δοθείς.

* ALITER.

In parallelas enim positione datas rectas AB, Γ Δ, per datum punctum E, agatur recta linea ZEH: dico ipsius HE ad EZ rationem datam esse.

Agatur enim [per 12. 1.] à puncto E in rectam Γ Δ perpendicularis EΘ, & producatur ad punctum K. quoniam igitur à puncto dato E ad positione datam rectam Γ Δ acta est EΘ, quæ facit angulum



* ΑΛΛΩΣ.

Εἰς γὰρ παραλλήλους τῇ θέσει δεδομένας τὰς AB, Γ Δ, ἀπὸ δεδομένου σημείου τοῦ E, εὐθεῖα γραμμὴ ἤχθω ἡ ZEH· λέγω ὅτι λόγος ἐστὶ τῆς HE πρὸς τὴν EZ δοθείς.

Ηχθω γὰρ ἀπὸ τοῦ E σημείου ἐπὶ τὴν Γ Δ κάθετος ἡ EΘ, ἐκβεβλήσθω ἐπὶ τὸ K. καὶ ἐπεὶ ἀπὸ δεδομένου σημείου τοῦ E ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν Γ Δ ἦκται ἡ EΘ, δεδομένην ποιοῦσα γωνίαν

* Est verius casus alter quam alia demonstratio.

τὴν

τὸ ὑπὸ ΕΘΗ· θέσει ἄρα ἐστὶν ἡ ΕΘ. θέσει δὲ καὶ ἑκατέρα τ ΑΒ, ΓΔ· ἑκάτερον ἄρα τ Κ, Θ σημείων δοθέν ἐστιν. ἔστι καὶ τὸ Ε δοθέν· δοθεῖσα ἄρα ἑκατέρα τ ΘΕ, ΕΚ· λόγος ἄρα τ ΘΕ πρὸς τὴν ΕΚ δοθείς. ὡς δὲ ἡ ΘΕ πρὸς τὴν ΕΚ ὅλη ἡ ΗΕ πρὸς τὴν ΕΖ· λόγος ἄρα καὶ τ ΗΕ πρὸς τὴν ΕΖ δοθείς.

ΕΘΗ datum; data erit positione [per 30. dat.] ipsa ΕΘ. est autem [ex hyp.] utraque rectarum ΑΒ, ΓΔ positione data: quare [per 25. dat.] utrumque punctorum Κ, Θ datum est. datum autem est [ex hyp.] punctum Ε: ergo [per 26. dat.] utraque rectarum ΘΕ, ΕΚ data est: ideoque [per 1. dat.] ipsius ΘΕ ad ΕΚ ratio est data. verum ut ΘΕ ad ΕΚ ita [per 4. 6.] ΗΕ ad ΕΖ: itaque [per 2. def. dat.] ratio ipsius ΗΕ ad ΕΖ data est.

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν ἀπὸ δεδομένου σημείου ἐπὶ θέσει δεδομένην εὐθεῖαν εὐθεῖα γραμμὴ ἀχθῇ, καὶ τμηθῇ εἰς δεδομένον λόγον, διὰ δὲ τομῆς παρὰ τὴν θέσει δεδομένην εὐθεῖαν εὐθεῖα γραμμὴ ἀχθῇ· δέδοται ἡ ἀχθεῖσα τῇ θέσει.

PROP. XXXV.

Si à dato puncto in datam positione rectam ducatur recta linea, secetur-que in data ratione, per punctum vero sectionis contra datam positione rectam agatur recta linea; acta recta positione data est.

Ἀπὸ γὰρ δεδομένου σημείου τοῦ Α ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΒΓ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΑΔ, καὶ τετμήσθω εἰς δεδομένον λόγον, τὸν τῆς ΔΕ πρὸς ΕΑ, καὶ ἤχθω διὰ τοῦ Ε τῇ ΒΓ παράλληλος ἡ ΖΕΗ· λέγω ὅτι θέσει ἐστὶν ἡ ΖΕΗ.

Ἠχθω γὰρ ἀπὸ τοῦ Α ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΘ. καὶ ἐπεὶ ἀπὸ δεδομένου σημείου τοῦ Α ἐπὶ τὴν θέσει δεδομένην εὐθεῖαν τὴν ΒΓ εὐθεῖα γραμμὴ ἦκται ἡ ΑΘ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΑΘΔ· θέσει ἄρα ἐστὶν ἡ ΑΘ. θέσει δὲ καὶ ἡ ΒΓ· δοθὲν ἄρα τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ Α δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΑΘ τῇ θέσει καὶ τῷ μεγέθει· καὶ ἐπεὶ ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΑΚ πρὸς τὴν ΚΘ, καὶ ἔστι λόγος τῆς ΑΕ πρὸς τὴν ΕΔ δοθείς· λόγος ἄρα τῆς ΑΚ πρὸς τὴν ΚΘ δοθείς· συνθέντι ἄρα λόγος τῆς ΑΘ πρὸς τὴν ΑΚ δοθείς. δοθεῖσα δὲ ἡ ΑΘ τῷ μεγέθει· δοθεῖσα ἄρα καὶ ἡ ΑΚ τῷ μεγέθει. ἀλλὰ καὶ τῇ θέσει, ἧς δοθὲν τὸ Α· δοθὲν ἄρα καὶ τὸ Κ. ἐπεὶ οὖν διὰ δεδομένου σημείου τοῦ Κ, παρὰ θέσει δεδομένην εὐθεῖαν τὴν ΒΓ εὐθεῖα γραμμὴ ἦκται ἡ ΖΗ· θέσει ἄρα ἐστὶν ὁ ΖΗ·



Dato enim puncto Α in positione datam rectam ΒΓ agatur recta linea ΑΔ, & secetur in data ratione, scilicet ipsius ΔΕ ad ΕΑ, & agatur per punctum Ε ipsi ΒΓ parallela ΖΕΗ: dico positione datam esse ΖΕΗ.

Ducatur enim à puncto Α ad rectam ΒΓ perpendicularis ΑΘ. quoniam ergo à dato puncto Α in datam positione rectam ΒΓ acta est recta linea ΑΘ, quæ facit angulum ΑΘΔ datum: [per 30. dat.] positione data erit ipsa ΑΘ. est autem [ex hyp.] ΒΓ positione data: itaque [per 25. dat.] datum est punctum Θ. at vero [ex hyp.] punctum Α datum est: ergo [per 26. dat.] recta ΑΘ positione & magnitudine data est. quoniam vero est [per 2. 6.] ut ΑΕ ad ΕΔ ita ΑΚ ad ΚΘ; atq; data est [ex hyp.] ratio ipsius ΑΕ ad ΕΔ: igitur [per 2. def. dat.] ratio ipsius ΑΚ ad ΚΘ data est: ideoq; componendo [per 6. dat.] ipsius ΑΘ ad ΑΚ data est ratio. data autem est Α magnitudine: quare [per 2. dat.] ΑΚ magnitudine data est. sed positione quoque data est ΑΚ; atque datum est [ex hyp.] punctum Α: itaque [per 27. dat.] datum est punctum Κ. quoniam igitur per datum punctum Κ, contra datam positione rectam ΒΓ, recta linea ΖΗ acta est: igitur [per 28. dat.] recta ΖΗ positione data erit.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Ἐὰν ἀπὸ δεδομένου σημείου ἐπὶ θέσει δεδομένην εὐθεῖαν εὐθεῖα γραμμὴ ἀχθῇ, καὶ προσκεῖταί τις αὐτῇ εὐθεῖα, λόγον ἔχουσα πρὸς αὐτὴν δεδομένον, διὰ δὲ τοῦ πέρατος ἡ προσκειμένη παρὰ τὴν θέσει δεδομένην εὐθεῖαν εὐ-

PROP. XXXVI.

Si à dato puncto in datam positione rectam lineam ducatur recta linea, atque adjiciatur ipsi aliqua recta, quæ ad illam habeat rationem datam; per extremum vero adjectæ lineæ contra datam positione rectam linea re-

cta agatur: acta recta positione data est.

ADato enim puncto A ad positione datam rectam BΓ ducatur recta AΔ: atque adjiciatur ipsi AΔ recta AE, quæ ad AΔ rationem datam habeat; per punctum vero E ipsi BΓ agatur parallela ZK: dico ZK esse positione datam.

Agatur enim à puncto A ad BΓ perpendicularis AΘ, & producatur ad punctum H. quoniam igitur à dato puncto A ad datam positione rectam BΓ acta est recta linea AΘ, quæ facit angulum AΘΓ datum; ΘAH [per 30.dat.] positione data est. est autem [ex hyp.] BΓ positione data: quare [per 25. dat.] datum est punctum Θ. sed & [ex hyp.] punctum A datum est: itaque [per 26. dat.] data est recta AΘ. & quoniam [ex hyp.] ratio ipsius AB ad AΔ data est, & est per 4. 6.] ut AH ad AΘ ita EA ad ΔA. ratio ipsius AH ad AΘ [per 2.def. dat.] data erit. data autem est ΘA: quare [per 2.dat.] & AH magnitudine data est. sed & etiam positione data est AH; atque datum est punctum A: ergo [per 27. dat.] punctum H datum est. quoniam itaque per datum punctum H, contra datum positione rectam BΓ acta est recta linea ZHK: ipsa ZHK [per 28. dat.] positione data est.



θεῖα γραμμὴ ἀχθῇ· δέδοται ἡ ἀχθεῖσα τῇ θέσει.

ΑΠΟ γὰρ δεδομένου σημείου τοῦ Α ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΒΓ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΑΔ, καὶ προσκείσθω τῇ ΑΔ ἡ ΑΕ λόγον ἔχουσα πρὸς τὴν ΑΔ δεδομένον, διὰ δὲ τοῦ Ε τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΖΚ· λέγω ὅτι θέσει ἐστὶν ἡ ΖΚ.

Ηχθω γὰρ ἀπὸ τοῦ Α ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΘ, καὶ διήχθω ἐπὶ τὸ Η. καὶ ἐπεὶ ἀπὸ δεδομένου σημείου τοῦ Α ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΒΓ εὐθεῖα γραμμὴ ἦκται ἡ ΑΘ δεδομένην, ποιοῦσα γωνίαν τὴν ὑπὸ ΑΘΓ· θέσει ἄρα ἐστὶν ἡ ΘΑΗ. θέσει δὲ καὶ ἡ ΒΓ· δοθὲν ἄρα ἐστὶ τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ Α δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΑΘ. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς ΑΕ πρὸς τὴν ΑΔ δοθείς, ὡς δὲ ἡ ΑΗ πρὸς τὴν ΑΘ ἕτως ἡ ΕΑ πρὸς τὴν ΔΑ· λόγος ἄρα καὶ τῆς ΑΗ πρὸς τὴν ΑΘ δοθείς. δοθεῖσα δὲ ἡ ΘΑ· δοθεῖσα ἄρα καὶ ἡ ΑΗ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι δοθὲν τὸ Α· δοθὲν ἄρα καὶ τὸ Η. ἐπὶ δὲ δεδομένου σημείου τοῦ Η παρὰ θέσει δεδομένην εὐθεῖαν τὴν ΒΓ εὐθεῖα γραμμὴ ἦκται ἡ ΖΗΚ· θέσει ἄρα ἐστὶν ἡ ΖΗΚ.

PROP. XXXVII.

Si in parallelas rectas positione datas ducatur recta linea, secteturque in ratione data; per sectionis autem punctum contra datas positione rectas agatur linea recta acta recta positione data est.

IN parallelas enim positione datas rectas AB, ΓΔ agatur recta linea EZ, & secetur in data ratione ipsius ZH ad HE; & ducatur per punctum H utrilibet rectarum AB, ΓΔ parallela ΘK: dico positione datam esse ΘK.

Sumatur enim in recta AB datum punctum Λ, & deducatur à puncto Λ in rectam ΓΔ perpendicularis ΛN. quoniam itaque à dato puncto Λ, ad datam positione rectam ΓΔ, acta est recta linea ΛN, quæ facit angulum datum ΛNΔ: ipsa ΛN [per 30. dat.] positione data est. est autem [ex hyp.] ΓΔ positione data: ergo [per 25. dat.] datum est punctum N. sed & datum est punctum Λ: quare [per 26.dat.] data est recta ΛN. quoniam vero [ex hyp.] ratio ipsius ZH ad HE data est, atque est [per 2.6.] ut ZH ad HE ita NM ad



ΠΡΟΤΑΣΙΣ λζ'.

Ἐὰν εἰς παραλλήλους τῇ θέσει δεδομένας εὐθείας εὐθεῖα γραμμὴ ἀχθῇ, καὶ τμηθῇ εἰς δεδομένον λόγον, διὰ δὲ τοῦ τομῆς παρά τινα τῶν τῇ θέσει δεδομένας εὐθείας εὐθεῖα ἀχθῇ· δέδοται ἡ ἀχθεῖσα τῇ θέσει.

ΕΙΣ γὰρ παραλλήλους τῇ θέσει δεδομένας εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΕΖ, καὶ τετμήσθω εἰς δεδομένον λόγον τὸν ΖΗ πρὸς τὴν ΗΕ, καὶ διήχθω διὰ τοῦ Η ὁποτέρα τῶν ΑΒ, ΓΔ παράλληλος ἡ ΘΚ· λέγω ὅτι θέσει ἐστὶν ἡ ΘΚ.

Εἰλήφθω γὰρ ἐπὶ τῆς ΑΒ δοθὲν σημεῖον τὸ Λ, καὶ κατήχθω ἀπὸ τοῦ Λ ἐπὶ τὴν ΓΔ κάθετος ἡ ΛΝ. ἐπεὶ οὖν ἀπὸ δεδομένου σημείου τοῦ Λ ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΓΔ, εὐθεῖα γραμμὴ ἦκται ἡ ΛΝ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΛΝΔ· θέσει ἄρα ἐστὶν ἡ ΛΝ. θέσει δὲ καὶ ἡ ΓΔ· δοθὲν ἄρα τὸ Ν σημεῖον. ἔστι δὲ καὶ τὸ Λ δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΛΝ. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς ΖΗ πρὸς τὴν ΗΕ δοθείς, ὡς δὲ ἡ ΖΗ πρὸς τὴν ΗΕ ἕτως ἡ ΝΜ πρὸς τὴν

ΜΛ·

ΜΛ· λόγος ἄρα καὶ τῆς ΝΜ πρὸς τὸ ΜΛ δοθείς. ὥστε καὶ τῆς ΝΛ πρὸς τὸ ΛΜ λόγος ἐστὶ δοθείς. δοθεῖσα δὲ ἡ ΝΛ· δοθεῖσα ἄρα καὶ ἡ ΛΜ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι δεδομένον τὸ Λ· δοθὲν ἄρα καὶ τὸ Μ. ἐπεὶ οὖν ἀπὸ δεδομένου σημείου τοῦ Μ παρὰ θέσει δεδομένην εὐθεῖαν τὴν ΓΔ εὐθεῖα γραμμὴ ἦκται ἡ ΘΚ· θέσει ἄρα ἐστὶν ἡ ΘΚ.

ΠΡΟΤΑΣΙΣ λη'.

Ἐὰν εἰς δύο εὐθείας δεδομένας εὐθείας εὐθεῖα γραμμὴ ἀχθῇ, καὶ προσκείσθω τις αὐτῇ εὐθεῖα λόγον ἔχουσα πρὸς αὐτὴν δεδομένον, ἀπὸ δὲ τοῦ πέρατος ἡ προσκειμένη παρὰ τὰς θέσει δεδομένας παράλληλος εὐθεῖα γραμμὴ ἀχθῇ· δοθεῖσα ἡ ἀχθεῖσα τῇ θέσει.

ΕΙΣ γὰρ δύο παραλλήλους τῇ θέσει δεδομένας εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΕΖ, καὶ προσκείσθω τις αὐτῇ εὐθεῖα ἡ ΕΗ λόγον ἔχουσα πρὸς τὴν ΕΖ δεδομένον, ἀπὸ δὲ τοῦ Η ὁποτερασοῦν τῶν ΑΒ, ΓΔ εὐθειῶν εὐθεῖα γραμμὴ παράλληλος ἤχθω ἡ ΘΚ· λέγω ὅτι θέσει ἐστὶν ἡ ΘΚ.

Εἰλήφθω γὰρ ἐπὶ τῆς ΑΒ δοθὲν σημεῖον τὸ Μ, καὶ ἤχθω ἀπὸ τοῦ Μ ἐπὶ τὴν ΓΔ κάθετος εὐθεῖα γραμμὴ ἡ ΜΝ, καὶ διήχθω ἐπὶ τὸ Λ. ἐπεὶ οὖν ἀπὸ δεδομένου τοῦ Μ, ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΓΔ, εὐθεῖα γραμμὴ ἦκται ἡ ΜΝ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΜΝΔ· θέσει ἄρα ἐστὶν ἡ ΜΝ. θέσει δὲ καὶ ἡ ΓΔ· δοθὲν ἄρα ἐστὶ τὸ Ν σημεῖον. ἔστι δὲ καὶ τὸ Μ δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΜΝ. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς ΖΕ πρὸς τὴν ΕΗ δοθείς, ὡς δὲ ἡ ΖΕ πρὸς τὴν ΕΗ οὕτως ἡ ΝΜ πρὸς τὴν ΜΛ· λόγος ἄρα καὶ τῆς ΝΜ πρὸς τὴν ΜΛ δοθείς. δοθεῖσα δὲ ἡ ΜΝ· δοθεῖσα ἄρα καὶ ἡ ΜΛ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι τὸ Μ δοθέν· δοθὲν ἄρα καὶ τὸ Λ. ἐπεὶ οὖν ἀπὸ δεδομένου σημείου τοῦ Λ παρὰ θέσει δεδομένην εὐθεῖαν τὴν ΑΒ εὐθεῖα γραμμὴ ἦκται ἡ ΘΚ· θέσει ἄρα ἐστὶν ἡ ΘΚ.

PROP. XXXVIII.

Si in datas positione parallelas rectas ducatur recta linea, adjiciaturque ei quædam recta habens ad ipsam rationem datam; per extremum vero adjectæ contra datas positione parallelas recta linea agatur: acta recta positione data est.

IN parallelas enim positione datas rectas AB, ΓΔ agatur recta linea EZ, & adjiciatur ipsi quæpiam recta EH, quæ ad EZ habeat rationem datam; per punctum autem H utrilibet rectarum AB, ΓΔ agatur parallela recta linea ΘK: dico quod ΘK positione data est.



Sumatur enim in recta AB datum punctum M, & [per 12. 1.] ducatur à puncto M in lineam ΓΔ perpendicularis recta MN, & producatur ad punctum Λ. quoniam igitur à dato puncto M, in positione datam rectam ΓΔ, acta est recta linea MN, quæ facit angulum MNΔ datum: recta MN [per 28. dat.] positione data est. sed & ΓΔ [ex hyp.] positione data est: ergo [per 25. dat.] datum est punctum N. est autem & punctum M datum: quare [per 26. dat.] data est MN. quoniam vero ratio ZE ad EH [ex hyp.] data est; atque est [per 2. 6.] ut ZE ad EH ita NM ad MΛ: ratio quoque NM ad MΛ [per 2. def. dat.] data est. data autem est MN: quare [per 2. dat.] MΛ data est. sed & positione data est MΛ, atque etiam datum est punctum M: ergo [per 26. dat.] & punctum Λ datum est. quoniam igitur [ex hyp.] per datum punctum Λ contra datam positione rectam AB acta est recta linea ΘK: ipsa ΘK [per 28. dat.] positione data erit.

ΠΡΟΤΑΣΙΣ λθ'.

Ἐὰν τριγώνου ἑκάστη τῶν πλευρῶν δεδομένη ᾖ τῷ μεγέθει, δέδοται τὸ τρίγωνον τῷ εἴδει.

ΤΡΙΓΩΝΟΥ γὰρ τοῦ ΑΒΓ ἑκάστη τῶν πλευρῶν δεδομένη ἔστω τῷ μεγέθει· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

Ἐκκείσθω γάρ τις εὐθεῖα τῇ θέσει δεδομένη ἡ ΔΗ, πεπερατωμένη μὲν κατὰ τὸ Δ, ἀπειρος δὲ κατὰ

PROP. XXXIX.

Si trianguli singula latera magnitudine data sint; triangulum specie datum est.

TRianguli enim ABΓ singula latera magnitudine data sint: dico triangulum ABΓ specie datum esse.

Exponatur enim recta positione data ΔH, finita quidem ad punctum Δ, infinita vero versus alte-

alteram partem; in ea autem ponatur [per 3.1.] ipſi AB æqualis Δ E. eſt autem AB data; ergo data eſt Δ E. ſed & Δ E [ex hyp.] poſitione data eſt; atque datum eſt punctum Δ: igitur [per 27. dat.] punctum E datum eſt. ponatur vero ipſi BΓ æqualis EZ. eſt autem BΓ data; ergo data eſt EZ. ſed & EZ poſitione data eſt; atque datum eſt punctum E: quare punctum Z datum eſt. rurſus, ponatur ipſi AΓ æqualis ZH. eſt autem AΓ data: ergo & ZH data eſt. ſed & poſitione eſt ZH; atque datum eſt punctum Z: quare & punctum H datum eſt. dein centro quidem E, intervallo autem EΔ, circulus deſcribatur ΔΚΘ: itaque [per 6. def. dat.] poſitione datus eſt circulus ΔΚΘ. rurſus, centro quidem Z, intervallo autem ZH, circulus deſcribatur HΚΛ: itaque poſitione datus eſt circulus HΚΛ: quare [per 25.dat.] punctum Κ datum eſt. eſt autem utrumque punctorum E, Z datum: ergo [per 26. dat.] unaquæque linearum ΚE, EZ, ZΚ poſitione & magnitudine data eſt: igitur [per 3. def. dat.] triangulum ΚEZ ſpecie datum eſt. atque [per 8. 1.] æquale eſt ac ſimile triangulo ABΓ: ergo triangulum ABΓ ſpecie datum eſt.



τὸ λοιπόν· καὶ κείσθω τῇ μὲν ΑΒ ἴση ἡ ΔΕ. δοθεῖσα δὲ ἡ ΑΒ· δοθεῖσα ἄρα ἡ ΔΕ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι δοθὲν τὸ Δ· δοθὲν ἄρα καὶ τὸ Ε. τῇ δὲ ΒΓ κείσθω ἴση ἡ ΕΖ. δοθεῖσα δὲ ἡ ΒΓ· δοθεῖσα ἄρα καὶ ἡ ΕΖ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι δοθὲν τὸ Ε· δοθὲν ἄρα καὶ τὸ Ζ. πάλιν, κείσθω τῇ ΑΓ ἴση ἡ ΖΗ. δοθεῖσα δὲ ἡ ΑΓ· δοθεῖσα ἄρα καὶ ἡ ΖΗ. ἀλλὰ καὶ τῇ θέσει, καὶ δοθὲν ἐστι τὸ Ζ· δοθὲν ἄρα καὶ τὸ Η. καὶ κέντρῳ μὲν τῷ Ε, διαστήματι δὲ τῷ ΕΔ, γεγράφθω κύκλος ὁ ΔΚΘ· θέσει ἄρα ἐστὶ ὁ ΔΚΘ κύκλος. πάλιν, τῷ μὲν κέντρῳ Ζ, διαστήματι δὲ τῷ ΖΗ, γεγράφθω ΗΚΛ κύκλος· θέσει ἄρα ἐστὶν ὁ ΗΚΛ κύκλος· δοθὲν ἄρα ἐστὶ τὸ Κ σημεῖον. ἔστι δὲ καὶ ἑκάτερον τῶν Ε, Ζ δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκάστη τῶν ΚΕ, ΕΖ, ΖΚ τῇ θέσει καὶ τῷ μεγέθει· δίδοται ἄρα τὸ ΚΕΖ τρίγωνον τῷ εἴδει. καὶ ἔστω ἴσον τε καὶ ὅμοιον τῷ ΑΒΓ· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

PROP. XL.

Si trianguli ſinguli anguli magnitudine dati ſint; triangulum ipſum ſpecie datum eſt.

TRianguli enim ABΓ unuſquiſque angulorum magnitudine datus ſit: dico triangulum ABΓ ſpecie datum eſſe.

Exponatur enim poſitione & magnitudine data recta Δ E, & [per 23. 1.] ad rectam Δ E, & ad puncta Δ, E in ipſa, angulo quidem ABΓ æqualis conſtituatur angulus rectilineus ZΔE; angulo autem AΓB æqualis ZEΔ: itaque [per 32. 1.] reliquus angulus BAΓ reliquo ΔZE æqualis eſt. unuſquiſque autem eorum, qui ad A, B, Γ puncta ſunt, angulorum datus eſt: quare & unuſquiſque angulorum ad Z, Δ, E datus erit. quoniam itaque ad poſitione datam rectam lineam Δ B, & ad datum in ea punctum Δ acta eſt recta linea ΔZ, faciens angulum datum ad punctum Δ, ipſa ΔZ [per 29.dat.] poſitione data erit. ſimili-





ΠΡΟΤΑΣΙΣ μ'.

Ἐὰν τριγώνου ἑκάστη τῶν γωνιῶν δεδομένη ᾖ τῷ μεγέθει, δέδοται τὸ τρίγωνον τῷ εἴδει.

ΤΡιγώνου γὰρ ΑΒΓ ἑκάστη τῶν γωνιῶν δεδομένη ἔστω τῷ μεγέθει· λέγω ὅτι τὸ τρίγωνον ΑΒΓ δέδοται τῷ εἴδει.

Ἐκκείσθω γὰρ τῇ θέσει καὶ τὸ μεγέθει δεδομένη εὐθεῖα ἡ ΔΕ, καὶ συνεστάτω πρὸς τῇ ΔΕ, καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Δ, Ε, τῇ μὲν ὑπὸ ΑΒΓ γωνίᾳ ἴση γωνία εὐθύγραμμος ἡ ὑπὸ ΖΔΕ, τῇ δὲ ὑπὸ ΑΓΒ ἴση ἡ ὑπὸ ΖΕΔ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΑΓ λοιπῇ τῇ ὑπὸ ΔΖΕ ἴση ἐστί. δοθεῖσαι δὲ ἑκάστη τῶν πρὸς τοῖς Α, Β, Γ, σημείοις γωνιῶν· δοθεῖσα ἄρα καὶ ἑκάστη τῶν πρὸς τοῖς Ζ, Δ, Ε. ἐπεὶ οὖν πρὸς θέσει δεδομένῃ εὐθείᾳ τῇ ΔΕ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ δεδομένῳ τῷ Δ, εὐθεῖα γραμμὴ ἦκται ἡ ΔΖ, δεδομένην περιέχουσα γωνίαν τὴν πρὸς τῷ Δ· θέσει ἄρα ἐστὶν ἡ ΔΖ. διὰ τὰ

τὰ αὐτὰ δὴ καὶ ἡ ΕΖ θέσει ἐστίν· δοθὲν ἄρα ἐστὶ τὸ Ζ σημεῖον. ἔστι δὲ ἑκάτερον τῶν Δ, Ε δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκάστη τῶν ΔΕ, ΔΖ, ΕΖ τῇ θέσει καὶ τῷ μεγέθει· δέδοται ἄρα τὸ ΔΖΕ τρίγωνον τῷ εἴδει, καὶ ἔστιν ὅμοιον τῷ ΑΒΓ τριγώνῳ· δέδοται ἄρα καὶ τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

ter quoque positione data est & ΕΖ: quare [per 25. dat.] punctum Ζ positione datum est. datum autem est utrumque punctorum Δ, Ε: unaquæque igitur linearum ΔΕ, ΔΖ, ΕΖ [per 26. dat.] positione & magnitudine data est: itaque [per 39. dat.] triangulum ΔΖΕ specie datum est; atque [per 4. 6.] simile est triangulo ΑΒΓ: triangulum igitur ΑΒΓ specie datum est.

ΠΡΟΤΑΣΙΣ μα'.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνιῶν δεδομένην, περὶ δὲ τὴν δεδομένην γωνίαν δύο πλευραὶ πρὸς ἀλλήλας λόγον ἔχωσιν δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

PROP. XLI.

Si triangulum unum angulum datum habeat, circa datum autem angulum duo latera ad invicem habeant rationem datam; triangulum ipsum specie datum est.

Ἐχέτω γὰρ τρίγωνον τὸ ΑΒΓ μίαν γωνιῶν δεδομένην τὴν ὑπὸ ΒΑΓ, περὶ δὲ τὴν ὑπὸ ΒΑΓ αἱ πλευραὶ αἱ ΒΑ, ΑΓ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

Habeat enim triangulum ΑΒΓ unum angulum datum, nempe ΒΑΓ; circa datum autem angulum ΒΑΓ latera ΒΑ, ΑΓ ad invicem rationem datam habeant: dico triangulum ΑΒΓ specie datum esse.

Ἐκκείσθω γὰρ τῇ θέσει καὶ τῷ μεγέθει δεδομένη εὐθεῖα ἡ ΔΖ, καὶ συνεστάτω πρὸς τῇ ΔΖ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ζ, τῇ ὑπὸ τῶν ΒΑΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΔΖΕ. δοθεῖσα δὲ ἡ ὑπὸ ΒΑΓ· δοθεῖσα ἄρα καὶ ἡ ὑπὸ ΔΖΕ. ἐπεὶ οὖν πρὸς θέσει δεδομένην εὐθείᾳ τῇ ΔΖ, καὶ τῷ πρὸς αὐτῇ δεδομένῳ σημείῳ τῷ Ζ, εὐθεῖα γραμμὴ ἦκται ἡ ΖΕ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΔΖΕ· θέσει ἄρα ἐστὶν ἡ ΖΕ. καὶ ἐπεὶ λόγος ἐστὶ τοῦ ΒΑ πρὸς τὴν ΑΓ δοθείς, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς ΔΖ πρὸς τὴν ΖΕ· καὶ ἐπεζεύχθω ἡ ΔΕ· λόγος ἄρα καὶ τοῦ ΔΖ πρὸς τὴν ΖΕ δοθείς. δοθεῖσα δὲ ἡ ΔΖ· δοθεῖσα ἄρα καὶ ἡ ΖΕ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι τὸ Ζ δοθέν· δοθὲν ἄρα τὸ Ε. ἔστι δὲ καὶ ἑκάτερον τῶν Δ, Ζ δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκάστη τῶν ΔΖ, ΖΕ, ΔΕ τῇ θέσει καὶ τῷ μεγέθει· δέδοται ἄρα τὸ ΔΖΕ τρίγωνον τῷ εἴδει. καὶ ἐπεὶ δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχει, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΔΖΕ, περὶ δὲ τὰς ὑπὸ τῶν ΒΑΓ, ΔΖΕ γωνίας τὰς πλευρὰς ἀνάλογον· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ. δέδοται δὲ τὸ ΔΕΖ τρίγωνον τῷ εἴδει· δέδοται ἄρα καὶ τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.



Exponatur enim positione & magnitudine data recta ΔΖ, & constituatur [per 23. 1.] ad rectam ΔΖ, & datum in ea punctum Ζ, angulo ΒΑΓ æqualis angulus ΔΖΕ. est autem angulus ΒΑΓ datus: quare & angulus ΔΖΕ datus est. quoniam igitur ad positione datam rectam ΔΖ, & datum in ea punctum Ζ, acta est recta linea ΖΕ, faciens angulum ΔΖΕ datum: positione data erit [per 29. dat.] recta ΖΕ. quoniam ergo [ex hyp.] ratio ipsius ΒΑ ad ΑΓ data est; fiat huic eadem ratio ipsius ΔΖ ad ΖΕ, & connectatur ΔΕ: itaque [per 2. def. dat.] ratio ΔΖ ad ΖΕ data est. data autem est ΔΖ: igitur [per 2. dat.] data est ΖΕ. sed & ipsa etiam positione data est; & datum est punctum Ζ: itaque [per 27. dat.] datum est punctum Ε. est autem utrumque punctorum Δ, Ζ datum: quare [per 26. dat.] data est unaquæque linearum ΔΖ, ΖΕ, ΔΕ positione & magnitudine: itaque [per 39. dat.] triangulum ΔΖΕ specie datum est. quoniam vero duo triangula ΑΒΓ, ΔΕΖ unum angulum uni angulo æqualem habent, scilicet angulum ΒΑΓ angulo ΔΖΕ, circa æquales autem angulos ΒΑΓ, ΔΖΕ latera proportionalia; triangulum ΑΒΓ [per 6. 6.] triangulo ΔΕΖ simile erit. triangulum autem ΔΕΖ specie datum est: triangulum igitur ΑΒΓ specie etiam datum est.

ΠΡΟΤΑΣΙΣ μβ'.

Ἐὰν τριγώνου αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον, δέδοται τὸ τρίγωνον τῷ εἴδει.

PROP. XLII.

Si trianguli latera ad invicem habeant rationem datam, triangulum specie datum est.

Τριγώνου γὰρ τοῦ ΑΒΓ αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

Trianguli enim ΑΒΓ latera ad invicem habeant rationem datam: dico triangulum ΑΒΓ specie datum esse.

Exponatur enim data magnitudine recta Δ. quoniam vero ratio ipſius AB ad BΓ data eſt, fiat huic eadem ratio ipſius Δ ad E. data autem eſt Δ: quare [per 2. dat.] & data eſt E. rurſus quoniam ratio ipſius BΓ ad AΓ data eſt; fiat huic eadem ratio ipſius E ad Z. eſt autem E data: itaque Z data eſt. deinde [per 22. 1.] ex tribus rectis, quæ tribus datis rectis Δ, E, Z æquales ſunt, quarum duæ reliqua majores ſint utcunque ſumptæ, conſtituatur triangulum HΘK; ita ut æqualis ſit recta Δ ipſi HΘ, recta autem E ipſi ΘK, & Z ipſi HK. eſt autem unaquæque linearum Δ, E, Z data; quare data eſt unaquæque linearum HΘ, ΘK, KH magnitudine: triangulum igitur HΘK [per 39. dat.] ſpecie datum eſt. quoniam autem eſt ut AB ad BΓ ita Δ ad E, atque eſt Δ æqualis rectæ HΘ, ipſa vero E rectæ ΘK; erit quoque [per 11. 5.] ut AB ad BΓ ita HΘ ad ΘK. rurſus quoniam eſt ut BΓ ad ΓA ita E ad Z, atque eſt E æqualis ipſi ΘK & Z ipſi KH; erit etiam ut BΓ ad ΓA ita ΘK ad KH. oſtenſum autem eſt ut AB ad BΓ ita eſſe HΘ ad ΘK: eſt igitur ex æquo [per 22. 5.] ut AB ad AΓ ita HΘ ad HK. eſt autem ut AΓ ad BΓ ita HK ad KΘ: itaque [per 5. 6.] triangulum ABΓ triangulo HΘK ſimile eſt. verum triangulum HΘK ſpecie datum eſt: quare & triangulum ABΓ ſpecie datum eſt.

Ἐκκείσθω γὰρ δεδομένη τῷ μεγέθει εὐθεῖα ἡ Δ. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς AB πρὸς τὴν BΓ δοθείς, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς Δ πρὸς τινὰ E. δοθεῖσα δὲ ἡ Δ· δοθεῖσα ἄρα καὶ ἡ E. πάλιν ἐπεὶ λόγος ἐστὶ τῆς BΓ πρὸς τινὰ AΓ δοθείς, αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς E πρὸς τινὰ Z. δοθεῖσα δὲ ἡ E· δοθεῖσα ἄρα καὶ ἡ Z. καὶ ὅτι τριῶν εὐθειῶν, αἱ εἰσιν ἴσαι τρισὶ τὰς δοθείσαις ταῖς Δ, E, Z, ὧν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, τρίγωνον συνίστασθαι τὸ HΘK, ὥστε ἴσην εἶναι τινὰ μὲν Δ τῇ HΘ, τὴν δὲ E τῇ ΘK, τινὰ δὲ Z τῇ HK. δοθεῖσα δὲ ἑκάστη τῶν Δ, E, Z· δοθεῖσα ἄρα καὶ ἑκάστη τῶν HΘ, ΘK, KH τῷ μεγέθει· δίδοται ἄρα τὸ HΘK τρίγωνον τῷ εἴδει. καὶ ἐπεὶ ἔστιν ὡς ἡ AB πρὸς τινὰ BΓ οὕτως ἡ Δ πρὸς τινὰ E, ἴση δὲ ἡ μὲν Δ τῇ HΘ, ἡ δὲ E τῇ ΘK· ἔστιν ἄρα ὡς ἡ AB πρὸς τινὰ BΓ οὕτως ἡ HΘ πρὸς τινὰ ΘK. πάλιν ἐπεὶ ἔστιν ὡς ἡ BΓ πρὸς τινὰ ΓA οὕτως ἡ E πρὸς τὴν Z, ἴση δὲ ἡ E τῇ ΘK, ἡ δὲ Z τῇ HK· ἔστιν ἄρα ὡς ἡ BΓ πρὸς τὴν ΓA οὕτως ἡ ΘK πρὸς τινὰ KH. ἐδείχθη δὲ καὶ ὡς ἡ AB πρὸς τινὰ BΓ οὕτως ἡ HΘ πρὸς τὴν ΘK· δι᾽ ἴσου ἄρα ὡς ἡ AB πρὸς τὴν AΓ οὕτως ἡ HΘ πρὸς τὴν HK. ἔστι δὲ καὶ ὡς ἡ AΓ πρὸς τὴν BΓ οὕτως ἡ HK πρὸς τὴν KΘ· ὅμοιον ἄρα ἐστὶ τὸ ABΓ τρίγωνον τῷ HΘK τριγώνῳ. δίδοται δὲ τὸ HΘK τρίγωνον τῷ εἴδει· δίδοται ἄρα καὶ τὸ ABΓ τρίγωνον τῷ εἴδει.



Prop. XLIII.

Si trianguli rectanguli latera, circa unum acutorum angulorum, ad invicem habeant rationem datam; triangulum ipſum ſpecie datum eſt.

TRianguli enim rectanguli ABΓ rectum habentis angulum BAΓ, latera ΓB, BA, circa unum acutorum angulorum ΓBA, habeant rationem datam: dico triangulum ABΓ ſpecie datum eſſe.

Exponatur enim poſitione & magnitudine data recta ΔE; ſuper ΔE vero deſcribatur ſemicirculus ΔHE: itaque [per 6. def. dat.] poſitione datus eſt ſemicirculus ΔHE. & quoniam ratio ipſius ΓB ad BA data eſt; fiat huic eadem ratio ipſius ΔE ad Z: quare ratio ipſius ΔE ad Z data eſt. data autem eſt ΔE: ergo

ΠΡΟΤΑΣΙΣ μγ'.

Ἐὰν τριγώνου ὀρθογωνίου περὶ μίαν τῶν ὀξειῶν γωνιῶν αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἔχωσι δεδομένον, δίδοται τὸ τρίγωνον τῷ εἴδει.

ΤΡιγώνου γὰρ ὀρθογωνίου τοῦ ABΓ ὀρθὴν ἔχοντος τὴν ὑπὸ BAΓ γωνίαν, περὶ μίαν τῶν ὀξειῶν αὐτοῦ γωνιῶν τὴν ὑπὸ ΓBA, αἱ πλευραὶ αἱ ΓB, BA πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι δέδοται τὸ ABΓ τρίγωνον τῷ εἴδει.

Ἐκκείσθω γὰρ τῇ θέσει καὶ τῷ μεγέθει δεδομένη εὐθεῖα ἡ ΔE, καὶ γεγράφθω ἐπὶ τῆς ΔE ἡμικύκλιον τὸ ΔHE· θέσει ἄρα ἐστὶ καὶ τὸ ΔHE ἡμικύκλιον. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς ΓB πρὸς τὴν BA δοθείς, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς ΔE πρὸς τὴν Z· λόγος ἄρα ἐστὶ τῆς ΔE πρὸς τὴν Z δοθείς. δοθεῖσα δὲ ἡ ΔE·

δοθεῖσα

δοθεῖσα ἄρα ἑκ ἡ Z. καὶ ἔστι μεῖζων ἡ ΓΒ τῆς ΒΑ· μείζων ἄρα καὶ ἡ ΕΔ τῆς Z. ἐνηρμόσθω τῷ Z ἴση ἡ ΔΗ, καὶ ἐπεζεύχθω ἡ ΗΕ, καὶ κέντρῳ μὲν τῷ Δ, διαστήματι δὲ τῷ ΔΗ, κύκλος γεγράφθω ὁ ΘΗΚ· θέσει ἄρα ἐστὶν ὁ ΘΗΚ κύκλος, δέδοται γὰρ ἀπὸ τοῦ κέντρου τῇ θέσει, ἑκ ἡ ἐκ τοῦ κέντρου τῷ μεγέθει. θέσει δὲ καὶ τὸ ΔΗΕ ἡμικύκλιον· δόθεν ἄρα ἐστὶ τὸ Η σημεῖον. ἔστι δὲ καὶ ἑκάτερον τῶν Δ, Ε δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκάστη τῶν ΗΔ, ΕΗ, ΕΔ τῇ θέσει καὶ τῷ μεγέθει· δέδοται ἄρα τὸ ΗΔΕ τρίγωνον τῷ εἴδει. ἐπεὶ οὖν δύο τρίγωνά ἐστι τὰ ΑΒΓ, ΔΕΗ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΔΗΕ, περὶ δὲ τὰς ἄλλας γωνίας τὰς ὑπὸ ΓΒΑ, ΕΔΗ τὰς πλευρὰς ἀνάλογον, τῶν δὲ λοιπῶν τῶν ὑπὸ ΒΓΑ, ΔΕΗ ἑκατέραν ἅμα ἐλάσσονα ἢ ὀρθήν· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τῷ ΔΕΗ. δέδοται δὲ τὸ ΔΕΗ τῷ εἴδει· δέδοται ἄρα καὶ τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.



[per 2. dat.] Z data eſt. & [per 19. 1.] major eſt ΓΒ ipſa ΒΑ: quare & major eſt ΕΔ ipſa Z. accommodetur [per 1. 4.] ipſi Z æqualis ΔΗ, & connectatur ΗΕ, dein centro quidem Δ, intervallo autem ΔΗ, circulus deſcribatur ΘΗΚ: itaque [per 6. def. dat.] poſitione datus eſt ſemicirculus ΘΗΚ; ipſius namque centrum datum eſt, & ea quæ ex centro eſt magnitudine. ſed & ſemicirculus ΔΗΕ poſitione datus eſt: ergo [per 25. dat.] punctum Η datum eſt. datum eſt autem utrumq; punctorum Δ, Ε: igitur [per 26. dat.] unaquæque linearum ΗΔ, ΕΗ, ΕΔ poſitione & magnitudine data eſt: quare [per 3. def. dat.] triangulum ΗΔΕ ſpecie datum eſt. quoniam itaque triangula ΑΒΓ, ΔΕΗ unum angulum uni angulo æqualem habent, angulum ſcilicet ΒΑΓ angulo ΔΗΕ, circa alios autem angulos ΓΒΑ, ΕΔΗ latera proportionalia, reliquorum autem ΒΓΑ, ΔΕΗ ſimul utrumque [ex hyp.] recto minorem; ΑΒΓ quidem [per 7. 6.] ipſi ΔΕΗ ſimile erit. triangulum autem ΔΕΗ [ex oſtenſis] ſpecie datum eſt: quare triangulum quoque ΑΒΓ ſpecie datum eſt.

ΠΡΟΤΑΣΙΣ μδ'.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνίαν δεδομένην, περὶ δὲ ἄλλην γωνίαν αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἔχωσι δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

PROP. XLIV.

Si triangulum angulum unum habeat datum; latera autem circa alium angulum habeant ad invicem rationem datam: triangulum ſpecie datum eſt.

Ἔστω τρίγωνον τὸ ΑΒΓ μίαν ἔχον γωνίαν δεδομένην τὴν ὑπὸ ΒΑΓ, περὶ δὲ ἄλλην γωνίαν τὴν ὑπὸ ΑΒΓ αἱ πλευραὶ ΑΒ, ΒΓ λόγον ἐχέτωσαν πρὸς ἀλλήλας δεδομένον· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

SIT triangulum ΑΒΓ, quod unum angulum habeat datum qui ſit ΒΑΓ; circa alium autem angulum ΑΒΓ latera ΑΒ, ΒΓ habeant rationem datam: dico triangulum ΑΒΓ ſpecie datum eſſe.

Μὴ ἔστω δὴ ἡ ὑπὸ ΒΑΓ ὀρθή, ἀλλὰ ἔστω πρότερον ὀξεῖα· καὶ ἤχθω ἀπὸ τοῦ Β σημείου ἐπὶ τὴν ΑΓ κάθετος ἡ ΒΔ. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΔΑ γωνία, ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΔ δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΒΔ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΒΑΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα καὶ τοῦ ΒΑ πρὸς τὴν ΒΔ δοθείς. ἀλλὰ τοῦ ΑΒ πρὸς τὴν ΒΓ λόγος ἔστι δοθείς· καὶ τοῦ ΒΔ ἄρα πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς. καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ ΒΔΓ γωνία· δέδοται ἄρα τὸ ΒΔΓ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΓΔ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΓ δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ τῶν ΑΒΓ ἐστὶ δο-

Non ſit autem angulus ΒΑΓ rectus; ſed primum acutus: & agatur à puncto Β in lineam ΑΓ perpendicularis ΒΔ. quoniam vero datus eſt angulus ΒΑΔ, eſtque [ex hyp.] angulus ΒΑΔ datus; ergo & [per 32. 1. & 4. dat.] reliquus ΑΒΔ datus eſt: itaque [per 40. dat.] triangulum ΒΑΔ ſpecie datum eſt: quare [per 3. def. dat.] ratio ipſius ΒΑ ad ΒΔ data eſt. ſed [ex hyp.] rectæ ΑΒ ad ΒΓ data eſt ratio: ergo [per 8 dat.] & ratio ipſius ΒΔ ad ΒΓ data eſt. rectus autem eſt [per conſtr.] angulus ΒΔΓ: quare [per 43. dat.] triangulum ΒΔΓ ſpecie datum eſt: datus igitur eſt angulus ΒΓΔ. eſt autem [ex hyp.] angulus ΒΑΓ datus: quare & [per 32. 1. & 4. dat.] reliquus angulus ΑΒΓ da-



tus est: triangulum igitur ABΓ [per 40. dat.] specie datum est.

Sed sit angulus BAΓ obtusus, & producatur ΓA ad punctum E, atque agatur à puncto B ad rectam AE perpendicularis BE. & quoniam angulus BAΓ datus est; etiam [per 13. 1. & 4. dat.] & qui deinceps est angulus BAE datus erit. est autem & angulus BEA datus: reliquus igitur EBA [per 32. 1. & 4. dat.] datus est: quare [per 40. dat.] triangulum EBA specie datum est: ergo [per 3. def. dat.] ratio ipsius EB ad BA data est. est autem [ex hyp.] ratio ipsius AB ad BΓ data: quare [per 8. dat.] & ratio ipsius EB ad BΓ data est. sed rectus est [per constr.] angulus BEΓ: ergo [per 43. dat.] triangulum EBΓ specie datum est: quare [per 3. def. dat.] datus est angulus BΓE. est autem [ex hyp.] angulus BAΓ datus: itaque reliquus angulus ABΓ datus est: triangulum igitur ABΓ [per 40. dat.] specie datum est.



PROP. XLV.

Si triangulum angulum unum habeat datum; circa datum autem angulum latera simul utraque, tanquam unum, ad reliquum latus habeant rationem datam: triangulum ipsum specie datum est.

SIT triangulum ABΓ quod unum angulum BAΓ habeat datum; circa angulum autem BAΓ latera, hoc est simul utraque BAΓ, tanquam unum, ad BΓ rationem habeant datam: dico triangulum ABΓ specie datum esse.

Secetur enim [per 9. 1.] angulus BAΓ bifariam recta AΔ: itaque [per 2. dat.] datus est angulus BAΔ. quoniam vero [per 3. 6.] ut BA ad AΓ ita BΔ ad ΔΓ; erit quoque permutando ut AB ad BΔ ita AΓ ad ΓΔ: adeoque [per 12. 5.] ut simul utraque BAΓ ad BΓ ita erit AB ad BΔ. data autem est [ex hyp.] ratio utriusque simul BAΓ ad BΓ: quare & ratio ipsius AB ad BΔ data est. & datus etiam est angulus BAΔ: quare [per 44. dat.] triangulum ABΔ specie datum est: angulus igitur ABΔ datus est. datus autem est [ex hyp.] angulus BAΓ. itaque [per 32. 1. & 4. dat.] reliquus angulus AΓB datus est: ergo [per 40. dat.] triangulum ABΓ specie datum est.



ΠΡΟΤΑΣΙΣ μέ.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνίαν δεδομένην, αἱ δὲ περὶ τὴν δεδομένην γωνίαν πλευραὶ συναμφότεραι, ὡς μία, πρὸς τὴν λοιπὴν λόγον ἔχωσι δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

Ἔστω τρίγωνον τὸ ΑΒΓ μίαν γωνίαν δεδομένην ἔχον τὴν ὑπὸ ΒΑΓ, περὶ δὲ τὴν ὑπὸ ΒΑΓ γωνίαν αἱ πλευραὶ, τουτέστι συναμφότερος ἡ ΒΑΓ, ὡς μία, πρὸς τὴν ΒΓ λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

Τετμήσθω γὰρ ἡ ὑπὸ ΒΑΓ γωνία δίχα τῇ ΑΔ εὐθείᾳ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΔ γωνία. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΓ· ἐναλλὰξ ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΔ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΔ· καὶ ὡς συναμφότερος ἄρα ἡ ΒΑΓ πρὸς τὴν ΒΓ οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΔ. λόγος δὲ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΒΓ δοθείς· λόγος ἄρα καὶ τῆς ΑΒ πρὸς τὴν ΒΔ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΒΑΔ γωνία· δέδοται ἄρα τὸ ΑΒΔ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΔ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΓ γωνία δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

* ΑΛΛΩΣ.

Ἐκβεβλήθω ἡ ΒΑ ἐπ' εὐθείας, καὶ τῇ ΑΓ κείσθω ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΓ. Καὶ ἐπεὶ λόγος ἐστὶ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΒΓ δοθείς, ἴση δὲ ἡ ΓΑ τῇ ΑΔ· λόγος ἄρα τῆς ΒΑΔ πρὸς τὴν ΒΓ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΑΔΓ, ἡμίσεια γάρ ἐστι τῆς ὑπὸ ΒΑΓ· δέδοται ἄρα τὸ ΒΔΓ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΓ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΓ γωνία δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.



* ALITER.

Producatur BA in directum, & [per 2.1.] ipsi AΓ ponatur æqualis AΔ, & connectatur ΔΓ. Quoniam vero ratio simul utriusque BAΓ ad BΓ data est, atque æqualis est ΓA ipsi ΔA: igitur ratio totius BAΔ ad BΓ data est. verum datus est angulus AΔΓ; dimidius namque est [per 5. & 32. 1.] ipsius BAΓ: igitur [per 44. dat.] triangulum BΔΓ specie datum est: ergo [per 3.def.dat.] angulus ABΓ datus est. angulus autem BAΓ etiam [ex hyp.] datus est: quare [per 32. 1. & 4. dat.] reliquus AΓB datus est. triangulum igitur ABΓ [per 40. dat.] specie datum est.

ΠΡΟΤΑΣΙΣ μς'.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνίαν δεδομένην, πρὸς δὲ ἄλλῃ γωνίᾳ αἱ πλευραὶ συναμφότεραι, ὡς μία, πρὸς τὴν λοιπὴν λόγον ἔχωσι δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

Ἔστω τρίγωνον τὸ ΑΒΓ μίαν ἔχον γωνίαν δεδομένην τὴν ὑπὸ ΑΒΓ, πρὸς δὲ ἄλλῃ γωνίᾳ τὴν ὑπὸ ΒΑΓ αἱ πλευραὶ συναμφότεραι, ὡς μία, τυτέστιν ἡ ΒΑΓ, πρὸς τὴν ΒΓ λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

Τετμήσθω γὰρ ἡ ὑπὸ ΒΑΓ γωνία δίχα τῇ ΑΔ εὐθείᾳ· ἔστιν ἄρα ὡς συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΒΓ οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΔ. λόγος δὲ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΒΓ δοθείς· λόγος ἄρα καὶ τῆς ΑΒ πρὸς τὴν ΒΔ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΑΒΔ γωνία· δέδοται ἄρα τὸ ΑΒΔ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΔ γωνία. καὶ ἔστιν αὐτῆς διπλασίων ἡ ὑπὸ ΒΑΓ· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΒΑΓ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΒΓ δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.



PROP. XLVI.

Si triangulum unum angulum habeat datum; circa alium autem angulum simul utraque latera, tanquam unum, habeant ad reliquum rationem datam: triangulum ipsum specie datum est.

SIT triangulum ABΓ, quod unum angulum ABΓ datum habeat, circa alium autem angulum BAΓ simul utraque latera, tanquam unum (hoc est BAΓ) ad BΓ datam rationem habeant: dico triangulum ABΓ specie datum esse.

Secetur enim [per 9. 1.] angulus BAΓ bifariam recta AΔ: itaque [per ostensa in præc.] erit ut simul utraque BAΓ ad BΓ ita AB ad BΔ. est autem ratio simul utriusque BAΓ ad BΓ [ex hyp.] data; ergo & ratio ipsius AB ad BΔ data est. datus autem [ex hyp.] est angulus ABΔ: ergo [per 41.dat.] triangulum ABΔ specie datum est: quare [per 3.def.dat.] angulus BAΔ datus est. ipsius autem duplus est [per constr.] angulus BAΓ: igitur [per 2. dat.] angulus BAΓ datus est. est autem [ex hyp.] & angulus ABΓ datus: quare & [per 32. 1. & 4.dat.] angulus AΓB datus est: triangulum igitur ABΓ [per 40.dat.] specie datum est.

ALITER.

Producatur BA in directum, & ponatur ipsi ΓA æqualis ΔA, & connectatur recta ΔΓ. quoniam vero [ex hyp.] data est ratio simul utriusque BAΓ ad BΓ; estque [ex constr.] ΓA æqualis ipsi AΔ: igitur ratio ipsius ΔB ad BΓ data est. datus autem est [ex hyp.] angulus ABΓ: quare [per 41. dat.] triangulum ΔBΓ specie datum est; ergo datus est [per 3. def. dat.] angulus BΔΓ. estque hujus duplus [per 5. & 32. 1.] angulus BAΓ:



* Hæc demonstratio non reperitur in Cod. MS. Saviliano.

BAΓ: angulus igitur BAΓ datus eſt: quare & reliquus AΓB datus eſt: & igitur [per 40.dat.] triangulum ABΓ ſpecie datum eſt.

ἡ ἄρα ὑπὸ ΒΑΓ γωνία δοθεῖσά ἐστι· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

PROP. XLVII.

Rectilinea ſpecie data in data ſpecie triangula dividuntur.

SIT datum ſpecie rectilineum ABΓΔE: dico rectilineum ABΓΔE in data ſpecie triangula dividi.

Connectantur enim rectæ BE, EΓ. quoniam vero rectilineum ABΓΔE ſpecie datum eſt; igitur [per 3. def.dat.] angulus BAE datus eſt, & etiam ratio lateris BA ad EA data. quoniam itaque angulus BAE datus eſt, atque ratio ipſius BA ad AE data: triangulum BAE [per 41. dat.] ſpecie datum eſt: quare [per 3. def. dat.] angulus ABE datus eſt. totus autem angulus ABΓ [per 3.def.dat.] datus eſt: ergo [per 4. dat.] & reliquus EBΓ datus eſt. ipſius autem AB ad BE, necnon ipſius AB ad BΓ data eſt ratio: ergo [per 8. dat.] ratio quoque lateris BΓ ad BE data eſt. ſed & datus eſt angulus ΓBE: triangulum igitur BΓE [per 41. dat.] ſpecie datum eſt. ſimili vero ratione & triangulum ΓΔE ſpecie datum eſt. rectilinea igitur ſpecie data in data ſpecie triangula dividuntur.



ΠΡΟΤΑΣΙΣ μζ'.

Τὰ δεδομένα εὐθύγραμμα τῷ εἴδει εἰς δεδομένα τρίγωνα τῷ εἴδει διαιρεῖται.

ΕΣτω δεδομένῳ εὐθυγράμμῳ τῷ εἴδει τὸ ΑΒΓΔΕ· λέγω ὅτι τὸ ΑΒΓΔΕ εὐθύγραμμον εἰς δεδομένα τῷ εἴδει τρίγωνα διαιρεῖται.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΕΓ. καὶ ἐπεὶ δέδοται τὸ ΑΒΓΔΕ εὐθύγραμμον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΕ γωνία, καὶ ἔστι λόγος τῆς ΒΑ πρὸς τὴν ΕΑ δοθείς. ἐπεὶ οὖν δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΕ γωνία, καὶ ἔστι λόγος τῆς ΒΑ πρὸς τὴν ΑΕ δοθείς· δέδοται ἄρα τὸ ΒΑΕ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΕ γωνία. ἔστι δὲ καὶ ὅλη ἡ ὑπὸ ΑΒΓ γωνία δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΕΒΓ δοθεῖσά ἐστιν. καὶ ἔστι λόγος τῆς ΑΒ πρὸς τὴν ΒΕ δοθείς, τῆς δὲ ΑΒ πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΒΓ ἄρα πρὸς τὴν ΒΕ λόγος ἐστὶ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΓΒΕ γωνία· δέδοται ἄρα τὸ ΒΓΕ τρίγωνον τῷ εἴδει. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΓΔΕ τρίγωνον τῷ εἴδει δέδοται· τὰ ἄρα δεδομένα εὐθύγραμμα τῷ εἴδει εἰς δεδομένα τῷ εἴδει τρίγωνα διαιρεῖται.

PROP. XLVIII.

Si ab eadem recta triangula ſpecie data deſcribantur; habebunt ad invicem rationem datam.

AB eadem enim recta AB duo triangula ſpecie data deſcribantur ABΓ, ABΔ: dico rationem trianguli ABΓ ad triangulum ABΔ datam eſſe.

Agantur enim [per 11. 1.] à punctis A, B ipſi AB ad rectos angulos rectæ AE, BH, & producantur ad puncta Z, Θ; per puncta autem Γ, Δ [per 31. 1.] ipſi AB parallelæ ducantur EΓH, ZΔΘ. quoniam autem triangulum ABΓ [ex hyp.] ſpecie datum eſt; ipſius ΓA ad BA [per 3. def. dat.] ratio data erit. quoniam itaque angulus ΓAB datus eſt, datuſque eſt angulus EAB; etiam [per 4.dat.] reliquus ΓAE datus eſt.



ΠΡΟΤΑΣΙΣ μη'.

Ἐὰν ἀπὸ τῆς αὐτῆς εὐθείας ἀναγραφῇ τρίγωνα δεδομένα τῷ εἴδει· λόγον ἕξει πρὸς ἄλληλα δεδομένον.

ΑΠὸ γὰρ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δύο τρίγωνα δεδομένα τῷ εἴδει ἀναγεγράφθω τὰ ΑΒΓ, ΑΒΔ· λέγω ὅτι λόγος ἐστὶ τοῦ ΑΒΓ πρὸς τὸ ΑΒΔ δοθείς.

Ηχθω γὰρ ἀπὸ τῶν Α, Β σημείων τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς αἱ ΑΕ, ΒΗ, καὶ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Ζ, Θ, καὶ διὰ τῶν Γ, Δ σημείων τῇ ΑΒ εὐθείᾳ παράλληλοι ἤχθωσαν αἱ ΕΓΗ, ΖΔΘ. καὶ ἐπεὶ δέδοται τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει, λόγος ἐστὶ τῆς ΓΑ πρὸς τὴν ΒΑ δοθείς. ἐπεὶ οὖν δοθεῖσά ἐστιν ἡ ὑπὸ ΓΑΒ γωνία, ἔστι δὲ καὶ ἡ ὑπὸ ΕΑΒ δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ ΓΑΕ δοθεῖσά ἐστιν·

ἐστιν. ἔστι δὲ ἑκάτερον τῶν ΑΕΓ δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΕΓΑ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΕΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα τοῦ ΕΑ πρὸς τὴν ΑΓ δοθείς. τοῦ δὲ ΓΑ πρὸς τὴν ΑΒ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΕΑ ἄρα πρὸς τὴν ΑΒ λόγος ἐστὶ δοθείς. διὰ τὰ αὐτὰ δὴ καὶ τοῦ ΖΑ πρὸς τὴν ΑΒ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τῆς ΕΑ πρὸς τὴν ΑΖ λόγος ἐστὶ δοθείς. καί ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΑΖ οὕτως τὸ ΑΗ πρὸς τὸ ΘΑ· ὥστε καὶ τὸ ΑΗ πρὸς τὸ ΘΑ λόγος ἐστὶ δοθείς. καί ἐστι τὸ μὲν ΑΗ ἥμισυ τοῦ ΑΒΓ, τὸ δὲ ΑΘ ἥμισυ τοῦ ΑΔΒ· καὶ τὸ ΑΒΓ ἄρα πρὸς τὸ ΑΔΒ λόγος ἐστὶ δοθείς.

tus erit. angulus autem ΑΕΓ datus est: ideoque reliquus angulus ΕΓΑ datus est: quare [per 40.dat.] triangulum ΑΒΓ specie datum est: igitur [per 3. def. dat.] ipsius ΒΑ ad ΑΓ ratio est data. sed [ex hyp.] & ratio ΓΑ ad ΑΒ data est: quare [per 8.dat.] ipsius quoque ΒΑ ad ΑΒ ratio data erit. similiter vero ipsius ΖΑ ad ΑΒ ratio est data: quare [per 8.dat.] & ipsius ΕΑ ad ΑΖ data est ratio. est autem [per 1. 6.] ut ΑΕ ad ΑΖ ita parallelogrammum ΑΗ ad parallelogrammum ΘΑ: ideoque ratio parallelogrammi ΑΗ ad parallelogrammum ΘΑ data est. sed [per 41. 1.] parallelogrammi quidem ΑΗ dimidium est triangulum ΑΒΓ; parallelogrammi vero ΑΘ dimidium est ΑΔΒ: trianguli igitur ΑΒΓ ad triangulum ΑΔΒ data est ratio.

ΠΡΟΤΑΣΙΣ μθ'.

Ἐὰν ἀπὸ τῆς αὐτῆς εὐθείας δύο εὐθύγραμμα ἃ ἔτυχεν ἀναγραφῇ δεδομένα τῷ εἴδει, λόγον ἔξει τὸν δοθέντα τὰ ἀναγραφέντα.

Ἀπὸ γὰρ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δύο εὐθύγραμμα ἃ ἔτυχεν δεδομένα τῷ εἴδει ἀναγεγράφθω τὰ ΑΕΓΖΒ, ΑΔΒ· λέγω ὅτι λόγος ἐστὶ τοῦ ΑΕΓΖΒ πρὸς ΑΔΒ δοθείς.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΖΕ· δέδοται ἄρα ἕκαστον τῶν ΕΖΓ, ΕΖΒ, ΕΑΒ τριγώνων τῷ εἴδει. καὶ ἐπεὶ ἀπὸ τῆς αὐτῆς εὐθείας τῆς ΕΖ δύο τρίγωνα δεδομένα τῷ εἴδει ἀναγέγραπται τὰ ΕΖΓ, ΕΖΒ· λόγος ἄρα ἐστὶ τοῦ ΓΕΖ πρὸς τὸ ΖΕΒ δοθείς· καὶ συνθέντι ἄρα λόγος ἐστὶ τοῦ ΓΕΒΖ πρὸς τὸ ΕΒΖ δοθείς. ἔστι δὲ ΖΕΒ πρὸς τὸ ΕΑΒ λόγος ἐστὶ δοθείς, ἐπειδήπερ ἀπὸ τῆς αὐτῆς εὐθείας τῆς ΒΕ ἀναγέγραπται δεδομένα τῷ εἴδει τρίγωνα τὰ ΖΕΒ, ΕΑΒ· τοῦ ἄρα ΓΕΒΖ πρὸς τὸ ΕΑΒ λόγος ἐστὶ δοθείς. καὶ συνθέντι συναμφοτέρων τοῦ ΓΕΑΒΖ πρὸς τὸ ΕΑΒ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ΕΑΒ πρὸς τὸ ΑΔΒ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΓΕΑΒΖ ἄρα πρὸς τὸ ΑΔΒ λόγος ἐστὶ δοθείς.

PROP. XLIX.

Si ab eadem recta linea duo quælibet rectilinea specie data describantur; habebunt ad invicem rationem datam.

AB eadem enim recta ΑΒ duo rectilinea quæcunque specie data describantur, ut ΑΕΓΖΒ, ΑΔΒ: dico rationem ipsius ΑΕΓΖΒ ad ΑΔΒ datam esse.



Connectantur enim ΒΕ, ΖΕ: itaque [per 47. dat.] unumquodque triangulorum ΕΖΓ, ΕΖΒ, ΕΑΒ, specie datum est. quoniam vero ab eadem recta ΒΖ triangula specie data ΕΖΓ, ΕΖΒ describta sunt; ratio ΓΕΖ ad ΖΕΒ [per 48. dat.] data est: quare [per 6. dat.] componendo, ratio ipsius ΓΕΒΖ ad ΕΒΖ data est. ipsius etiam ΖΕΒ ad ΕΑΒ [per 48. dat.] data ratio est; quandoquidem ab eadem recta ΒΕ triangula specie data describta sunt, ΖΕΒ, ΕΑΒ: quare [per 8.dat.] ipsius ΓΕΒΖ ad ΕΑΒ data est ratio: componendo igitur [per 6. dat.] ratio utriusque ΓΕΑΒΖ ad ΕΑΒ data est. ratio autem ipsius ΕΑΒ ad ΑΔΒ [per 48.dat.] data est: igitur [per 8. dat.] ratio ipsius ΓΕΑΒΖ ad ΑΔΒ data est.

ΠΡΟΤΑΣΙΣ ν'.

Ἐὰν δύο εὐθεῖαι πρὸς ἀλλήλας λόγον ἔχωσι δεδομένον, καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα πρὸς ἄλληλα λόγον ἕξει δεδομένον.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΓΔ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον, καὶ ἀναγεγράφθω ἀπὸ τῶν ΑΒ, ΓΔ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ Ε, Ζ· λέγω ὅτι καὶ ὁ αὐτῶν πρὸς ἄλληλα λόγος ἐστὶ δοθείς.

PROP. L.

Si duæ rectæ lineæ ad invicem habeant rationem datam, ab illis quoque similia similiterque descripta rectilinea ad invicem rationem datam habebunt.

DUÆ enim rectæ ΑΒ, ΓΔ habeant ad invicem rationem datam, & describantur ab illis similia & similiter posita rectilinea Ε, Ζ: dico rationem illorum ad invicem datam esse.

Acci-

Accipiatur enim [per 11. 6.] ipſius AB, ΓΔ tertia proportionalis H: eſt igitur ut AB ad ΓΔ ita ΓΔ ad H. data autem eſt [ex hyp.] ratio rectæ AB ad rectam ΓΔ: quare etiam ratio ΓΔ ad H data eſt: ideoque [per 8. dat.] & ipſius AB ad H ratio data eſt. verum ut AB ad H ita [per 19 aut 20.6.] rectilineum E ad rectilineum Z: ratio igitur ipſius E ad Z data eſt.



Εἰλήφθω γὰρ τῶν AB, ΓΔ τρίτη ἀνάλογον ἡ H ἔστιν ἄρα ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ ΓΔ πρὸς τὴν H. λόγος δὲ τῆς AB πρὸς τὴν ΓΔ δοθείς· λόγος ἄρα καὶ τῆς ΓΔ πρὸς τὴν H δοθείς· ὥστε καὶ τῆς AB πρὸς τὴν H λόγος ἐστὶ δοθείς. ὡς δὲ ἡ AB πρὸς τὴν H οὕτω τὸ E πρὸς τὸ Z· λόγος ἄρα τοῦ E πρὸς τὸ Z δοθείς.

PROP. LI.

Si duæ rectæ lineæ habeant ad invicem rationem datam, atque ab illis rectilinea quæcunque ſpecie data deſcribantur; habebunt hæc ad invicem rationem datam.

DUÆ enim rectæ AB, ΓΔ habeant ad invicem rationem datam; & deſcribantur ab ipſis AB, ΓΔ rectilinea quæcunque ſpecie data E, Z: dico ipſius E ad Z rationem datam eſſe.

Deſcribatur enim à recta AB, ipſi Z ſimile & ſimiliter poſitum rectilineum AH quoniam autem rectilineum E ſpecie datum eſt, atque deſcriptum eſt ab eadem recta aliud rectilineum AH ſpecie datum: ratio igitur ipſius E ad AH [per 49. dat.] data eſt. & quoniam ratio ipſius AB ad ΓΔ data eſt, deſcriptaque ſunt à rectis AB, ΓΔ ſimilia & ſimiliter poſita rectilinea AH, Z: ratio ipſius AH ad Z [per 50. dat.] data eſt. data autem eſt ratio ipſius AH ad E: ergo [per 8.dat.] & ratio ipſius E ad Z data eſt.



ΠΡΟΤΑΣΙΣ να'.

Ἐὰν δύο εὐθεῖαι πρὸς ἀλλήλας λόγον ἔχωσι δεδομένον, καὶ ἀπ' αὐτῶν εὐθύγραμμα ὡς ἔτυχεν ἀναγραφῇ δεδομένα τῷ εἴδει· λόγον ἕξει πρὸς ἄλληλα δεδομένον.

Δύο γὰρ εὐθεῖαι AB, ΓΔ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον, καὶ ἀναγεγράφθω ἀπὸ τῶν AB, ΓΔ εὐθύγραμμα ὡς ἔτυχεν δεδομένα τῷ εἴδει τὰ E, Z· λέγω ὅτι τοῦ E πρὸς τὸ Z λόγος ἐστὶ δοθείς.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς AB τῷ Z ὅμοιον καὶ ὁμοίως κείμενον εὐθύγραμμον τὸ AH. ἐπεὶ οὖν τὸ E δεδοται τῷ εἴδει, καὶ ἀναγέγραπται ἀπὸ τῆς αὐτῆς εὐθείας τὸ εὐθύγραμμον AH δεδομένον τῷ εἴδει· λόγος ἄρα τοῦ E πρὸς τὸ AH δοθείς. καὶ ἐπεί ἐστι τῆς AB πρὸς τὴν ΓΔ λόγος δοθείς, καὶ ἀναγέγραπται ἀπὸ τῶν AB, ΓΔ ὅμοια καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ AH, Z· λόγος ἄρα τοῦ AH πρὸς τὸ Z δοθείς. ἦν δὲ AH πρὸς τὸ E λόγος ἐστὶ δοθείς· καὶ τοῦ E ἄρα πρὸς τὸ Z λόγος ἐστὶ δοθείς.

PROP. LII.

Si à data magnitudine recta figura ſpecie data deſcribatur; deſcripta figura magnitudine data eſt.

A Data enim magnitudine recta AB deſcribatur data ſpecie figura AΓΔEB: dico figuram AΓΔEB magnitudine datam eſſe.

ΠΡΟΤΑΣΙΣ νβ'.

Ἐὰν ἀπὸ δεδομένης εὐθείας τῷ μεγέθει δεδομένον τῷ εἴδει εἶδος ἀναγραφῇ, δέδοται τὸ ἀναγραφὲν τῷ μεγέθει.

Ἀπὸ γὰρ δεδομένης εὐθείας τῆς AB τὸ εἶδος εἴδος ἀναγεγράφθω τὸ AΓΔEB· λέγω ὅτι τὸ AΓΔEB δέδοται τῷ μεγέθει.

Ara-

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΖ· δέδοται ἄρα καὶ τὸ ΑΖ τῷ εἴδει καὶ τῷ μεγέθει. Ἐπεὶ οὖν ἀπὸ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δύο εὐθύγραμμα ἀναγέγραπται δεδομένα τῷ εἴδει ΑΓΔΕΒ, ΑΖ· λόγος ἄρα καὶ τοῦ ΑΓΔΕΒ πρὸς τὸ ΑΖ δοθείς. δοθὲν δὲ τὸ ΑΖ τῷ μεγέθει· δέδοται ἄρα καὶ τὸ ΑΓΔΕΒ τῷ μεγέθει.



Describatur enim [per 46. 1.] à recta AB quadratum AZ: datum itaque [per 3. def. dat.] est ipsum specie & magnitudine. & quia à recta AB duo rectilinea AΓΔEB, AZ specie data, descripta sunt: igitur [per 49. dat.] ratio ipsius AΓΔEB ad AZ data est. quadratum autem AZ magnitudine datum est: ergo [per 2. dat.] etiam figura AΓΔEB magnitudine data est.

ΠΡΟΤΑΣΙΣ νγ'.

Ἐὰν δύο εἴδη τῷ εἴδει δεδομένα ᾖ, καὶ μία πλευρὰ ἑνὸς πρὸς μίαν πλευρὰν ἑτέρου λόγον ἔχῃ δεδομένον· καὶ αἱ λοιπαὶ πλευραὶ πρὸς τὰς λοιπὰς πλευρὰς λόγον ἕξουσι δεδομένον.

Prop. LIII.

Si duæ figuræ specie datæ fuerint, & unum latus unius ad unum latus alterius habuerit rationem datam; & etiam reliqua latera ad reliqua latera rationem datam habebunt.

Ἔστω δύο εἴδη δεδομένα τὰ ΑΔ, ΕΘ, καὶ λόγος ἔστω τοῦ ΒΔ πρὸς τὴν ΖΘ δοθείς· λέγω ὅτι καὶ τῶν λοιπῶν πλευρῶν πρὸς τὰς λοιπὰς πλευρὰς λόγος ἐστὶ δοθείς.



Sint duæ figuræ specie datæ AΔ, EΘ, sitque ratio ipsius BΔ ad ZΘ data: dico reliquorum etiam laterum ad reliqua rationem datam esse.

Ἐπεὶ γὰρ λόγος ἐστὶ τοῦ ΒΔ πρὸς τὴν ΖΘ δοθείς, τῆς δὲ ΔΒ πρὸς τὴν ΒΑ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΑΒ ἄρα πρὸς τὴν ΖΘ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ΖΘ πρὸς τὴν ΕΖ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΑΒ ἄρα πρὸς τὴν ΕΖ λόγος ἐστὶ δοθείς. ὁμοίως δὴ καὶ τῶν λοιπῶν πλευρῶν πρὸς τὰς λοιπὰς πλευρὰς λόγος ἐστὶ δοθείς.

Quoniam enim [ex hyp.] ratio rectæ BΔ ad ZΘ data est; ipsiusque ΔB ad BA [per 3. def. dat.] ratio est data: erit quoque [per 8. dat.] ratio AB ad ZΘ data. rectæ autem ZΘ ad EZ [per 3. def. dat.] ratio est data: quare [per 8. dat.] ipsius AB ad EZ ratio erit data. similiter & reliquorum laterum ad reliqua latera ratio data erit.

ΠΡΟΤΑΣΙΣ νδ'.

Ἐὰν δύο εἴδη δεδομένα τῷ εἴδει πρὸς ἄλληλα λόγον ἔχῃ δεδομένον, καὶ αἱ πλευραὶ αὐτῶν πρὸς ἀλλήλας λόγον ἕξουσι δεδομένον.

Prop. LIV.

Si duæ figuræ specie datæ ad invicem habuerint rationem datam; etiam eorum latera inter se habebunt rationem datam.

Δύο γὰρ εἴδη δεδομένα τῷ εἴδει τὰ Α, Β πρὸς ἄλληλα λόγον ἐχέτω δεδομένον· λέγω ὅτι καὶ αἱ πλευραὶ αὐτῶν πρὸς ἀλλήλας λόγον ἕξουσι δεδομένον.

Τὸ γὰρ Α τῷ Β ἤτοι ὅμοιόν ἐστιν ἢ οὔ. ἔστω πρότερον ὅμοιον, καὶ εἰλήφθω τῶν ΓΔ, ΕΖ τρίτη ἀνάλογον ἡ Η· ἔστιν ἄρα ὡς ἡ ΓΔ πρὸς τὴν Η οὕτως τὸ Α πρὸς τὸ Β. λόγος



DUÆ enim figuræ specie datæ A, B habeant ad invicem rationem datam: dico eorum etiam latera ad invicem rationem datam habere.

Figura enim A ipsi B aut similis est, aut non. esto primum similis, & sumatur [per 11. 6.] rectis ΓΔ, EZ tertia proportionalis H. ideoque [per 20. 6.] ut ΓΔ ad H ita est A ad B. est autem

tem [ex hyp.] ratio ipſius A ad B data: ergo & ratio ipſius Γ Δ ad H data eſt. ſunt autem [per conſtr.] Γ Δ, E Z, H continue proportionales, ipſius igitur Γ Δ ad E Z [per 24.dat.] data eſt ratio. ſimilis vero eſt [ex hyp.] figura A ipſi B: quare [per 53.dat.] reliqua latera ad reliqua latera habebunt rationem datam.



Verum figura A non ſit ſimilis figuræ B, & [per 18. 6.] deſcribatur ab E Z ipſi A ſimilis & ſimiliter poſita E Θ: itaque figura E Θ ſpecie data eſt. eſt autem [ex hyp.] figura B ſpecie data: ergo [per 49. dat.] ratio ipſius B ad E Θ data eſt: ideoque [per 8. dat.] ratio ipſius A ad E Θ data eſt. at vero [per conſtr.] ſimilis eſt figura A ipſi E Θ: ratio igitur rectæ Γ Δ ad E Z [per 20. 6. & 24.dat.] data eſt. ſimiliter & ratio reliquorum laterum ad reliqua latera data eſt.

δὲ τῷ Α πρὸς τὸ Β δοθείς· λόγος ἄρα καὶ ὁ Γ Δ πρὸς τὴν Η δοθείς. καί εἰσιν αἱ Γ Δ, Ε Ζ, Η ἀνάλογον· καὶ ὁ Γ Δ ἄρα πρὸς τὴν Ε Ζ λόγος ἐστὶ δοθείς. Ἔστω ὅμοιον τὸ Α τῷ Β· καὶ αἱ λοιπαὶ ἄρα πλευραὶ πρὸς τὰς λοιπὰς πλευρὰς λόγον ἔξουσι δεδομένον.

Μὴ ἔστω δὴ ὅμοιον τὸ Α τῷ Β, καὶ ἀναγεγράφθω ἀπὸ τῆς Ε Ζ τῷ Α ὅμοιον καὶ ὁμοίως κείμενον τὸ Ε Θ· δέδοται ἄρα καὶ τὸ Ε Θ τῷ εἴδει. δέδοται δὲ καὶ τὸ Β· λόγος ἄρα ὃν τὸ Β πρὸς τὸ Ε Θ δοθείς· καὶ τῷ Α ἄρα πρὸς τὸ Ε Θ λόγος ἐστὶ δοθείς. καὶ ὅμοιόν ἐστι τὸ Α τῷ Ε Θ· λόγος ἄρα καὶ τοῦ Γ Δ πρὸς τὴν Ε Ζ δοθείς. Διὰ τὰ αὐτὰ δὴ καὶ τῶν λοιπῶν πλευρῶν πρὸς τὰς λοιπὰς πλευρὰς λόγος ἐστὶ δοθείς.

ALITER.

Exponatur data recta H Θ. aut ergo figura A figuræ B ſimilis eſt, aut non. ſit primum ſimilis. & [per 12. 6.] fiat ut Γ Δ ad E Z ita H Θ ad K Λ, dein [per 18.6.] deſcribantur ab H Θ, K Λ ipſis A, B ſimiles ſimiliterque poſitæ figuræ M, N: utraque igitur figura M, N ſpecie data eſt. & quoniam eſt ut Γ Δ ad E Z ita H Θ ad K Λ, & deſcripta ſunt à lineis Γ Δ, E Z, H Θ, K Λ ſimilia ſimiliterque poſita rectilinea A, B, M, N: erit igitur [per 22.6.] ut A ad B ita M ad N. eſt autem ratio ipſius A ad B [ex hyp.] data: igitur & ratio ipſius M ad N data eſt. M autem [per 52.dat.] data eſt; ſiquidem à data magnitudine recta data ſpecie figura deſcripta eſt: ergo & [per 2. dat.] figura N data eſt. deſcribatur autem [per 46. 1.] à recta K Λ quadratum Ξ: figura igitur Ξ ſpecie data eſt: ergo ratio ipſius N ad Ξ data eſt. data autem eſt N: quare & Ξ data eſt; ergo data eſt K Λ. eſt autem H Θ data: ergo [per 1. dat.] ratio ipſius H Θ ad K Λ data eſt. ſed [per conſtr.] ut H Θ ad K Λ ita eſt Γ Δ ad E Z: ratio igitur ipſius Γ Δ ad E Z data eſt. ſimilis vero [ex hyp.] eſt figura A figuræ B; itaque [per 53.

ΑΛΛΩΣ.

Ἐκκείσθω δοθεῖσα εὐθεῖα ἡ Η Θ. τὸ δὲ Α τῷ Β ἤτοι ὅμοιόν ἐστιν, ἢ οὔ. ἔστω πρότερον ὅμοιον. καὶ πεποιήσθω ὡς ἡ Γ Δ πρὸς τὴν Ε Ζ οὕτως ἡ Η Θ πρὸς τὴν Κ Λ, καὶ ἀναγεγράφθω ἀπὸ τῶν Η Θ, Κ Λ τοῖς Α, Β ὅμοια καὶ ὁμοίως κείμενα τὰ Μ, Ν· δέδοται ἄρα τὸ ἑκάτερον τῶν Μ, Ν τῷ εἴδει. καὶ ἐπεὶ ἐστιν ὡς ἡ Γ Δ πρὸς τὴν Ε Ζ οὕτως ἡ Η Θ πρὸς τὴν Κ Λ, καὶ ἀναγέγραπται ἀπὸ τῶν Γ Δ, Ε Ζ, Η Θ, Κ Λ ὅμοια καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ Α, Β, Μ, Ν· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Μ πρὸς τὸ Ν. λόγος δὲ τοῦ Α πρὸς τὸ Β δοθείς· λόγος ἄρα καὶ τοῦ Μ πρὸς τὸ Ν δοθείς. δοθὲν δὲ τὸ Μ, ἀπὸ γὰρ δεδομένης εὐθείας τῷ μεγέθει ἀναγέγραπται δεδομένον εἶδος· δοθὲν ἄρα καὶ τὸ Ν. ἀναγεγράφθω δὲ ἀπὸ τῆς Κ Λ τετράγωνον τὸ Ξ· δέδοται ἄρα καὶ τὸ Ξ τῷ εἴδει· λόγος ἄρα τοῦ Ν πρὸς τὸ Ξ δοθείς. δοθὲν δὲ τὸ Ν· δοθὲν ἄρα καὶ τὸ Ξ· δοθεῖσα ἄρα ἐστὶν ἡ Κ Λ. ἔστι δὲ καὶ ἡ Η Θ δοθεῖσα· λόγος ἄρα καὶ τῆς Η Θ πρὸς τὴν Κ Λ δοθείς. καὶ ἔστιν ὡς ἡ Η Θ πρὸς τὴν Κ Λ οὕτως ἡ Γ Δ πρὸς τὴν Ε Ζ· λόγος ἄρα καὶ τῆς Γ Δ πρὸς τὴν Ε Ζ δοθείς. καὶ ὅμοιόν ἐστι τὸ Α τῷ Β· καὶ αἱ λοιπαὶ



λοιπαὶ πλευραὶ ἄρα πρὸς τὰς λοιπὰς πλευρὰς λόγον ἔξουσι δεδομένον. μὴ ἔστω δὴ ὅμοιον· ἀκολούθως δὴ τῇ πρώτῃ ἀποδείξει τὸ λοιπὸν δειχθήσεται).

dat.] reliqua latera ad reliqua latera habebunt datam rationem. deinde vero non ſit ſimilis; eodem ergo modo, quo in ſuperiori demonſtratione, reliqua pars propoſitionis oſtendetur.

ΠΡΟΤΑΣΙΣ νε'.

Ἐὰν χωρίον τῷ εἴδει καὶ τῷ μεγέθει δεδομένον ᾖ, καὶ αἱ πλευραὶ αὐτοῦ τῷ μεγέθει δεδομέναι ἔσονται).

PROP. LV.

Si ſpatium magnitudine & ſpecie datum fuerit, etiam latera ejus magnitudine data erunt.

Ἔστω χωρίον τῷ εἴδει καὶ τῷ μεγέθει δεδομένον τὸ Α· λέγω ὅτι αἱ πλευραὶ αὐτοῦ δεδομέναι εἰσί.

Ἐκκείσθω γὰρ τῇ θέσει καὶ τῷ μεγέθει δεδομένη εὐθεῖα ἡ ΒΓ, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΒΓ τῷ Α ὅμοιον καὶ ὁμοίως κείμενον τὸ Δ· δέδοται ἄρα τὸ Δ τῷ εἴδει. καὶ ἐπεὶ ἀπὸ δεδομένης τῷ μεγέθει εὐθείας τῆς ΒΓ δεδομένον τῷ εἴδει εἶδος ἀναγέγραπται τὸ Δ· δέδοται ἄρα καὶ τὸ Δ τῷ μεγέθει. δέδοται δὲ καὶ τὸ Α· λόγος ἄρα τοῦ Α πρὸς τὸ Δ δοθείς. καὶ ὅμοιόν ἐστι τὸ Α τῷ Δ· λόγος ἄρα τῆς ΕΖ πρὸς τὴν ΒΓ δοθείς. δοθεῖσα δὲ ἡ ΒΓ· δοθεῖσα ἄρα καὶ ἡ ΕΖ. καὶ ἔστι λόγος τῆς ΕΖ πρὸς τὴν ΕΗ δοθείς· δοθεῖσα ἄρα καὶ ἡ ΕΗ. ᾿Ομοίως δὴ καὶ ἑκάστη τῶν λοιπῶν πλευρῶν δέδοται τῷ μεγέθει.



SIT ſpatium A ſpecie & magnitudine datum: dico latera illius magnitudine data eſſe.

Exponatur enim poſitione & magnitudine data recta BΓ, & deſcribatur à recta BΓ ipſi A ſimile & ſimiliter poſitum ſpatium Δ: itaque ſpatium Δ ſpecie datum eſt. quoniam vero à data recta BΓ data ſpecie figura Δ deſcripta eſt: igitur [per 52. dat.] magnitudine data eſt Δ. eſt autem [ex hyp.] & figura A data: itaque [per 1. dat.] ratio ipſius A ad Δ data eſt. ſimilis autem [per conſtr.] figura A figuræ Δ: eſt ergo [per 54. dat.] rectæ EZ ad BΓ ratio data eſt. data autem eſt BΓ: quare etiam EZ data eſt. verum [per 3. def. dat.] ipſius EZ ad EH ratio data eſt: ergo recta EH data eſt. ſimiliter vero unumquodque reliquorum laterum magnitudine datum eſt.

ΑΛΛΩΣ.

Ἔστω χωρίον τὸ ΚΛΜΝΞ δεδομένον τῷ εἴδει καὶ τῷ μεγέθει· λέγω ὅτι καὶ αἱ πλευραὶ αὐτοῦ δεδομέναι εἰσὶ τῷ μεγέθει.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΜΝ τετράγωνον τὸ ΜΟ· δέδοται ἄρα τῷ εἴδει. ἀλλὰ καὶ τὸ ΛΝ· λόγος ἄρα ἐστὶ τοῦ ΛΝ πρὸς τὸ ΜΟ δοθείς. δοθὲν δὲ τὸ ΛΝ τῷ μεγέθει· δοθὲν ἄρα τὸ ΜΟ τῷ μεγέθει. καὶ ἔστι τετράγωνον τὸ ΜΟ· δοθὲν ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΜΝ· δοθεῖσα ἄρα ἐστὶν ἡ ΜΝ τῷ μεγέθει. ᾿Ομοίως δὴ καὶ ἑκάστη τῶν ΜΛ, ΛΚ, ΚΞ, ΞΝ δοθεῖσά ἐστι τῷ μεγέθει.



ALITER.

Sit ſpatium ΚΛΜΝΞ ſpecie & magnitudine datum: dico latera ejus magnitudine quoque data eſſe.

Deſcribatur enim [per 46. 1.] à recta MN quadratum MO: itaque illud ſpecie datum eſt. ſed [ex hyp.] & ſpatium ΛN ſpecie datum eſt: ergo [per 49. dat.] ratio ſpatii ΛN ad MO data eſt. datum autem eſt [ex hyp.] ΛN magnitudine: igitur [per 2. dat.] datum eſt MO magnitudine. eſt autem MO quadratum à recta MN: itaque quadratum à recta MN datum eſt: quare data eſt recta MN magnitudine. ſimiliter quoque unaquæque linearum MΛ, ΛK, KΞ, ΞN magnitudine data eſt.

ΠΡΟΤΑΣΙΣ νϛ'.

Ἐὰν δύο ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχῃ δεδομένον· ἔστιν ὡς ἡ

PROP. LVI.

Si duo æquiangula parallelogramma habuerint ad invicem rationem datam; eſt

ut primi latus ad latus ſecundi ita reliquum ſecundi latus ad rectam lineam ad quam alterum primi latus habet rationem datam, quam nempe habet parallelogrammum ad parallelogrammum.

πρώτου πλευρὰ πρὸς τὸ δευτέρου πλευρὰν ὥστε ἡ λοιπὴ τοῦ δευτέρου πλευρὰ πρὸς ἣν ἡ ἑτέρα τοῦ πρώτου πλευρὰ λόγον ἔχει δεδομένον, ὃν τὸ παραλληλόγραμμον ἔχει πρὸς παραλληλόγραμμον.

DUO enim æquiangula parallelogramma A, B habeant ad invicem rationem datam: dico ut Γ Δ ad E Z ita eſſe E H ad eam ad quam Γ Θ habet rationem datam, quam nempe parallelogrammum A habet ad parallelogrammum B.

Producatur enim Γ K in directum ipſi Γ Θ, & fiat [per 12. 6.] ut Γ Δ ad E Z ita E H ad Γ K, compleaturque parallelogrammum Γ Λ. quoniam ergo eſt ut Γ Δ ad E Z ita eſt E H ad Γ K, eſtque [per 34. 1.] recta Γ Δ æqualis ipſi K Λ: igitur ut K Λ ad E Z ita E H ad Γ K. adeoque circa æquales angulos Γ K Λ, H E Z latera reciproce proportionalia ſunt: quare [per 14. 6.] æquale eſt K Δ ipſi H Z. quoniam vero ratio A ad B data eſt; æquale autem eſt B ipſi Γ Λ: ipſius igitur Θ Δ ad Γ Λ ratio data eſt. ut autem Θ Δ ad Γ Λ ita [per 1. 6.] Θ Γ ad Γ K: ergo & ratio Θ Γ ad Γ K data eſt. quoniam vero [per conſtr.] ut Γ Δ ad E Z ita eſt E H ad Γ K; habetque recta Θ Γ ad Γ K rationem datam, eam nempe quam habet ſpatium A ad B: eſt igitur ut Γ Δ ad E Z ita E H ad eam ad quam Θ Γ habet rationem datam, eam nempe quam ſpatium habet A ad ſpatium B, hoc eſt rationem ipſius Θ Γ ad Γ K.



Δυο δὴ ἰσογώνια παραλληλόγραμμα τὰ A, B πρὸς ἄλληλα λόγον ἐχέτω δεδομένον· λέγω ὅτι ἐστὶν ὡς ἡ Γ Δ πρὸς τὴν E Z οὕτως ἡ E H πρὸς ἣν ἡ Γ Θ λόγον ἔχει δεδομένον, ὃν τὸ A παραλληλόγραμμον πρὸς τὸ B παραλληλόγραμμον.

Ἐκβεβλήθω γὰρ ἐπ' εὐθείας τῇ Γ Θ ἡ Γ K, καὶ πεποιήσθω ὡς ἡ Γ Δ πρὸς τὴν E Z οὕτως ἡ E H πρὸς τὴν Γ K, καὶ συμπεπληρώσθω τὸ παραλληλόγραμμον Γ Λ. ἐπεὶ οὖν ἐστὶν ὡς ἡ Γ Δ πρὸς τὴν E Z οὕτως ἡ E H πρὸς τὴν Γ K, ἴση δέ ἐστιν ἡ Γ Δ τῇ K Λ· ἔστιν ἄρα ὡς ἡ K Λ πρὸς τὴν E Z οὕτως ἡ E H πρὸς τὴν Γ K. καὶ ὧν ἴσας γωνίας τὰς ὑπὸ Γ K Λ, H E Z αἱ πλευραὶ ἀντιπεπόνθασιν· ἴσον ἄρα ἐστὶ καὶ τὸ K Δ τῷ H Z. καὶ ἐπεὶ λόγος ἐστὶ τοῦ A πρὸς τὸ B δοθείς, ἴσον δὲ τὸ B τῷ Γ Λ· λόγος ἄρα ἐστὶ καὶ τοῦ Θ Δ πρὸς τὸ Γ Δ δοθείς. ὡς δὲ τὸ Θ Δ πρὸς τὸ Γ Δ οὕτως ἡ Θ Γ πρὸς τὴν Γ K· καὶ τοῦ Θ Γ ἄρα πρὸς τὴν Γ K λόγος ἐστὶ δοθείς. καὶ ἐπεί ἐστιν ὡς ἡ Γ Δ πρὸς τὴν E Z οὕτως ἡ E H πρὸς τὴν Γ K, ἡ δὲ Θ Γ πρὸς τὴν Γ K λόγον ἔχει δοθέντα, ὃν τὸ A χωρίον πρὸς τὸ B· ἔστιν ἄρα ὡς ἡ Γ Δ πρὸς τὴν E Z οὕτως ἡ E H πρὸς ἣν ἡ Θ Γ λόγον ἕξει, ὃν τὸ A χωρίον πρὸς τὸ B, τουτέστι τὸ Θ Γ πρὸς τὴν Γ K.

PROP. LVII.

Si datum ſpatium ad datam rectam applicatum fuerit in angulo dato; datur quoque latitudo applicationis.

ΠΡΟΤΑΣΙΣ νζ'.

Ἐὰν δοθὲν χωρίον παρὰ δοθεῖσαν εὐθεῖαν παραβληθῇ ἐν δεδομένῃ γωνίᾳ, δέδοται τὸ πλάτος τῆς παραβολῆς.

DAtum enim ſpatium A H ad datam rectam A B applicetur in angulo Γ A B dato: dico datam eſſe rectam Γ A.

Deſcribatur ab A B quadratum E B: itaque quadratum E B datum eſt. dein producantur lineæ E A, Z B, Γ H ad puncta Δ, Θ. & quoniam datum eſt utrumque ſpatiorum E B, A H: ratio igitur ipſius E B ad A H data eſt. æquale autem eſt [per 35. 1.] A Θ ipſi A H: igitur ratio ipſius E B ad A Θ data eſt: unde & [per 1. 6.] ratio E A ad A Δ data eſt. æqualis autem

Δοθὲν γὰρ τὸ A H παρὰ δοθεῖσαν τὴν A B παραβεβλήσθω ἐν δεδομένῃ γωνίᾳ τῇ ὑπὸ Γ A B· λέγω ὅτι δοθεῖσά ἐστιν ἡ Γ A.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς A B τετράγωνον τὸ E B· δοθὲν ἄρα ἐστὶ τὸ E B. καὶ διήχθωσαν αἱ E A, Z B, Γ H ἐπὶ τὰ Δ, Θ. καὶ ἐπεὶ δοθὲν ἐστιν ἑκάτερον τῶν E B, A H· λόγος ἄρα τοῦ E B πρὸς τὸ A H δοθείς. τῷ δὲ A H ἴσον ἐστὶ τὸ A Θ· καὶ τοῦ E B ἄρα πρὸς τὸ A Θ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τῆς E A πρὸς τὴν A Δ λόγος ἐστὶ δοθείς. ἴση δὲ ἡ

E A

ΕΑ τῇ ΑΒ· λόγος ἐστὶ ἄρα καὶ τῆς ΒΑ πρὸς τὴν ΑΔ δοθείς. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΓΑΒ γωνία, ἧς καὶ ἡ ὑπὸ ΔΑΒ δοθεῖσά ἐστι· λοιπὴ ἄρα ἡ ὑπὸ ΓΑΔ δοθεῖσά ἐστιν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΓΔΑ δοθεῖσα, ὀρθὴ γάρ· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΔ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΔΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς ΑΓ πρὸς τὴν ΑΔ δοθείς. τῆς δὲ ΑΔ πρὸς τὴν ΑΒ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΓΑ ἄρα πρὸς τὴν ΑΒ λόγος ἐστὶ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ΑΒ· δοθεῖσα ἄρα καὶ ἡ ΑΓ.



est ΕΑ ipsi ΑΒ: igitur ratio ipsius ΒΑ ad ΑΔ data est. & quoniam datus est angulus ΓΑΒ, & datus etiam est angulus ΔΑΒ: reliquus igitur ΓΑΔ [per 4. dat.] datus est. angulus autem ΓΔΑ datus est; quia rectus: quare [per 32.1. & 4. dat.] reliquus ΑΓΔ datus est: ergo [per 40. dat.] triangulum ΑΔΓ specie datum est; igitur [per 3. def. dat.] ipsius ΑΓ ad ΑΔ data est ratio. data autem est ratio ipsius ΑΔ ad ΑΒ: igitur [per 8. dat.] ratio ipsius ΓΑ ad ΑΒ data est. & [ex hyp.] data est ΑΒ; igitur [per 2. dat.] data est ΑΓ.

ΠΡΟΤΑΣΙΣ νη'.

Ἐὰν δοθὲν χωρίον παρὰ δοθεῖσαν εὐθεῖαν παραβληθῇ, ἔλλειπον εἴδει δεδομένῳ τῷ εἴδει· δέδοται καὶ τὰ πλάτη τοῦ ἐλλείμματος.

Δοθὲν γὰρ τὸ ΓΑ ᾧ παρὰ δοθεῖσαν τὴν ΑΔ παραβεβλήθω, ἔλλειπον εἴδει δεδομένῳ τῷ ΔΓ· λέγω ὅτι δοθεῖσά ἐστιν ἑκατέρα τῶν ΒΓ, ΒΔ.

Τετμήσθω γὰρ ἡ ΑΔ δίχα κατὰ τὸ Ε σημεῖον· δοθεῖσα ἄρα ἐστὶν ἡ ΕΔ τῷ μεγέθει. καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΕΔ τῷ ΓΔ ὅμοιον καὶ ὁμοίως κείμενον εὐθύγραμμον τὸ ΕΖ, καὶ παραγεγράφθω τὸ σχῆμα· δέδοται ἄρα τὸ ΕΖ τῷ εἴδει. καὶ ἐπεὶ ἀπὸ δεδομένης εὐθείας τῆς ΕΔ δεδομένον τῷ εἴδει εἶδος ἀναγέγραπται τὸ ΕΖ· δέδοται ἄρα τὸ ΕΖ τῷ μεγέθει. καὶ ἔστιν ἴσον τοῖς ΑΓ, ΚΘ· δέδοται ἄρα καὶ τὸ ΑΓ, ΚΘ τῷ μεγέθει. καὶ ἔστι τὸ ΑΓ δοθὲν τῷ μεγέθει, ὑπόκειται γάρ· λοιπὸν ἄρα τὸ ΚΘ δοθὲν ἐστὶ τῷ μεγέθει. ἔστι δὲ καὶ τῷ εἴδει δοθέν, ὅμοιον γάρ ἐστι τῷ ΓΔ· τὰ ΘΚ ἄρα δεδομένας εἰσὶ καὶ πλευράς· δοθεῖσα ἄρα ἐστὶν ἡ ΚΓ. καὶ ἔστιν ἴση τῇ ΕΒ· δοθεῖσα ἄρα ἐστὶν ἡ ΕΒ. ἔστι δὲ καὶ ἡ ΕΔ δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ΔΒ δοθεῖσα. καὶ λόγος τῆς ΒΔ πρὸς τὴν ΒΓ δοθείς· δοθεῖσα ἄρα ἐστὶν ἡ ΒΓ.

PROP. LVIII.

Si spatium datum ad datam rectam applicetur, deficiens data specie figura; latitudines defectus etiam datæ sunt.

DAtum enim spatium ΓΑ ad datam rectam ΑΔ applicetur, deficiens data specie figura ΔΓ: dico datam esse utramque rectarum ΒΓ, ΒΔ.

Secetur enim [per 10.1.] ΑΔ bifariam in puncto Ε: igitur [per 2. dat.] data est ΕΔ magnitudine. dein describatur [per 18. 6.] ab ipsa ΕΔ ipsi ΓΔ simile similiterque positum rectilineum ΕΖ, & constituatur figura: igitur specie datum est ΕΖ. & quoniam, à data recta ΕΔ, figura specie data descripta est ΕΖ; figura ΕΖ [per 52. dat.] data est magnitudine. est autem [per 36. & 43. 1.] æqualis ipsis ΑΓ, ΚΘ: quare figuræ ΑΓ, ΚΘ datæ sunt magnitudine. data vero est figura ΑΓ magnitudine; supponitur enim: ergo [per 4. dat.] reliqua figura ΚΘ data est magnitudine. sed & eadem specie data est; similis enim est [per constr.] figuræ ΓΔ: quare [per 55. dat.] ipsius ΘΚ latera data sunt: adeoque ΚΓ data est. est autem [per 34.1.] æqualis ipsi ΕΒ: ergo ΕΒ data est. data vero est & ΕΔ: quare [per 4. dat.] & reliqua ΔΒ data est. sed ratio ipsius ΒΔ ad ΒΓ [per 3. def. dat.] data est: ergo [per 2. dat.] ΒΓ data est.



ΠΡΟΤΑΣΙΣ νθ'.

Ἐὰν δοθὲν χωρίον παρὰ δοθεῖσαν εὐθεῖαν παραβληθῇ, ὑπερβάλλον εἴδει δεδομένῳ εἴδει· δέδοται καὶ τὰ πλάτη τῆς ὑπερβολῆς.

Δοθὲν γὰρ τὸ ΑΒ ᾧ παρὰ δοθεῖσαν τὴν ΑΓ ᾧ παραβεβλήθω, ὑπερβάλλον εἴδει δεδομένῳ εἴδει

PROP. LIX.

Si spatium datum ad datam rectam applicetur, excedens data specie figura; latitudines excessus etiam datæ sunt.

DAtum enim spatium ΑΒ ad datam rectam ΑΓ applicetur, excedens data specie figura

ΓΒ: dico datam esse utramque rectarum ΘΓ, ΓΕ.

Secetur enim ΔΕ bifariam in puncto Ζ, & [per 18.6.] describatur ab ΕΖ ipsi ΓΒ simile & similiter positum rectilineum ΖΗ, atque construatur figura. quoniam itaque ΓΒ simile est ipsi ΖΗ; circa eandem igitur diametrum est ΖΗ [per 26. 6.] cum ipso ΓΒ. est autem ΓΒ specie datum: ergo ΖΗ etiam specie datum est. sed & à data recta ΖΕ descriptum est: quare [per 52. dat.] ΖΗ magnitudine datum est. datum autem [ex hyp.] est ΑΒ: ideoque ΑΒ, ΖΗ magnitudine data sunt. ipsis autem ΑΒ, ΖΗ [per 36. & 43. 1.] æquale est ΚΛ: ergo [per 3. dat.] ΚΛ magnitudine datum est. sed & specie datum est; simile enim est [per constr.] ipsi ΓΒ: itaque [per 55. dat.] ipsius ΚΛ latera data sunt: ideoque latus ΚΘ datum est. latus autem ΚΓ datum est; æquale enim est [per 34. 1.] ipsi ΖΕ: reliqua igitur recta ΓΘ data est; atque etiam [per 3. def. dat.] rationem datam habet ad ΘΒ: igitur [per 2. dat.] data est ΘΒ.



τῷ ΓΒ· λέγω ὅτι δοθεῖσαί εἰσιν ἑκατέρα τῶν ΘΓ, ΓΕ.

Τετμήσθω γὰρ δίχα ἡ ΔΕ κατὰ τὸ Ζ σημεῖον, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΕΖ τῷ ΓΒ ὅμοιον καὶ ὁμοίως κείμενον τὸ ΖΗ, καὶ καταγεγράφθω τὸ σχῆμα. καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ ΓΒ τῷ ΖΗ, ἀλλὰ τοῦ αὐτοῦ διάμετρος ἄρα ἐστὶ τὸ ΖΗ τῷ ΓΒ. δέδοται δὲ τὸ ΓΒ τῷ εἴδει· δέδοται ἄρα καὶ τὸ ΖΗ τῷ εἴδει. καὶ ἀναγέγραπται ἀπὸ δεδομένης εὐθείας τῆς ΖΕ· δοθὲν ἄρα ἐστὶ τὸ ΖΗ τῷ μεγέθει. ἔστι δὲ καὶ τὸ ΑΒ δοθέν· δοθέντα ἄρα ἐστὶ τὰ ΑΒ, ΖΗ τῷ μεγέθει. τοῖς δὲ ΑΒ, ΖΗ ἴσον ἐστὶ τὸ ΚΛ· δέδοται ἄρα τὸ ΚΛ τῷ μεγέθει. ἔστι δὲ καὶ τῷ εἴδει, ὅμοιον γάρ ἐστι τῷ ΓΒ· τοῦ ΚΛ ἄρα αἱ πλευραὶ δεδομέναι εἰσὶ τῷ μεγέθει· δοθεῖσα ἄρα ἐστὶν ἡ ΚΘ. καὶ ἡ ΚΓ δοθεῖσά ἐστιν, ἴση γάρ ἐστι τῇ ΖΕ· λοιπὴ ἄρα ἡ ΓΘ δοθεῖσά ἐστι, καὶ λόγον ἔχει πρὸς τὸ ΘΒ δοθέντα· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ ΘΒ.

PROP. LX.

Si datum specie & magnitudine parallelogrammum dato gnomone augeatur, aut minuatur; latitudines gnomonis datæ sunt.

PArallelogrammum enim ΑΒ specie & magnitudine datum augeatur primum dato gnomone ΕΓΒΔΖΗ: dico utramque rectarum ΓΒ, ΔΖ datam esse.

Quoniam enim datum est ΑΒ, est & gnomon ΕΓΒΔΖΗ datus; igitur spatium totum ΑΗ datum est. sed & specie datum est ΑΗ; est enim [per 26. 6.] simile ipsi ΑΒ: igitur [per 55. dat.] ipsius ΑΗ latera data sunt: quare utraque rectarum ΑΕ, ΑΖ data est. utraque autem rectarum ΓΑ, ΑΔ data est: reliqua igitur, nempe utraque rectarum ΕΓ, ΔΖ, [per 4. dat.] data est.



RURSUS vero parallelogrammum ΑΗ, specie & magnitudine datum, minuatur dato gnomone ΕΓΒΔΖΗ: dico datam esse utramque rectarum ΓΕ, ΔΖ.

Quoniam enim datum est ΑΗ, cujus gnomon ΕΓΒΔΖΗ datus est: igitur [per 4. dat.] reliquum ΑΒ magnitudine datum est. sed & specie datum est; etenim [per 26. 6.] simile est ipsi ΗΑ; latera igitur ipsius ΑΒ [per 55. dat.] data sunt: adeoque utraque rectarum ΓΑ, ΑΔ data est. utraque autem rectarum ΕΑ, ΑΖ [ex

ΠΡΟΤΑΣΙΣ ξ'.

Ἐὰν παραλληλόγραμμον δεδομένον τῷ εἴδει καὶ τῷ μεγέθει δεδομένῳ γνώμονι αὐξηθῇ ἢ μειωθῇ, δέδονται καὶ τὰ πλάτη τοῦ γνώμονος.

ΠΑραλληλόγραμμον γὰρ τὸ ΑΒ δεδομένον τῷ εἴδει καὶ τῷ μεγέθει αὐξήσθω πρότερον δεδομένῳ γνώμονι τῷ ΕΓΒΔΖΗ· λέγω ὅτι δοθεῖσαί εἰσιν ἑκατέρα τῶν ΓΕ, ΔΖ.

Ἐπεὶ γὰρ δοθὲν ΑΒ, ἔστι δὲ καὶ ὁ ΕΓΒΔΖΗ γνώμων δοθείς· καὶ ὅλον ἄρα τὸ ΑΗ δοθέν ἐστι. ἀλλὰ καὶ τῷ εἴδει, ὅμοιον γάρ ἐστι τῷ ΑΒ· τοῦ ΑΗ ἄρα δεδομέναι εἰσὶν αἱ πλευραί· δοθεῖσαι ἄρα ἐστὶν ἑκατέρα τῶν ΑΕ, ΑΖ. ἔστι δὲ καὶ ἑκατέρα τῶν ΓΑ, ΑΔ δοθεῖσαι· λοιπὴ ἄρα ἑκατέρα τῶν ΕΓ, ΖΔ δοθεῖσά ἐστιν.

ΠΑΛΙΝ δὴ ἐλαττονέσθω τὸ ΑΗ δεδομένον τῷ εἴδει καὶ τῷ μεγέθει μεμειώσθω δεδομένῳ γνώμονι τῷ ΕΓΒΔΖΗ· λέγω ὅτι δοθεῖσά ἐστιν ἑκατέρα τῶν ΓΕ, ΔΖ.

Ἐπεὶ γὰρ δοθέν ἐστι τὸ ΑΗ, οὗ ὁ ΕΓΒΔΖΗ γνώμων δοθείς ἐστι· λοιπὸν ἄρα τὸ ΑΒ δοθέν ἐστιν. ἀλλὰ καὶ τῷ εἴδει, ὅμοιον γάρ ἐστι τῷ ΗΑ· τοῦ ΑΒ ἄρα δεδομέναι εἰσὶν αἱ πλευραί· δοθεῖσαι ἄρα ἐστὶν ἑκατέρα τῶν ΓΑ, ΑΔ. ἔστι δὲ καὶ ἑκατέρα τῶν ΕΑ,

ΑΖ

Α Ζ δοθεῖσαι· καὶ λοιπὴ ἄρα ἑκατέρα τῶν ΕΓ, ΔΖ δοθεῖσά ἐστιν.

hyp.] data est: reliqua igitur, nempe utraque rectarum ΕΓ, ΔΖ, [per 4. dat.] data est.

ΠΡΟΤΑΣΙΣ ξά'.

Ἐὰν δεδομένῳ τῷ εἴδει εἴδους παρὰ μίαν τῶν πλευρῶν παραλληλόγραμμον χωρίον παραβληθῇ ἐν δεδομένῃ γωνίᾳ, ἔχῃ δὲ τὸ εἶδος πρὸς τὸ παραλληλόγραμμον λόγον δεδομένον· δέδοται τὸ παραλληλόγραμμον τῷ εἴδει.

PROP. LXI.

Si ad datæ ſpecie figuræ unum latus applicetur ſpatium parallelogrammum in angulo dato, habeat autem data figura ad parallelogrammum rationem datam; parallelogrammum ipſum ſpecie datum eſt.

Δεδομένῳ γὰρ τῷ εἴδει εἴδους τοῦ ΑΖΓΒ παρὰ μίαν τῶν πλευρῶν τὴν ΓΒ παραλληλόγραμμον χωρίον παραβεβλήσθω τὸ ΓΔ ἐν δεδομένῃ γωνίᾳ τῇ ὑπὸ ΛΓΒ, λόγος δὲ ἔστω τοῦ ΑΓ εἴδους πρὸς τὸ ΓΔ δοθείς· λέγω ὅτι δέδοται τὸ ΓΔ τῷ εἴδει.

Ἠχθω γὰρ ἀφ' μὲν τοῦ Β τῇ ΖΓ παράλληλος ἡ ΒΗ, ἀφ' δὲ τοῦ Ζ τῇ ΓΒ παράλληλος ΖΗ, καὶ διήχθωσαν αἱ ΖΓ, ΗΒ ἐπὶ τὰ Κ, Θ σημεῖα. ἐπεὶ οὖν δοθεῖσά ἐστιν ἡ ὑπὸ ΖΓΒ γωνία καὶ λόγος ἐστὶ τοῦ ΖΓ πρὸς τὴν ΓΒ δοθείς· δοθὲν ἄρα ἐστὶ τὸ ΖΒ παραλληλόγραμμον τῷ εἴδει. δέδοται δὲ τῷ εἴδει τὸ ΑΖΓΒ εἶδος, καὶ ἀναγέγραπται ἀπὸ τῆς αὐτῆς εὐθείας τοῦ ΓΒ παραλληλόγραμμον δεδομένον τῷ εἴδει τὸ ΖΒ· λόγος ἄρα ἐστὶ τοῦ ΑΓΖΒ εἴδους πρὸς τὸ ΖΒ παραλληλόγραμμον δοθείς. τοῦ δὲ ΑΓΖΒ πρὸς τὸ ΓΔ λόγος ἐστὶ δοθείς, ἐπειδὴ ὑπόκειται, ἴσον δὲ τὸ ΓΔ τῷ ΚΒ· λόγος ἄρα καὶ τοῦ ΚΒ πρὸς τὸ ΓΗ δοθείς, ὥστε καὶ τοῦ ΖΓ πρὸς τὴν ΓΚ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ΖΓ πρὸς τὴν ΓΒ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΒΓ ἄρα πρὸς τὴν ΓΚ λόγος ἐστὶ δοθείς. ἐπεὶ δοθεῖσαί εἰσιν ἡ ὑπὸ ΖΓΒ γωνία· καὶ ἡ ἐφεξῆς ἄρα ἡ ὑπὸ ΒΓΚ δοθεῖσά ἐστιν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΓΛ γωνία δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ ΛΓΚ ἐστὶ δοθεῖσα. ἔστι δὲ καὶ ἡ ὑπὸ ΛΚΓ γωνία δοθεῖσα, ἴση γὰρ ἐστὶ τῇ ὑπὸ ΚΓΒ· λοιπὴ ἄρα ΓΛΚ ἐστὶ δοθεῖσα· δέδοται ἄρα τὸ ΛΚΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τοῦ ΛΓ πρὸς τὴν ΓΚ δοθείς. τῆς δὲ ΓΚ πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΛΓ ἄρα πρὸς τὴν ΓΒ λόγος ἐστὶ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΛΓΒ γωνία· δέδοται ἄρα τὸ ΓΔ παραλληλόγραμμον τῷ εἴδει.



AD unum enim latus ΓΒ datæ ſpecie figuræ ΑΖΓΒ applicetur parallelogrammum ſpatium ΓΔ in angulo dato ΛΓΒ, ſitque ratio figuræ ΑΓ ad parallelogrammum ΓΔ data: dico ipſum ΓΔ ſpecie datum eſſe.

Agatur enim [per 31. 1.] per punctum Β ipſi ΖΓ parallela ΒΗ, per punctum autem Ζ ipſi ΓΒ parallela ΖΗ, & producantur ΖΓ, ΗΒ ad puncta Κ, Θ. quoniam itaque [per 3. def. dat.] datus eſt angulus ΖΓΒ, & ratio ipſius ΖΓ ad ΓΒ data eſt; parallelogrammum ΖΒ ſpecie datum eſt. eſt autem figura ΑΖΓΒ ſpecie data, atque deſcriptum eſt ab eadem recta ΓΒ datum ſpecie parallelogrammum ΖΒ: quare [per 49. dat.] ratio figuræ ΑΓΖΒ ad parallelogrammum ΖΒ data eſt. data autem eſt ratio ipſius ΑΓΖΒ ad ΓΔ, quoniam ita ſupponitur; eſt etiam [per 35. 1.] ΓΔ æquale ipſi ΚΒ: quare [per 8. dat.] & ratio ipſius ΚΒ ad ΓΗ data eſt; adeoque [per 1. 6.] & ratio rectæ ΖΓ ad ΓΚ data eſt. ipſius autem ΖΓ ad ΓΒ [per 3. def. dat.] data eſt ratio; ergo [per 8. dat.] & ratio ipſius ΒΓ ad ΓΚ data eſt. quoniam vero datus eſt angulus ΖΓΒ, etiam [per 13. 1. & 4. dat.] & qui deinceps eſt angulus ΒΓΚ datus eſt. angulus autem ΒΓΛ [ex hyp.] datus eſt: reliquus igitur ΛΓΚ [per 4. dat.] datus eſt. angulus item ΛΚΓ datus eſt; æqualis enim eſt [per 29. 1.] angulo ΚΓΒ: ergo reliquus angulus ΓΛΚ [per 32. 1. & 4. dat.] datus eſt: triangulum igitur ΛΚΓ [per 40. dat.] ſpecie datum eſt: quare [per 3. def. dat.] ratio ipſius ΛΓ ad ΓΚ data eſt. ipſius autem ΓΚ ad ΒΓ data eſt ratio: igitur [per 1. dat.] & ratio ipſius ΛΓ ad ΓΒ data eſt. & datus eſt [ex hyp.] angulus ΛΓΒ: itaque [per 3. def. dat.] parallelogrammum ΓΔ ſpecie datum eſt.

ΠΡΟΤΑΣΙΣ ξϐ'.

Ἐὰν δύο εὐθεῖαι τοὺς ἀλλήλας λόγον ἔχωσι δεδομένον, καὶ ἀναγραφῇ ἀπὸ μιᾶς δεδομένον τῷ εἴδει εἶδος, ἀπὸ δὲ τῆς ἑτέρας χωρίον παραλληλόγραμμον ὁμοίως δεδομένῃ γωνίᾳ, ἔχῃ δὲ

PROP. LXII.

Si duæ rectæ ad invicem habeant rationem datam, & ab una quidem data ſpecie figura deſcripta ſit, ab altera autem ſpatium parallelogrammum in angulo dato, habeat etiam figura

gura ad parallelogrammum rationem datam; parallelogrammum ipſum ſpecie datum eſt.

τὸ εἶδος πρὸς τὸ παραλληλόγραμμον λόγον δεδομένον· δίδοται τὸ παραλληλόγραμμον τῷ εἴδει.

DUÆ enim rectæ AB, ΓΔ habeant ad invicem rationem datam, & deſcribatur à recta quidem AB data ſpecie figura AEB, à recta autem ΓΔ parallelogrammum ΔZ in angulo ZΓΔ dato, ſit etiam ratio ipſius AEB ad parallelogrammum ZΔ data: dico parallelogrammum ΔZ ſpecie datum eſſe.

ΔΥΟ γὰρ εὐθεῖαι αἱ AB, ΓΔ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον, καὶ ἀναγεγράφθω ἀπὸ μὲν τῆς AB δεδομένον τῷ εἴδει εἶδος τὸ AEB, ἀπὸ δὲ τῆς ΓΔ παραλληλόγραμμον τὸ ΔZ ἐν δεδομένῃ γωνίᾳ τῇ ὑπὸ ZΓΔ, λόγος δὲ ἔστω ὃν τὸ AEB εἶδος πρὸς τὸ ZΔ παραλληλόγραμμον δοθείς· λέγω ὅτι δέδοται τὸ ΔZ παραλληλόγραμμον τῷ εἴδει.

Deſcribatur enim [per 18.6.] à recta AB ipſi ZΔ ſimile ſimiliterque poſitum parallelogrammum AH. quoniam igitur ratio ipſius AB ad ΓΔ data eſt, atque deſcripta ſunt à rectis AB, ΓΔ ſimilia ſimiliterque poſita rectilinea AH, ZΔ; ratio ipſius AH ad ZΔ [per 50. dat.] data eſt. ratio autem ipſius ZΔ ad AEB [ex hyp.] data eſt: quare [per 8 dat.] & ratio ipſius AEB ad AH data eſt. ſed & datus eſt angulus ABH; ſiquidem æqualis eſt [per conſtr.] angulo ZΓΔ: quoniam igitur figura AEB ſpecie data eſt, & ad unum ejus latus AB applicatum eſt parallelogrammum AH in angulo dato ABH; & ratio figuræ AEB ad parallelogrammum AH [per 49.dat.] data eſt; ipſum igitur AH [per 61.dat.] ſpecie datum eſt. ſimile autem eſt [per conſtr.] ipſi ZΔ: quare & parallelogrammum ZΔ [per 3. def. dat.] ſpecie datum eſt.



Αναγεγράφθω γὰρ ἀπὸ τῆς AB τῷ ZΔ ὅμοιον καὶ ὁμοίως κείμενον εὐθύγραμμον τὸ AH. καὶ ἐπεὶ λόγος τῆς AB πρὸς τὴν ΓΔ δοθείς ἐστι, καὶ ἀναγέγραπται ἀπὸ τῶν AB, ΓΔ ὅμοια καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ AH, ZΔ· λόγος ἄρα ἐστὶ τοῦ AH πρὸς τὸ ZΔ δοθείς. ἀλλὰ τὸ ZΔ πρὸς τὸ AEB λόγος ἐστὶ δοθείς· καὶ τοῦ AEB ἄρα πρὸς τὸ AH λόγος ἐστὶ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ABH γωνία, ἴση γὰρ ἐστὶ τῇ ὑπὸ ZΓΔ· ἐπεὶ οὖν δεδομένῳ τῷ εἴδει εἶδος τὸ AEB παραβέβληται μίαν τῶν πλευρῶν τὴν AB παραβεβλημένον τὸ AH ἐν δεδομένῃ γωνίᾳ τῇ ὑπὸ ABH, καὶ λόγος ἐστὶ τοῦ AEB εἴδους πρὸς τὸ AH παραλληλόγραμμον δοθείς· δέδοται ἄρα τὸ AH τῷ εἴδει. καὶ ἔστιν ὅμοιον τῷ ZΔ· δέδοται ἄρα καὶ τὸ ZΔ τῷ εἴδει.

PROP. LXIII.

ΠΡΟΤΑΣΙΣ ξγ'.

Si triangulum ſit ſpecie datum; quod ab unoquoque laterum deſcribitur quadratum ad triangulum habebit rationem datam.

Ἐὰν τρίγωνον τῷ εἴδει δεδομένον ᾖ, τὸ ἀπὸ ἑκάστης τῶν πλευρῶν αὐτοῦ τετράγωνον πρὸς τὸ τρίγωνον λόγον ἔξει δεδομένον.

SIT triangulum ABΓ ſpecie datum, & deſcribantur ab unoquoque laterum ipſius quadrata EB, ΓΔ, ΓZ: dico unumquodque quadratorum EB, ΓΔ, ΓZ ad triangulum ABΓ rationem datam habere.



Ἔστω τρίγωνον δεδομένον τῷ εἴδει τὸ ABΓ, καὶ ἀναγεγράφθω ἀπὸ ἑκάστης τῶν πλευρῶν αὐτοῦ τετράγωνα τὰ EB, ΓΔ, ΓZ· λέγω ὅτι ἑκάστου τῶν EB, ΓΔ, ΓZ πρὸς τὸ ABΓ τρίγωνον λόγον ἔξει δεδομένον.

Quoniam enim ab eadem recta BΓ rectilinea quædam ſpecie data deſcripta ſunt ABΓ, ΓΔ; igitur [per 49.dat.] ratio ipſius ABΓ

Ἐπεὶ γὰρ ἀπὸ τῆς αὐτῆς εὐθείας τῆς BΓ εὐθύγραμμα δεδομένα τῷ εἴδει ἀναγέγραπται τά τε ABΓ, ΓΔ· λόγος ἄρα τοῦ ABΓ

πρὸς

πρὸς τὸ ΓΔ δοθείς. Διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ΕΒ, ΖΓ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγον ἔξει δοθείς.

ad ΓΔ data est. similiter quoque utriusque quadratorum ΕΒ, ΖΓ ad triangulum ΑΒΓ ratio data est.

ΠΡΟΤΑΣΙΣ ξδ'.

Ἐὰν τρίγωνον ἀμβλεῖαν ἔχῃ γωνίαν δεδομένην· ᾧ μεῖζον δυνάται ἡ τὴν ἀμβλεῖαν γωνίαν ὑποτείνουσα πλευρὰ τῆς τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ τρίγωνον λόγον ἔξει δεδομένον.

Prop. LXIV.

Si triangulum angulum obtusum datum habeat; illud spatium, quo latus angulum obtusum subtendens magis potest quam latera obtusum angulum ambientia, ad triangulum habebit rationem datam.

Ἔστω τρίγωνον ἀμβλυγώνιον τὸ ΑΒΓ, ἀμβλεῖαν ἔχον γωνίαν τὴν ὑπὸ ΑΒΓ δεδομένην, καὶ διήχθω ἐπ' εὐθείας τῇ ΒΓ εὐθεῖα ἡ ΒΔ, καὶ ἤχθω ἀπὸ τοῦ Α ἐπὶ τὴν ΔΓ κάθετος ἡ ΑΔ· λέγω ὅτι ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τοῦ ἀπὸ τῶν ΑΒ, ΒΓ, τουτέστι τὸ δὶς ὑπὸ τῶν ΔΒ, ΒΓ, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ ΑΒΓ τρίγωνον λόγον ἔχει δεδομένον.

Sit triangulum obtusangulum ΑΒΓ, quod angulum obtusum ΑΒΓ datum habeat; & producatur in directum ipsi ΒΓ recta ΒΔ, & à puncto Α ad rectam ΔΓ perpendicularis agatur ΑΔ: dico quod spatium, quo quadratum rectæ ΑΓ excedit quadrata rectarum ΑΒ, ΒΓ, hoc est rectangulum quod bis continetur sub ΔΒ, ΒΓ, ad triangulum ΑΒΓ habebit rationem datam.

Ἐπεὶ γὰρ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία, καὶ ἡ ὑπὸ ΑΒΔ δοθεῖσά ἐστιν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΔΒ δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΑΒ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΔ τρίγωνον τῷ εἴδει· λόγον ἄρα τῆς ΑΔ πρὸς τὴν ΔΒ δοθείς. ἔστιν ὡς ἡ ΑΔ πρὸς τὴν ΔΒ οὕτως τὸ ὑπὸ τῶν ΑΔ, ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΔΒ, ΒΓ· λόγον ἄρα καὶ τὸ ὑπὸ τῶν ΑΔ, ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΔΒ, ΒΓ δοθείς· καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν ΔΒ, ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΑΔ, ΒΓ δοθείς. ἀλλὰ τὸ ὑπὸ τῶν ΑΔ, ΒΓ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς· καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν ΔΒ, ΒΓ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς. καὶ ἔστι τὸ δὶς ὑπὸ τῶν ΔΒ, ΒΓ ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τοῦ ἀπὸ τῶν ΑΒ, ΒΓ· ἐκεῖνο ἄρα τὸ χωρίον πρὸς τὸ ΑΒΓ τρίγωνον λόγον ἔχει δεδομένον.



Quoniam enim angulus ΑΒΓ datus est, etiam & ΑΒΔ [per 13.1. & 4.dat.] datus erit. verum & est angulus ΑΔΒ datus; igitur [per 32. 1. & 4. dat.] & reliquus ΔΑΒ datus erit: quare [per 40. dat.] & triangulum ΑΒΔ specie datum est: ratio igitur ipsius ΑΔ ad ΔΒ [per 3. def.dat.] data est. estque [per 1. 6.] ut ΑΔ ad ΔΒ ita quod continetur sub ΑΔ, ΒΓ ad id quod sub ΔΒ, ΒΓ continetur: ergo ratio ejus quod continetur sub ΑΔ, ΒΓ ad id quod sub ΔΒ, ΒΓ continetur data est: quare ratio ejus quod bis continetur sub ΔΒ, ΒΓ ad id quod continetur sub ΑΔ, ΒΓ data est. sed [per 41. 1.] id quod continetur sub ΑΔ, ΒΓ ad triangulum ΑΒΓ habet rationem datam: itaque [per 8. dat.] ratio ejus quod bis continetur sub ΔΒ, ΒΓ ad triangulum ΑΒΓ data est. quod vero bis continetur sub ΔΒ, ΒΓ [per 12. 2.] est spatium quo quadratum rectæ ΑΓ excedit quadrata rectarum ΑΒ, ΒΓ: igitur spatium istud ad triangulum ΑΒΓ rationem habet datam.

ΠΡΟΤΑΣΙΣ ξε'.

Ἐὰν τρίγωνον ὀξεῖαν ἔχῃ γωνίαν δεδομένην· ᾧ ἔλασσον δύναται ἡ τὴν ὀξεῖαν γωνίαν ὑποτείνουσα πλευρὰ τῆς τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν πλευρῶν, ἐκεῖνο χωρίον πρὸς τὸ τρίγωνον λόγον ἔξει δεδομένον.

Prop. LXV.

Si triangulum angulum acutum datum habeat; illud spatium, quo latus angulum acutum subtendens minus potest quam latera angulum acutum ambientia, habebit ad triangulum rationem datam.

Ἔστω τρίγωνον ὀξυγώνιον τὸ ΑΒΓ, ὀξεῖαν ἔχον γωνίαν δεδομένην τὴν ὑπὸ ΑΒΓ, ᾗ ἤχθω ἀπὸ τοῦ Α ἐπὶ τὴν ΒΓ κάθετος ΑΔ· λέγω ὅτι ᾧ ἔλασσόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ, τουτέστι τὸ δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ, πρὸς τὸ ΑΒΓ τρίγωνον λόγον ἔχει δεδομένον.

Sit triangulum acutangulum ΑΒΓ, quod datum angulum acutum habeat ΑΒΓ; & agatur à puncto Α ad ΒΓ perpendicularis ΑΔ: dico quod spatium, quo minus est quadratum rectæ ΑΓ quam quadrata linearum ΑΒ, ΒΓ, hoc est id quod bis continetur sub ΓΒ, ΒΔ, habet ad triangulum ΑΒΓ rationem datam.

Quoniam enim angulus A B Δ [ex hyp.] datus eſt, eſtque etiam angulus A Δ B datus; reliquus igitur B A Δ [per 32. 1. & 4. dat.] datus eſt: itaq; [per 40. dat.] triangulum A B Δ ſpecie datum eſt: quare [per 3. def. dat.] ratio ipſius B Δ ad Δ A data eſt: ideoque [per 1. 6.] & ejus quod continetur ſub Γ B, B Δ ad id quod continetur ſub Γ B, A Δ data eſt ratio: ergo & ejus quod bis continetur ſub Γ B, B Δ ad id quod ſub Γ B, A Δ data eſt ratio. ſed [per 41. 1.] ejus quod continetur ſub B Γ, A Δ ad triangulum A B Γ data ratio eſt: quare [per 8. dat.] & ejus quod bis continetur ſub Γ B, B Δ ad triangulum A B Γ ratio eſt data. verum [per 13. 2.] quod bis continetur ſub Γ B, B Δ eſt id quo quadratum rectæ A Γ minus eſt quam quadrata rectarum A B, B Γ: igitur illud ſpatium, quo minus eſt quadratum rectæ A Γ quam quadrata rectarum A B, B Γ, ad triangulum A B Γ habebit rationem datam.



Επὶ γὰρ δοθεῖσά ἐστιν ἡ ὑπὸ Α Β Δ γωνία, ἐστὶ δὲ καὶ ἡ ὑπὸ Α Δ Β δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ Β Α Δ ἐστὶ δοθεῖσα· δέδοται ἄρα τὸ Α Β Δ τρίγωνον τῷ εἴδει· λόγον ἄρα τῆς Β Δ πρὸς τὴν Δ Α δοθείς· ὥστε καὶ τὸ ὑπὸ τῶν Γ Β, Β Δ πρὸς τὸ ὑπὸ τῶν Γ Β, Α Δ λόγον ἐστὶ δοθείς· ᾧ τὸ δὶς ὑπὸ τῶν Γ Β, Β Δ ἄρα πρὸς τὸ ὑπὸ τῶν Γ Β, Α Δ λόγος ἐστὶ δοθείς. ἀλλὰ καὶ τὸ ὑπὸ τῶν Β Γ, Α Δ πρὸς τὸ Α Β Γ τρίγωνον λόγος ἐστὶ δοθείς· καὶ τὸ δὶς ὑπὸ τῶν Γ Β, Β Δ ἄρα πρὸς τὸ Α Β Γ τρίγωνον λόγος ἐστὶ δοθείς. καὶ ἔστι τὸ δὶς ὑπὸ τῶν Γ Β, Β Δ ᾧ ἔλασσόν ἐστι τὸ ἀπὸ τῆς Α Γ τῶν ἀπὸ τῶν Α Β, Β Γ· ᾧ ἄρα ἔλασσόν ἐστι τὸ ἀπὸ τῆς Α Γ τῶν ἀπὸ τῶν Α Β, Β Γ, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ Α Β Γ τρίγωνον λόγον ἔχει δεδομένον.

PROP. LXVI.

Si triangulum habuerit angulum datum; quod ſub rectis datum angulum comprehendentibus continetur rectangulum habebit ad triangulum rationem datam.

SIT triangulum A B Γ, quod datum angulum habeat ad A: dico rectangulum ſub B A, A Γ comprehenſum habere ad triangulum A B Γ rationem datam.

Agatur enim [per 12. 1.] à puncto B ad rectam A Γ perpendicularis B Δ. quoniam itaque angulus B A Γ datus eſt, atque etiam angulus B Δ A datus eſt; reliquus quoque A B Δ [per 32. 1. & 4. dat.] datus eſt: ergo [per 40. dat.] triangulum A B Δ ſpecie datur; quare ipſius A B ad B Δ data eſt ratio. ut autem A B ad B Δ ita [per 1. 6.] rectangulum ſub B A, A Γ ad rectangulum ſub B Δ, A Γ: igitur rectanguli ſub B A, A Γ ad rectangulum ſub B Δ, A Γ ratio eſt data. atqui rectanguli ſub B Δ, A Γ ad triangulum A B Γ data eſt ratio: igitur [per 8. dat.] ratio rectanguli ſub B A, A Γ ad triangulum A B Γ data eſt.



ΠΡΟΤΑΣΙΣ ξς'.

Εὰν τρίγωνον δεδομένην ἔχῃ γωνίαν· τὸ ὑπὸ τῶν τὴν δεδομένην γωνίαν περιεχουσῶν εὐθειῶν ὀρθογώνιον πρὸς τὸ τρίγωνον λόγον ἔξει δεδομένον.

Ἔστω τρίγωνον τὸ Α Β Γ δεδομένην ἔχον γωνίαν τὴν πρὸς τῷ Α· λέγω ὅτι τὸ ὑπὸ τῶν Β Α, Α Γ πρὸς τὸ Α Β Γ τρίγωνον λόγον ἔχει δεδομένον.

Ηχθω γὰρ ἀπὸ τοῦ Β ἐπὶ τὴν Α Γ κάθετος ἡ Β Δ. ἐπεὶ οὖν δοθεῖσά ἐστιν ἡ ὑπὸ Β Α Γ γωνία, ἐστὶ δὲ καὶ ἡ ὑπὸ Β Δ Α δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ Α Β Δ γωνία δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ Α Β Δ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τοῦ Α Β πρὸς τὴν Β Δ δοθείς. ὡς δὲ ἡ Α Β πρὸς τὴν Β Δ οὕτως τὸ ὑπὸ τῶν Β Α, Α Γ πρὸς τὸ ὑπὸ τῶν Β Δ, Α Γ· καὶ τὸ ὑπὸ τῶν Β Α, Α Γ ἄρα πρὸς τὸ ὑπὸ τῶν Β Δ, Α Γ λόγος ἐστὶ δοθείς· τῷ δὲ ὑπὸ τῶν Β Δ, Α Γ πρὸς τὸ Α Β Γ τρίγωνον λόγος ἐστὶ δοθείς· καὶ τὸ ὑπὸ τῶν Β Α, Α Γ ἄρα πρὸς τὸ Α Β Γ τρίγωνον λόγος ἐστὶ δοθείς.

PROP. LXVII.

Si triangulum habuerit angulum datum; illud ſpatium, quo duo datum angulum comprehendentia latera, tanquam una recta, plus poſſunt quam quadratum à reliquo latere, ad triangulum habebit rationem datam.

SIT triangulum A B Γ, quod angulum B A Γ datum habeat: dico quod illud ſpatium, quo

ΠΡΟΤΑΣΙΣ ξζ'.

Εὰν τρίγωνον δεδομένην ἔχῃ γωνίαν· ᾧ μεῖζον δύναται αἱ τὴν δεδομένην γωνίαν περιέχουσαι πλευραί, ὡς μία, ἀφ' ἧς ἀπὸ τῆς λοιπῆς, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ τρίγωνον λόγον ἔξει δεδομένον.

Ἔστω τρίγωνον τὸ Α Β Γ δεδομένην ἔχον γωνίαν τὴν ὑπὸ Β Α Γ· λέγω ὅτι ᾧ μεῖζόν ἐστι

τὸ

τὸ ἀπὸ συναμφοτέρᾳ τῆς ΒΑΓ τῷ ἀπὸ τῆς ΒΓ, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ ΑΒΓ τρίγωνον λόγον ἔξει δεδομένον.

majus est quadratum abs simul utraque ΒΑΓ quam quadratum à recta ΒΓ, ad triangulum ΑΒΓ habebit rationem datam.

Διήχθω γὰρ ἐπ' εὐθείας τῆς ΒΑ εὐθεῖα ἡ ΑΔ, καὶ κείσθω τῇ ΑΓ ἴση ἡ ΑΔ, καὶ ἐπιζευχθεῖσα ἡ ΔΓ διήχθω ἐπὶ τὸ Ε, καὶ ἤχθω διὰ τοῦ Β τῇ ΑΓ παράλληλος ἡ ΒΕ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΑΓ· ἴση ἄρα ἐστὶ καὶ ἡ ΔΒ τῇ ΒΕ. καὶ διῆκται ἡ ΒΓ· τὸ ἄρα ὑπὸ τῶν ΔΓ, ΓΕ μετὰ τοῦ ἀπὸ τῆς ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΔ. ἴση δὲ ἡ ΔΑ τῇ ΑΓ· τὸ ἄρα ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΓ, ΓΕ μετὰ τοῦ ὑπὸ τῆς ΒΓ· ὥστε τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ, τουτέστιν τὸ ἀπὸ τῆς ΒΔ, τοῦ ἀπὸ τῆς ΒΓ μεῖζον εἶναι τῷ ὑπὸ τῶν ΔΓ, ΓΕ. λέγω δὴ ὅτι τοῦ ὑπὸ τῆς ΔΓ, ΓΕ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς. ἐπεὶ γὰρ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία, ἡ ἐφεξῆς ἄρα ἡ ὑπὸ ΔΑΓ ἐστὶ δοθεῖσα. ἐστὶ δὲ καὶ ἑκατέρα τῶν ὑπὸ ΑΔΓ, ΔΓΑ δοθεῖσα, ἑκατέρα γὰρ αὐτῶν ἡμίσειά ἐστι τῆς ὑπὸ ΒΑΓ δεδομένης ὅλης· δέδοται ἄρα τὸ ΔΑΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τοῦ ΑΔ πρὸς τὸν ΔΓ δοθείς· ὥστε καὶ τοῦ ἀπὸ τοῦ ΑΔ πρὸς τὸ ἀπὸ τῆς ΔΓ λόγος ἐστὶ δοθείς. καί ἐστιν ὡς ἡ ΒΑ πρὸς τὸν ΑΔ ἕτως ἡ ΕΓ πρὸς τὴν ΓΔ, ἀλλ' ὡς μὲν ἡ ΒΑ πρὸς τὴν ΑΔ ἕτως τὸ ὑπὸ τῶν ΒΑ, ΑΔ πρὸς τὸ ἀπὸ τῆς ΑΔ, ὡς δὲ ἡ ΕΓ πρὸς τὴν ΓΔ ἕτως τὸ ὑπὸ τῶν ΕΓ, ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΓΔ· καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν ΒΑ, ΑΔ πρὸς τὸ ἀπὸ τοῦ ΑΔ ἕτως τὸ ὑπὸ τῶν ΕΓ, ΓΔ πρὸς τὸ ἀπὸ τοῦ ΓΔ· καὶ συναλλὰξ ἄρα ὡς τὸ ὑπὸ τῶν ΒΑ, ΑΔ πρὸς τὸ ὑπὸ τῶν ΕΓ, ΓΔ ἕτως τὸ ἀπὸ τοῦ ΑΔ πρὸς τὸ ἀπὸ τοῦ ΓΔ. λόγος δὲ τοῦ ἀπὸ τοῦ ΑΔ πρὸς τὸ ἀπὸ τῆς ΓΔ δοθείς· λόγος ἄρα καὶ τοῦ ὑπὸ τῶν ΒΑ, ΑΔ πρὸς τὸ ὑπὸ τῶν ΕΓ, ΓΔ δοθείς. ἴση δὲ ἡ ΔΑ τῇ ΑΓ· λόγος ἄρα καὶ τοῦ ὑπὸ τῶν ΒΑ, ΑΓ πρὸς τὸ ὑπὸ τῶν ΕΓ, ΓΔ δοθείς. τοῦ δὲ ὑπὸ τῶν ΒΑ, ΑΓ πρὸς τὸ ΒΑΓ τρίγωνον λόγος ἐστὶ δοθείς, διὰ τὸ δοθεῖσαν εἶναι τὴν ὑπὸ ΒΑΓ γωνίαν· καὶ τοῦ ὑπὸ τῶν ΕΓ, ΓΔ ἄρα πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς. καί ἐστι τὸ ὑπὸ τῶν ΔΓ, ΓΕ ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ τοῦ ἀπὸ

Producatur enim in directum ipsi ΒΑ recta ΑΔ, & [per 3. 1.] fiat ipsi ΑΓ æqualis ΑΔ, & connexa recta ΔΓ producatur ad punctum Ε; & [per 31. 1.] agatur per punctum Β ipsi ΑΓ parallela ΒΕ. & quoniam æqualis est ΑΔ ipsi ΑΓ: æqualis quoque [per 4.6. & 14.5.] est ΔΒ ipsi ΒΕ. educta autem est quædam recta ΒΓ: igitur * quod continetur sub ΔΓ, ΓΕ una cum quadrato rectæ ΒΓ æquale est quadrato rectæ ΒΔ. est autem ΔΑ ipsi ΑΓ æqualis: ergo quod ab utraque simul ΒΑΓ quadratum æquale est est ei quod continetur sub ΔΓ, ΓΕ. una cum quadrato rectæ ΒΓ; ideoque & quod ab utraque simul ΒΑΓ, hoc est quadratum à recta ΒΔ, majus est quam quadratum rectæ ΒΓ eo quod continetur sub ΔΓ, ΓΕ. dico jam quod ratio rectanguli sub ΔΓ, ΓΕ ad triangulum ΑΒΓ data est. quoniam enim datus est angulus ΒΑΓ; & qui deinceps est ΔΑΓ [per 13. 1. & 4. dat.] datus est. uterque autem angulorum ΑΔΓ, ΔΓΑ datus est; etenim [per 5. & 32. 1.] uterque dimidius est anguli ΒΑΓ, qui [ex hyp.] datus est: quare [per 40. dat.] triangulum ΔΑΓ specie datum est: ergo [per 3. def. dat.] ratio ipsius ΑΔ ad ΔΓ data est: ideoque [per 50. dat.] & ejus quod à recta ΑΔ ad id quod à ΔΓ describitur quadratum ratio est data. quoniam vero [per 2. 6.] ut ΒΑ ad ΑΔ ita est ΕΓ ad ΓΔ; atque [per 1. 6.] ut ΒΑ quidem ad ΑΔ ita rectangulum sub ΒΑ, ΑΔ ad quadratum rectæ ΑΔ; atq; etiam ut ΕΓ ad ΓΔ ita rectangulum sub ΕΓ, ΓΔ ad quadratum rectæ ΓΔ: erit igitur ut rectangulum sub ΒΑ, ΑΔ ad quadratum ex ΑΔ ita rectangulum sub ΕΓ, ΓΔ ad quadratum ex ΓΔ; ideoque permutando [per 16.5.] ut id quod continetur sub ΒΑ, ΑΔ ad id quod continetur sub ΕΓ, ΓΔ ita erit quod à recta ΑΔ ad id quod à recta ΓΔ describitur quadratum. ratio autem quadrati rectæ ΑΔ ad quadratum rectæ ΔΓ data est: igitur & ratio ejus quod continetur sub ΒΑ, ΑΔ ad id quod sub ΕΓ, ΓΔ continetur data est. æqualis autem est [per constr.] ΔΑ ipsi ΑΓ: igitur & ratio ejus quod continetur sub ΒΑ, ΑΓ ad id quod sub ΕΓ, ΓΔ continetur data est. ratio autem rectanguli sub ΒΑ, ΑΓ ad triangulum ΒΑΓ [per 66.dat.] data est, quia datus est angulus ΒΑΓ: quare [per 8.dat.] & ratio rectanguli sub ΕΓ, ΓΔ ad triangulum ΑΒΓ data est. & est [per supra ostensa] rectangulum sub ΔΓ, ΓΕ id quo quadratum ab utraque simul ΒΑΓ majus est quam quadra-



* Quod rectangulum sub ΔΓ, ΓΕ una cum quadrato rectæ ΒΓ æqualis sit quadrato rectæ ΒΔ sic ostenditur. Dividatur ΔΕ bifariam in Ζ, & jungatur ΒΖ; quæ [per 8. 1.] normalis erit in ΔΕ. Rectangulum sub ΔΓ, ΓΕ una cum quadrato rectæ ΓΖ [per 5. 2.] æquale est quadrato rectæ ΔΖ. Addatur commune quadratum rectæ ΒΖ: erit igitur rectangulum sub ΔΓ, ΓΕ una cum quadratis rectarum ΓΖ, ΒΖ æquale quadratis rectarum ΔΖ, ΒΖ. Sed [per 47.1.] quadrata rectarum ΓΖ, ΒΖ æqualia sunt quadrato rectæ ΒΓ; & quadrata rectarum ΔΖ, ΒΖ quadrato ipsius ΒΔ: Rectangulum igitur sub ΔΓ, ΓΕ una cum quadrato rectæ ΒΓ æquale est quadrato rectæ ΒΔ.



tum rectæ BΓ: igitur quo majus eſt quadratum ab utraque ſimul BAΓ quam quadratum rectæ BΓ, illud ſpatium ad triangulum ABΓ rationem datam habebit.

ALITER.

Conſtruantur eadem quæ prius, & [per 12.1.] agatur à puncto A ad ΓΔ perpendicularis AZ, atque connectatur AE. & quoniam datus eſt angulus BAΓ, cujus [per 5. & 32.1.] dimidius eſt angulus AΓZ; atque etiam datus eſt angulus AZΓ: triangulum igitur AZΓ [per 40. dat.] ſpecie datum eſt: itaque [per 3. def. dat.] ipſius AZ ad ZΓ ratio eſt data. ipſius autem ZΓ ad ΓΔ ratio eſt data, quia hæc illius eſt dupla: ergo [per 8.dat.] ipſius ΔΓ ad AZ data eſt ratio: ideoque [per 1.6.] ejus quod continetur ſub EΓ, ΓΔ ad id quod continetur ſub AZ, ΓE data eſt ratio. verum ejus quod continetur ſub AZ, ΓE ad triangulum AΓE ratio eſt data; etenim [per 41. 1.] trianguli duplum eſt: itaque [per 8. dat.] ejus quod continetur ſub EΓ, ΓΔ ad triangulum AΓE data eſt ratio. eſt autem [per 37. 1.] triangulum AΓE triangulo ABΓ æquale; in eadem enim baſi AΓ conſiſtit utrumque & in iiſdem parallelis AΓ, BE: quare [per 8. dat.] & ejus quod continetur ſub EΓ, ΓΔ ad triangulum ABΓ data eſt ratio. eſt autem [per not. ad præc. demonſtrationem] id quod continetur ſub EΓ, ΓΔ illud ſpatium, quo quadratum utriuſq; ſimul BAΓ excedit quadratum rectæ BΓ: ergo quo quadratum utriuſque ſimul BAΓ excedit quadratum rectæ BΓ, illud ſpatium ad triangulum ABΓ rationem habet datam.



ALITER.

Aut enim angulus ad A rectus eſt, aut acutus, aut obtuſus.

Eſto primum rectus: ergo quadratum utriuſque ſimul BAΓ [per 47.1. & 4.2.] excedit quadratum rectæ BΓ eo quod bis continetur ſub BA AΓ. eſt autem [per 66. dat.] ratio rectanguli ſub BA, AΓ ad triangulum ABΓ data, propter datum angulum BAΓ: quare etiam ratio ejus quod bis continetur ſub BA, AΓ ad triangulum ABΓ data eſt.



Dein ſit angulus BAΓ acutus, & à puncto Γ in rectam AB agatur perpendicularis ΓΔ. quoniam vero triangulum ABΓ acutangulum eſt, & perpendicularis acta eſt ΓΔ; rectarum igitur AB, AΓ quadrata æqualia ſunt [per 13.2.] & quadrato rectæ BΓ & rectangulo quod bis continetur ſub BA, AΔ. addatur commune, ſc. duplum rectangulum ſub BA, AΓ: ergo quadrata rectarum BA, AΓ cum eo quod bis continetur ſub rectis BA, BΓ. ἡ ἄρα μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρας τῆς BAΓ τοῦ ἀπὸ τῆς BΓ, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ ABΓ τρίγωνον λόγον ἔχει δεδομένον.

ΑΛΛΩΣ.

Καταγεγράφθω τὰ αὐτὰ τοῖς πρότερον, καὶ ἤχθω ἀπὸ τοῦ A σημείου τὴν ΓΔ κάθετος ἡ AZ, καὶ ἐπεζεύχθω ἡ AE. ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ BAΓ γωνία, καὶ ἔστιν αὐτῆς ἡμίσεια ἡ ὑπὸ AΓZ, ἔστι δὲ καὶ ἡ ὑπὸ AZΓ δοθεῖσα· δέδοται ἄρα τὸ AZΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς AZ πρὸς τὴν ZΓ δοθείς. τῆς δὲ ZΓ πρὸς τὴν ΓΔ λόγος ἐστὶ δοθείς, διπλασίων γάρ ἐστιν αὐτῆς· καὶ τῆς ΔΓ ἄρα πρὸς τὴν AZ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τοῦ ὑπὸ τῶν EΓ, ΓΔ πρὸς τὸ ὑπὸ τῶν AZ, ΓE λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ τῶν AZ, ΓE πρὸς τὸ AΓE τρίγωνον λόγος ἐστὶ δοθείς, διπλάσιον γάρ ἐστιν αὐτοῦ· καὶ τοῦ ὑπὸ τῶν EΓ, ΓΔ ἄρα πρὸς τὸ AΓE τρίγωνον λόγος ἐστὶ δοθείς. ἴσον δὲ τὸ AΓE τρίγωνον τῷ ABΓ τριγώνῳ, ἐπί τε γὰρ τῆς αὐτῆς βάσεως τῆς AΓ εἰσὶ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς AΓ, BE· καὶ τοῦ ὑπὸ τῶν EΓ, ΓΔ ἄρα πρὸς τὸ ABΓ τρίγωνον λόγος ἐστὶ δοθείς. καὶ ἔστι τὸ ὑπὸ τῶν EΓ, ΓΔ, ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρας τῆς BAΓ τοῦ ἀπὸ τῆς BΓ· ᾧ ἄρα μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρας τῆς BAΓ τοῦ ἀπὸ τῆς BΓ, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ ABΓ τρίγωνον λόγον ἔχει δεδομένον.

ΑΛΛΩΣ.

Ἤτοι γὰρ ἡ πρὸς τῷ A γωνία ὀρθή ἐστιν, ἢ ὀξεῖα, ἢ ἀμβλεῖα.

Ἔστω πρότερον ὀρθή· τὸ ἄρα ἀπὸ συναμφοτέρου τῆς BAΓ τοῦ ἀπὸ τῆς BΓ ὑπερέχει τῷ δὶς ὑπὸ τῶν BA, AΓ. ἔστι δὲ τοῦ ὑπὸ τῶν BA, AΓ πρὸς τὸ ABΓ τρίγωνον λόγος δοθείς, διὰ τὸ δοθεῖσαν εἶναι τὴν BAΓ γωνίαν· τοῦ δὶς ἄρα ὑπὸ τῶν BA, AΓ πρὸς τὸ ABΓ τρίγωνον λόγος ἐστὶ δοθείς.

Ἔστω δὴ ὀξεῖα ἡ ὑπὸ BAΓ, καὶ ἤχθω ἀπὸ τοῦ Γ ἐπὶ τὴν AB κάθετος ἡ ΓΔ. καὶ ἐπεὶ ὀξυγώνιόν ἐστι τὸ ABΓ τρίγωνον, καὶ κάθετος ἦκται ἡ ΓΔ· τὰ ἄρα ἀπὸ τῶν AB, AΓ ἴσα ἐστὶ τῷ τε ἀπὸ τῆς BΓ καὶ τῷ δὶς ὑπὸ τῶν BA, AΔ. κοινὸν προσκείσθω τὸ δὶς ὑπὸ τῶν BA, AΓ· τὰ ἄρα ἀπὸ τῶν BA, AΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν BA, AΓ,

ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ, ἴσον ἐστὶ τῷ τε ἀπὸ τῆς ΒΓ καὶ τῷ δὶς ὑπὸ τῶν ΒΑ, ΑΔ, καὶ ἔτι τῷ δὶς ὑπὸ τῶν ΒΑ, ΑΓ, τουτέστι τῷ δὶς ὑπὸ τῆς ΓΑΔ καὶ τῆς ΒΑ· ὥστε τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ μεῖζον εἶναι τοῦ ἀπὸ τῆς ΒΓ τῷ δὶς ὑπὸ συναμφοτέρου τῆς ΓΑΔ καὶ τῆς ΒΑ. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία, ἐστὶ δὴ καὶ ἡ ὑπὸ ΑΔΓ δοθεῖσα· λοιπὴ ἄρα ἡ πρὸς ΑΓΔ δοθεῖσά ἐστιν· δέδοται ἄρα τὸ ΑΔΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς ΑΔ πρὸς τὴν ΑΓ δοθείς· ὥστε καὶ συναμφοτέρου τῆς ΔΑΓ πρὸς τὴν ΑΓ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ἀπὸ συναμφοτέρου ἄρα τῆς ΔΑΓ καὶ τῆς ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ λόγος ἐστὶ δοθείς· καὶ τοῦ δὶς ἄρα ὑπὸ συναμφοτέρου τῆς ΔΑΓ καὶ τῆς ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ τῶν ΒΑ, ΑΓ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς, διὰ δοθεῖσαν εἶναι τὴν ὑπὸ ΒΑΓ γωνίαν· καὶ τοῦ δὶς ἄρα ὑπὸ συναμφοτέρου τῆς ΔΑΓ καὶ τῆς ΑΒ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς.



Οσα τῶν ἄστρων ἐστὶν ἐπὶ μείζονος κύκλου περιφερείας, ὃς μήτε τέμνῃ τὸν μέγιστον τῶν ἀεὶ φαινομένων κύκλων, μήτε ἐφάπτηται αὐτοῦ· τούτων τὰ πρότερον ἀνατέλλοντα καὶ πρότερον δύνει, καὶ τὰ πρότερον δύνοντα πρότερον ἀνατέλλει.

Theorema IV.

Quæcunque aſtra ſunt in circumferentia maximi circuli, qui neque ſecat maximum ſemper-apparentium circulorum, neque ipſum tangit: horum quæ prius oriuntur prius & occidunt; & quæ prius occidunt, prius etiam & oriuntur.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, καὶ μέγιστος τῶν ἀεὶ φαινομένων ὁ ΑΔΕ, ἕτερος δὲ μέγιστος κύκλος ἔστω ὁ ΓΖΒ, μήτε τέμνων τὸν ΑΔΕ κύκλον μήτε ἐφαπτόμενος αὐτοῦ, καὶ εἰλήφθω ἅπτηται τῆς περιφερείας τοῦ ΓΖΒ κύκλου δύο τυχόντα σημεῖα τὰ Ζ, Η· λέγω ὅτι τῶν Ζ, Η σημείων τὸ πρότερον ἀνατέλλον πρότερον καὶ δύνει, καὶ τὸ πρότερον δῦνον πρότερον καὶ ἀνατέλλει.

SIT in mundo horizon circulus ΑΒΓ; maximus autem ſemper-apparentium ſit circulus ΑΔΕ; alter vero maximus circulus ſit ΓΖΒ, qui neque ſecet circulum ΑΔΕ neque ipſum tangat; ſumantur autem in circumferentia circuli ΓΖΒ duo puncta utcunque, quæ ſint Ζ, Η: dico quod punctorum Ζ, Η quod prius oritur illud quoque prius occidit, & quod prius occidit prius quoque oritur.

Ἐστω ἀνατολικὰ μὲν τὰ Γ μέρη, δυτικὰ δὲ τὰ Β, καὶ ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Ζ, Η σημεῖα, οἱ ΘΚ, ΛΜ, καὶ διὰ μὲν τοῦ Ζ γεγράφθω μέγιστος κύκλος ὁ ΝΖΕ ἐφαπτόμενος δὲ ΑΔΕ κύκλου, ὥστε ἀσύμπτωτον εἶναι τὸ ὑπὸ τὸ Ε ἡμικύκλιον ὡς ἐπὶ τὰ Ζ, Ν μέρη τῷ ὑπὸ τοῦ Α ἡμικυκλίῳ, ὡς ἐπὶ τὰ Α, Κ μέρη. ὁμοία ἄρα ἐστὶν ἡ ΚΖ περιφέρεια τῇ ΜΝ περιφερείᾳ· λοιπὴ ἄρα ἡ ΖΘ περιφέρεια, καὶ ἡ συνεχὴς αὐτῇ ὑπὸ γῆν ἡ μέχρι τοῦ Κ σημείου, ὁμοία ἐστὶ τῇ ΝΛ περιφερείᾳ καὶ τῇ συνεχεῖ αὐτῇ τῇ ὑπὸ γῆν μέχρι τοῦ Μ σημείου. ἐν ἴσῳ ἄρα χρόνῳ τὰ Ζ, Ν σημεῖα τὰς ΖΘ, ΝΛ καὶ τὰς συνεχεῖς αὐτῶν μέχρι τῶν Κ, Μ σημείων διαπορεύεται· τὰ Ζ, Ν ἄρα σημεῖα ἅμα ἀνατέλλει. τὸ δὲ Η τοῦ Ν πρότερον ἀνατέλλει· καὶ τὸ Η ἄρα τοῦ Ζ πρότερον ἀνατέλλει. * λέγω ὅτι καὶ πρότερον δύνει. γεγράφθω διὰ τοῦ Ζ σημείου μέγιστος κύκλος ὁ ΞΖΔ ἐφαπτόμενος τοῦ ΑΔΕ κύκλου, ὥστε ἀσύμπτωτον εἶναι τὸ ὑπὸ τὸ Δ ἡμικύκλιον ὡς ἐπὶ τὰ Δ, Ζ, Ξ μέρη τῷ ὑπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Α, Θ μέρη· ὁμοία ἄρα ἐστὶν ἡ ΖΘ περιφέρεια τῇ ΞΛ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Ζ σημεῖον τὴν ΖΘ περιφέρειαν διαπορεύεται, καὶ τὸ Ξ σημεῖον τὴν ΞΛ περιφέρειαν. τοῦ Ζ ἄρα σημείου ἐπὶ τὸ Θ σημεῖον φερομένου, καὶ τὸ Ξ ἐπὶ τὸ Λ παρέσται· τὰ Ζ, Ξ ἄρα σημεῖα ἅμα δύνει. τὸ δὲ Η τοῦ Ξ πρότερον δύνει· καὶ τὸ Η ἄρα τοῦ Ζ πρότερον δύνει.

Sint vero partes orientales Γ, occidentales Β; ſintque circuli paralleli ΘΚ, ΛΜ in quibus puncta Ζ, Η ferantur; & per punctum Ζ deſcribatur maximus circulus ΝΖΕ, qui circulum ΑΔΕ tangat; ita ut ſemicirculus qui à puncto Ε incipit, qui ad partes Ζ, Ν tendat, non concurrat cum ſemicirculo à puncto Α inchoante, qui ad partes Α, Κ proficiſcatur. circumferentia igitur ΚΖ circumferentiæ ΜΝ ſimilis eſt: quare & reliqua ΖΘ, & quæ huic continua eſt ſub terram circumferentia uſque ad punctum Κ contenta, ſimilis eſt etiam circumferentiæ ΝΛ, & ei quæ huic continua eſt ſub terram uſque ad punctum Μ comprehenſæ. æquali igitur tempore [per 2. Autol.] puncta Ζ, Ν circumferentias ΖΘ, ΝΛ percurrunt, & eas etiam quæ his continuæ ſunt uſque ad puncta Κ, Μ interceptæ: quare puncta Ζ, Ν ſimul oriuntur. verum punctum Η prius oritur quam punctum Ν: quare punctum Η prius oritur quam punctum Ζ. dico quod & prius occidit. deſcribatur per punctum Ζ maximus circulus ΞΖΔ qui circulum ΑΔΕ tangat; ita ut ſemicirculus, qui à puncto Δ incipit, qui ad partes Δ, Ζ, Ξ tendat, non concurrat cum ſemicirculo à puncto Α inchoante, qui ad partes Α, Θ proficiſcatur. circumferentia igitur ΖΘ circumferentiæ ΞΛ ſimilis eſt: æquali igitur tempore punctum Ζ circumferentiam ΖΘ percurrit, ac punctum Ξ circumferentiam ΞΛ pertranſit. cum igitur punctum Ζ ad punctum Θ pervenit, tunc & punctum Ξ ad Λ punctum accedet: puncta igitur Ζ, Ξ ſimul occidunt. ſed Η prius occidit quam punctum Ξ: quare punctum Η prius quoque occidit quam Ζ.



* In Cod. Bodl. ἢ καὶ ὕστερον. λέγω ὅτι τὸ Η ὕστερον δύνει τοῦ Ζ. ἐπεὶ γὰρ ἡ ΚΘ μείζων ἐστὶν ἢ ὁμοία τῇ ΜΛ, ὧν ἡ ΚΖ ὁμοία ἐστὶ τῇ ΜΝ· λοιπὴ ἄρα ἡ ΘΖ μείζων ἐστὶν ἢ ὁμοία τῇ ΝΛ· ὕστερον ἄρα δύνεται τὸ ΝΖ. ἀλλὰ καὶ τὸ Η τοῦ Ν· πολλῷ ἄρα τὸ Η ὕστερον δύνεται τοῦ Ζ.

Similiter etiam demonſtrabitur, quod & ſi prius occidit & prius quoque orietur.

Ομοίως δὴ δείξομεν ὅτι καὶ τὸ πρότερον δύνον πρότερον ἀνατέλλει.

THEOREMA V.

Quæcunque aſtra ſunt in circumferentia maximi circuli, qui maximum eorum qui ſemper apparent ſecat; horum quæ magis ſpectant ad ſeptentriones prius quidem oriuntur, poſterius autem occidunt.

ΘΕΩΡΗΜΑ ε'.

Οσα τῶν ἄστρων ἐστὶν ὅτι μεγίστου κύκλου περιφερείας, ὃς τέμνει τὸν μέγιστον τῶν ἀεὶ φανερῶν· τούτων τὰ πρὸς τοῖς ἄρκτοις ὄντα πρότερον μὲν ἀνατέλλει, ὕστερον δὲ δύνει.

SIT in mundo circulus horizon A B Γ; maximus autem eorum, qui ſemper apparent ſit circulus A Δ E; alter vero circulus maximus ſit Γ Z B, qui ſecet circulum A Δ E; & ſumantur in circumferentia circuli Γ Z B duo puncta utcunque ſumpta, quæ ſint Z, H; ſit autem punctum Z propius ad ſeptentriones: dico quod punctum Z prius oritur quam punctum H, poſterius autem occidit.

Εστω ἐν κόσμῳ ὀρίζων ὁ Α Β Γ, καὶ μέγιστος τῶν ἀεὶ φανερῶν ὁ Α Δ Ε, ἕτερος δὲ μέγιστος κύκλος ἔστω ὁ Γ Ζ Β τέμνων τὸν Α Δ Ε κύκλον, καὶ εἰλήφθω ἐπὶ τῆς περιφερείας τοῦ Γ Ζ Β κύκλου δύο τυχόντα σημεῖα τὰ Ζ, Η, καὶ ἔστω τὸ Ζ σημεῖον πρὸς ταῖς ἄρκτοις· λέγω ὅτι τὸ Ζ σημεῖον τοῦ Η πρότερον μὲν ἀνατέλλει, ὕστερον δὲ δύνει.



Sint partes orientales verſus Γ, occidentales vero ſint verſus B; & ſint circuli paralleli K Θ, M Λ, in quibus puncta Z, H ferantur; & deſcribatur per punctum Z maximus circulus N Z E tangens circulum A Δ E, ita ut ſemicirculus à puncto E inchoans, qui ad partes Z, N proficiſcatur, non concurrat cum ſemicirculo à puncto A inchoante, qui ad partes Γ, K: quare circumferentia Z Γ ſimilis eſt circumferentiæ M N: & reliqua, igitur Z Θ, & quæ huic ſub terram continua eſt uſque ad punctum K intercepta, ſimilis quoque eſt circumferentiæ N Λ, & ei quæ huic etiam continua eſt ſub terram uſque ad punctum M comprehenſa. quare [per 1. Autol.] tempore æquali puncta Z, N circumferentias Z Θ, N Λ, & eas quæ his continuæ ſub terram ſunt uſque ad puncta K, M interceptæ, percurrunt: puncta igitur Z, N ſimul oriuntur. ſed punctum N prius oritur quam punctum H: quare & punctum Z prius oritur etiam quam punctum H. dico quod & poſterius occidit. deſcribatur per punctum Z maximus circulus Ξ Z Δ tangens circulum A Δ E, itaut ſemicirculus à puncto Δ inchoans, qui ad partes Z, Ξ tendat, non concurrat cum ſemicirculo à puncto A proficiſcente, qui ad partes A, B tendat: quare circumferentia Z Θ ſimilis eſt circumferentiæ Ξ Λ. æquali igitur tempore punctum Z circumferentiam Z Θ percurrit atque punctum Ξ ipſam Ξ Λ pertranſit: puncto igitur Z jam pervento ad punctum Θ & ipſum Ξ perveniet ad punctum Λ: quare puncta Z, Ξ ſimul occidunt. ſed punctum H prius occidit quam punctum Ξ: quare punctum H prius quoque occidit quam punctum Z: punctum igitur Z poſterius occidit quam punctum H. ſed demonſtratum eſt quod & prius oritur: quare punctum Z prius quidem oritur quam punctum H, poſterius autem occidit.

Εστω ἀνατολικὰ μὲν τὰ Γ μέρη, δυτικὰ δὲ τὰ Β, καὶ ἔστωσαν κύκλοι παράλληλοι καθ' ὧν φέρεται τὰ Ζ, Η σημεῖα οἱ Κ Θ, Μ Λ, καὶ γεγράφθω διὰ τοῦ Ζ σημείου μέγιστος κύκλος ὁ Ν Ζ Ε ἐφαπτόμενος τοῦ Α Δ Ε κύκλου, ὥστε ἀσύμπλωτον εἶναι τὸ ἀπὸ τοῦ Ε ἡμικύκλιον ὡς ἐπὶ τὰ Ζ, Ν μέρη τῷ ἀπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Γ, Κ μέρη· ὁμοία ἄρα ἐστὶν ἡ Ζ Κ περιφέρεια τῇ Μ Ν περιφερείᾳ· λοιπὴ ἄρα ἡ Ζ Θ περιφέρεια καὶ ἡ συνεχὴς αὐτῇ ἀπὸ γ[ὴ]ς μέχρι τῶν Κ σημείων ὁμοία ἔσται τῇ Ν Λ [περιφερεί]ᾳ καὶ τῇ συνεχεῖ αὐτῇ [τῇ ἀπὸ γ]ῆς μέχρι τῶν Μ σημείων. ἐν ἴσῳ ἄρα χρόνῳ τὰ Ζ, Ν σημεῖα τὰς Ζ Θ, Ν Λ περιφερείας καὶ τὰς συνεχεῖς αὐτῶν μέχρι τῶν Κ, Μ σημείων διαπορεύεται· τὰ Ζ, Ν ἄρα σημεῖα ἅμα ἀνατέλλει. τὸ δὲ Ν τοῦ Η πρότερον ἀνατέλλει· καὶ τὸ Ζ ἄρα τοῦ Η πρότερον ἀνατέλλει. λέγω ὅτι καὶ ὕστερον δύνει. γεγράφθω διὰ τοῦ Ζ σημείου μέγιστος κύκλος ὁ Ξ Ζ Δ ἐφαπτόμενος τοῦ Α Δ Ε κύκλου, ὥστε ἀσύμπλωτον εἶναι τὸ ἀπὸ τοῦ Δ ἡμικύκλιον ὡς ἐπὶ τὰ Ζ, Ξ μέρη τῷ ἀπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Α, Β μέρη· ὁμοία ἄρα ἐστὶν ἡ Ζ Θ περιφέρεια τῇ Ξ Λ περιφερείᾳ. ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Ζ τὴν Ζ Θ περιφέρειαν διαπορεύεται καὶ τὸ Ξ τὴν Ξ Λ· τοῦ Ζ ἄρα ἐπὶ τὸ Θ σημεῖον διαβαίνοντος καὶ τὸ Ξ ἐπὶ τὸ Λ παρέσται· τὰ Ζ, Ξ ἄρα σημεῖα ἅμα δύνει. τὸ δὲ Η τοῦ Ξ πρότερον δύνει· καὶ τὸ Η ἄρα τοῦ Ζ πρότερον δύνει· ὥστε τὸ Ζ τοῦ Η ὕστερον δύνει. ἐδείχθη δὲ καὶ πρότερον ἀνατέλλον· τὸ Ζ ἄρα τοῦ Η πρότερον ἀνατέλλει, ὕστερον δὲ δύνει.

ΘΕΩΡΗΜΑ ς'.

Τὰ ἐπὶ τῷ ζωδιακῷ κύκλῳ ἄστρα τὰ κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει· ὁμοίως δὲ καὶ τὰ ἐπὶ τοῦ ἰσημερινοῦ.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, ὁ δὲ τῶν ζωδίων κύκλος θέσιν ἐχέτω τὴν ΑΒΔ, ἰσημερινὸς δὲ ἔστω ὁ ΕΖ· καὶ ἔστω αὐτῶν τὰ μὲν ὑπὲρ τὴν γῆν τμήματα τὰ ΑΗΒ, ΖΗΕ· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ μὲν Α σημεῖον τῷ Β, τὸ δὲ Ε τῷ Ζ. λέγω ὅτι καὶ τὰ Α, Β σημεῖα καὶ τὰ Ε, Ζ κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει.



Ἔστω ἀνατολικὰ μὲν τὰ Α μέρη, δυτικὰ δὲ τὰ Β, καὶ ἔστωσαν παράλληλοι κύκλοι καθ' οὓς φέρεται τὰ Α, Β σημεῖα οἱ ΑΘ, ΒΓ, ὧν ἔστω τὸ μὲν ΑΘ τμῆμα τὸ ὑπὲρ γῆς, τὸ δὲ ΒΓ τὸ ὑπὸ γῆν. καὶ ἐπεὶ κατὰ διάμετρόν ἐστι τὸ μὲν Α σημεῖον τῷ Β, τὸ δὲ Ε τῷ Ζ· ἴση ἄρα ἐστὶν ἡ ΕΒ περιφέρεια τῇ ΑΖ περιφερείᾳ. ἀλλ' ἡ ΕΒ τῇ ΖΓ ἐστιν ἴση· καὶ ἡ ΑΖ ἄρα τῇ ΖΓ ἴση ἐστίν. ὧν ἔστι μέγιστος τῶν παραλλήλων ὁ ΕΔΖ· ἴσος ἄρα ἐστὶν ὁ ΑΘ κύκλος τῷ ΒΓ κύκλῳ. καὶ ἔστιν αὐτῶν τὰ ἐναλλὰξ τμήματα τὰ ΑΘ, ΒΓ· ἴση ἄρα ἐστὶν ἡ ΑΘ περιφέρεια τῇ ΒΓ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Α σημεῖον τὴν ΑΘ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ παρέσται, καὶ τὸ Β τὴν ΒΓ διελθὸν ἐπὶ τὸ Γ παρέσται. ἀλλὰ τὸ μὲν Α τὴν ΑΘ διελθὸν καὶ ἐπὶ τὸ Θ παραγενόμενον δύνει, τὸ δὲ Β τὴν ΒΓ διελθὸν καὶ ἐπὶ τὸ Γ παραγενόμενον ἀνατέλλει· τὸ Α ἄρα δύνοντος τὸ Β ἀνατέλλει. ὁμοίως δὴ δείξομεν ὅτι καὶ τὸ Α ἀνατέλλοντος τὸ Β δύνει.

ΠΑΛΙΝ, ἐπεὶ ἡμικύκλιόν ἐστιν ἑκάτερον τῶν ΕΗΖ, ΖΔΕ, ἴση ἐστὶν ἡ ΖΔΕ περιφέρεια τῇ ΕΗΖ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Ζ σημεῖον τὴν ΖΗΕ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ε παρέσται, καὶ τὸ Ε τὴν ΕΔΖ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ζ παρέσται. ἀλλὰ τὸ μὲν Ζ τὴν ΖΗΕ διελθὸν καὶ ἐπὶ τὸ Ε παραγενόμενον δύνει, τὸ δὲ Ε τὴν ΕΔΖ διελθὸν καὶ ἐπὶ τὸ Η παραγενόμενον ἀνατέλλει· τοῦ Ζ ἄρα δύνοντος τὸ Ε ἀνατέλλει. ὁμοίως δὴ δείξομεν ὅτι καὶ τοῦ Ζ ἀνατέλλοντος τὸ Ε δύνει. ὁμοίως δὴ καὶ πάντα τὰ ἐπὶ τοῦ ζωδιακοῦ κύκλου ἄστρα, καὶ τὰ ἐπὶ τοῦ ἰσημερινοῦ τὰ κατὰ διάμετρον ὄντα, κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει.

ΑΛΛΩΣ

Ἔστω ὁ ὁρίζων κύκλος ὁ ΑΒΓΔ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΑΔ, χειμερινὸς δὲ ὁ ΒΓ, ὁ δὲ τοῦ ζω-

THEOREMA VI.

Astra quæ in circulo zodiaco per diametrum sunt posita, conjugate & oriuntur & occidunt: similiter quæ in circulo æquinoctiali sita sint.

SIT in mundo horizon ΑΒΓ, zodiacus circulus positionem habeat ΑΒΔ, æquinoctialis vero sit ΕΖ: sintque horum circulorum segmenta quidem ΑΗΒ, ΖΗΕ supra terram; per diametrum igitur est punctum Α puncto Β, & punctum Ε puncto Ζ. dico quod puncta Α, Β & Ε, Ζ conjugate & oriuntur & occidunt.

Sint partes orientales Α, occidentales autem Β puncta; sint vero circuli paralleli ΑΘ, ΒΓ, in quibus puncta Α, Β ferantur; & sit segmentum ΑΘ supra terram, & segmentum ΒΓ sub terram. & quoniam punctum Α per diametrum est puncto Β, & punctum Ε etiam est per diametrum ipsi Ζ: æqualis igitur est circumferentia ΕΒ circumferentiæ ΑΖ. sed circumferentiæ ΖΓ æqualis est etiam ipsa ΕΒ: quare circumferentia ΑΖ æqualis quoque est ipsi ΖΓ. est autem circulus ΕΔΖ maximus parallelorum circulorum: circulus igitur ΑΘ æqualis est circulo ΒΓ. & sunt ipsorum segmenta alternatim sumpta ΑΘ, ΒΓ: quare circumferentia ΑΘ æqualis est circumferentiæ ΒΓ: æquali igitur tempore [per 2. Autol.] punctum Α circumferentiam ΑΘ percurrens pervenit ad punctum Θ, & ipsum Β circumferentiam ΒΓ pertransiens accedit ad punctum Γ. sed Α percurrens circumferentiam ΑΘ & accedens ad punctum Θ occidit; & Β pertransiens circumferentiam ΒΓ & perveniens ad punctum Γ oritur: quare puncto Α occidente & Β oritur. similiter demonstrabitur quod puncto Α oriente Β occidit.

RURSUS, quoniam utraque ΕΗΖ, ΖΔΕ semicirculi circumferentia est; æqualis igitur est ΖΔΕ ipsi ΕΗΖ: quare tempore æquali punctum Ζ percurrens circumferentiam ΖΗΕ pervenit ad punctum Ε; & ipsum Ε pertransiens circumferentiam ΕΔΖ pervenit ad punctum Ζ. sed punctum Ζ circumferentiam ΖΗΕ percurrens, & perveniens ad punctum Ε occidit; & punctum Ε perambulans circumferentiam ΕΔΖ & perveniens ad punctum Η oritur: quare puncto Ζ occidente punctum Ε oritur. similiter jam demonstrabitur quod Ζ oriente Ε occidit. simili etiam modo ostendetur, quod omnia alia puncta, quæcunque sunt vel in zodiaco circulo vel in æquinoctiali per diametrum posita, conjugate & oriuntur & occidunt.

ALITER.

Sit horizon circulus ΑΒΓΔ, tropicus æstivus sit ΑΔ, hybernus autem sit ΒΓ, zodiacus

circulus poſitionem habeat ΔHBZ, ſint autem in ΔHBZ per diametrum puncta Z, H: dico quod puncto Z oriente, punctum H occidit.

Si enim fieri poteſt, non occidat, ſed occidat punctum Θ; & per puncta Z, Θ deſcribantur circuli paralleli OΘN, KZ: quare [ex hyp] puncto Z oriente in puncto K, & punctum Θ occidet in N; & circulus zodiacus poſitionem habebit veluti MNΛK. & quoniam uterque circulus ABΓΔ, MNΛK maximus eſt: punctum igitur K puncto N per diametrum eſt. ſed punctum K idem eſt ac punctum Z, & punctum N idem eſt ac ipſum Θ: quare punctum Z per diametrum eſt puncto Θ. ſed [ex hyp.] & Z per diametrum eſt ipſi H; quod fieri non poteſt: non igitur, puncto Z oriente, punctum H non occidit: occidit igitur.



THEOREMA VII.

Zodiacus circulus in omni horizontis loco, qui eſt inter tropicos circulos, & oritur & occidit; quando maximus ſemper-apparentium non fuerit circulo tropico major: converſioneſque facit contrario tranſmutatus; nam quando cum ortibus ad meridiem ſe tranſmutaverit, tunc ad ſeptentriones cum occaſibus tranſmutatus apparet; at quando contra cum ortibus ad ſeptentriones ſeſe tranſmutaverit, tunc etiam cum occaſibus ad meridiem tranſmutatus apparet: interdum autem alio modo ſupra nos ſtat.

SIT in mundo circulus horizon ABΓΔ, æſtivus tropicus ſit AΔ, hybernus autem ſit BΓ, zodiacus circulus poſitionem habeat veluti ΔEBZ; & ſit ſegmentum ΔEB ſub terram, ſegmentum vero ΔZB ſupra terram. dico quod zodiacus circulus in omni horizontis loco, qui eſt inter tropicos, & oritur & occidit; & quod contrario tranſmutatus converſiones facit: nam quando cum ortibus meridiem verſus ſeſe mutaverit, tunc cum occaſibus ſeptentriones verſus tranſmutatus apparet; quando autem cum ortibus ad ſeptentriones ſe tranſmutaverit, tunc cum occaſibus meridiem verſus etiam tranſmutatus appparet: interdum vero alio modo ſupra nos conſtitutus eſt.

Sint itaque partes orientales Δ, Γ, occidentales autem ſint A, B. quod igitur circulus zodiacus in omni horizontis loco, qui eſt inter tropicos circulos, faciat & ortus & occaſus, jam manifeſtum eſt [per 11. Autol.]; quandoquidem majores circulos tangit quam eos quos horizon tangit.

JAM dico, quod converſiones facit contrario tranſmutatus.

ΘΕΩΡΗΜΑ ζ'.

Ο τῶν ζωδίων κύκλος κατὰ πάντα ὃ ὁρίζοντος τὸν μεταξὺ τόπον τῶν τροπικῶν κύκλων ἀνατέλλει τε καὶ δύνει, ὅταν ὁ μέγιστος τῶν ἀεὶ φαινομένων μὴ μείζων ᾖ τοῦ τροπικοῦ κύκλου, καὶ τροπὰς ποιεῖται ἐναντίως μεθιστάμενος· ὅταν μὲν γὰρ ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίσταται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται· ὅταν δὲ ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίσταται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται· καὶ ἄλλοτε ἄλλως ὑπὲρ ἡμᾶς ἵσταται.

ΕΣτω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΑΔ, χειμερινὸς δὲ τροπικὸς ὁ ΒΓ, ὁ δὲ τοῦ ζωδίου κύκλος θέσιν ἐχέτω τὴν ΔΕΒΖ, καὶ ἔστω τὸ μὲν ΔΕΒ τμῆμα ὑπὸ γῆν, τὸ δὲ ΔΖΒ ὑπὲρ γῆς. λέγω ὅτι ὁ τῶν ζωδίων κύκλος κατὰ πάντα τόπον τὸν ὁρίζοντος μεταξὺ τῶν τροπικῶν ἀνατέλλει καὶ δύνει καὶ τροπὰς ποιεῖται ἐναντίως μεθιστάμενος. ὅταν μὲν γὰρ ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίσῃ, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται· ὅταν δὲ ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίσῃ, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται· καὶ ἄλλοτε ἄλλως ὑπὲρ ἡμᾶς ἵσταται.

ΕΣτω ἀνατολικὰ μὲν τὰ Δ, Γ μέρη, δυτικὰ δὲ τὰ Α, Β. ὅτι μὲν οὖν ὁ τῶν ζωδίων κύκλος κατὰ πάντα τόπον τὸν ὁρίζοντος τὸν μεταξὺ τῶν τροπικῶν ἀνατέλλει τε καὶ δύνει φανερόν· ἐπειδήπερ μειζόνων ἐφάπτεται κύκλων ἢ ὧν ὁ ὁρίζων ἐφάπτεται.

ΛΕΓΩ δὴ ὅτι καὶ τροπὰς ποιεῖται ἐναντίως μεθιστάμενος.

Απο-

Ἀπολήφθωσαν ἴσαι τε καὶ ἀπεναντίον περιφέρειαι αἱ Δ Ε, Ζ Β, καὶ γεγράφθωσαν ὡσαύτως κύκλοι, καθ' ὧν φέρεται τὰ Ε, Ζ σημεῖα, οἱ Η Ε Θ, Κ Ζ Λ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ Δ Ε περιφέρεια τῇ Ζ Β περιφερείᾳ, κοινὴ προσκείσθω ἡ Ε Β· ὅλη ἄρα ἡ Δ Ε Β ὅλῃ τῇ Ε Β Ζ ἐστιν ἴση. ἡμικύκλιον δὲ ἐστὶ τὸ Δ Ε Β· ἡμικύκλιον ἄρα ἐστὶ καὶ τὸ Ε Β Ζ· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ Ε σημεῖον τῷ Ζ σημείῳ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν Ε Δ περιφέρεια τῇ Δ Μ περιφερείᾳ, ἡ δὲ Ζ Β τῇ Β Ν, ἀλλὰ καὶ ἡ Δ Ε τῇ Ζ Β ἴση ἐστίν· καὶ ἡ Δ Μ ἄρα τῇ Β Ν ἐστιν ἴση. κοινὴ προσκείσθω ἡ Μ Β· ὅλη ἄρα ἡ Δ Μ Β ὅλῃ τῇ Μ Β Ν ἐστιν ἴση. ἡμικύκλιον δὲ ἐστὶ τὸ Δ Μ Β· ἡμικύκλιον ἄρα ἐστὶ καὶ τὸ Μ Β Ν· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ Μ σημεῖον τῷ Ν σημείῳ. καὶ ἐπεὶ τὰ τῶν ζωδίων κύκλου τὰ κατὰ διάμετρον ὄντα σημεῖα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει· τὰ Δ ἄρα σημεῖα ἀνατέλλοντος κατὰ τὸ Δ σημεῖον, τὸ κατὰ διάμετρον αὐτῷ τὸ Β δύνει κατὰ τὸ Β σημεῖον, καὶ τὰ Ε ἀνατέλλοντα κατὰ τὸ Θ σημεῖον, τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ζ δύνει κατὰ τὸ Κ σημεῖον, καὶ τὰ Ν σημεῖα ἀνατέλλοντα κατὰ τὸ Λ σημεῖον, τὸ κατὰ διάμετρον αὐτῷ τὸ Μ δύνει κατὰ τὸ Η σημεῖον, καὶ ἔτι τὰ Β σημεῖα ἀνατέλλοντα κατὰ τὸ Γ σημεῖον, τὸ κατὰ διάμετρον αὐτῷ τὸ Δ δύνει κατὰ τὸ Α σημεῖον· ὅταν ἄρα ὁ τῶν ζωδίων κύκλος τῆς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίσῃ, τῇ δύσει πρὸς ἄρκτους μεθιστάμενος φαίνεται. λέγω ὅτι καὶ ὅταν πρὸς ἀνατολαῖς πρὸς ἄρκτους μεθίσῃται, τῇ δύσει πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται. ἀνατειλάντος γὰρ τοῦ Δ Ε Β ἡμικυκλίου ὁ τῶν ζωδίων κύκλος θέσιν ἕξει τὴν Α Ξ Γ. καὶ ὁμοίως δείξομεν ὅτι κατὰ διάμετρόν ἐστι τὸ μὲν Ξ σημεῖον τῷ Ο σημείῳ, τὸ δὲ Ρ τῷ Π. καὶ ἐπεὶ τὰ Γ σημεῖα ἀνατέλλοντος κατὰ τὸ Γ σημεῖον, τὸ κατὰ διάμετρον αὐτῷ τὸ Α δύνει κατὰ τὸ Α σημεῖον, τὰ δὲ Ο σημεῖα ἀνατέλλοντος κατὰ τὸ Λ σημεῖον, τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ξ δύνει κατὰ τὸ Η σημεῖον, τὰ δὲ Π σημεῖα ἀνατέλλοντος κατὰ τὸ Θ σημεῖον, τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ρ δύνει κατὰ τὸ Κ σημεῖον, καὶ ἔτι τὰ Α σημεῖα ἀνατέλλοντος κατὰ τὸ Δ σημεῖον, τὸ κατὰ διάμετρον αὐτῷ τὸ Γ δύνει κατὰ τὸ Β σημεῖον· ὅταν ἄρα ὁ τῶν ζωδίων κύκλος τῆς ἀνατολαῖς πρὸς ἄρκτους μεθίσῃται, τῇ δύσει πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται. ἐδείχθη δὲ ὅτι καὶ ὅταν τῆς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίσῃ, τῇ δύσει πρὸς ἄρκτους μεθιστάμενος φαίνεται. φανερὸν ὅτι ἄλλοτε ἄλλως ὑπὲρ ἡμᾶς ἐστίν. ὅταν μὲν γὰρ ἡ σωματοφὴ τοῦ ζωδιακοῦ κύκλου ἡ ἅπτηται τῆς διχοτομίας τοῦ ὑπὲρ γῆς τμήματος τοῦ θερινοῦ τροπικοῦ, ὀρθότατός ἐστι πρὸς ἡμᾶς· ὅταν δὲ ἅπτηται



Sumantur æquales & oppoſitæ circumferentiæ Δ E, Z B; & deſcribantur paralleli circuli H E Θ, K Z Λ, in quibus puncta E, Z ferantur. quoniam itaque [ex hyp.] circumferentia Δ E æqualis eſt circumferentiæ Z B, communis addatur E B: tota igitur Δ E B toti B B Z æqualis eſt. eſt autem Δ E B ſemicirculi circumferentia: & E B Z igitur ſemicirculi circumferentia eſt: per diametrum igitur eſt punctum E puncto Z. & quoniam circumferentia E Δ æqualis eſt ipſi Δ M, & circumferentia Z B æqualis eſt ipſi B N; ſed & circumferentia Δ E æqualis eſt ipſi Z B: quare & circumferentia Δ M æqualis eſt ipſi B N. communis addatur circumferentia M B: tota igitur Δ M B toti M B N æqualis eſt. eſt autem & circumferentia Δ M B ſemicirculus; & igitur ſemicirculus eſt etiam circumferentia M B N: quare punctum M per diametrum eſt ipſi N poſitum. & quoniam puncta quæ in circulo zodiaco ſunt per diametrum poſita [per 6.Phæn.] conjugate oriuntur & occidunt: puncto igitur Δ oriente in Δ, & punctum B ipſi per diametrum poſitum occidit in puncto B; & puncto E oriente in puncto Θ, & punctum Z quod ipſi eſt per diametrum occidit in puncto K; quinetiam N puncto oriente in puncto Λ, & ipſi per diametrum poſitum M punctum occidit in puncto H; & etiam B oriente in puncto Γ, & ipſi per diametrum Δ occidit in puncto A: quando igitur zodiacus circulus meridiem verſus cum ortibus mutaverit ſeſe, tunc & cum occaſibus ad ſeptentriones tranſmutatus apparet. dico etiam quod quando cum ortibus ad ſeptentriones ſe tranſmutaverit, tunc cum occaſibus ad meridiem tranſmutatus apparet. oriente namque Δ E B ſemicirculo, circulus zodiacus poſitionem habebit A Ξ Γ. & ſimiliter demonſtrabitur quod punctum Ξ per diametrum eſt ipſi O; & punctum P per diametrum eſt puncto Π. & quoniam puncto Γ oriente in Γ puncto, punctum A ipſi Γ per diametrum poſitum occidit in puncto A; & O oriente in puncto Λ, & punctum Ξ ipſi per diametrum poſitum occidit in puncto H; quinetiam Π oriente in Θ puncto, & P punctum ipſi per diametrum poſitum occidit in puncto K; & adhuc puncto A oriente in Δ puncto, punctum Γ per diametrum ipſi A occidit in puncto B: quando igitur zodiacus circulus ſeptentrionem verſus cum ortibus ſe mutaverit, tunc & cum occaſibus meridiem verſus mutatus apparet. eſt autem demonſtratum quod quando ſe mutat meridiem verſus cum ortibus, tunc quoque cum occaſibus ſeptentrionem verſus mutatus apparet. ac manifeſtum quoque eſt quod alio modo atque alio ſe habet ſupra nos. nam quando zodiaci circuli contactus fuerit in medio puncto ſegmenti æſtivi tropici quod eſt ſupra terram, tunc maxime rectus eſt ad nos: quando vero

fuerit

fuerit zodiaci contactus in medio puncto ſegmenti æſtivi tropici quod eſt ſub terram, tunc maxime inclinatus erit ad nos. & ſemper quo longius diſtat contactus à medio puncto, ad nos magis erit inclinatus: ſimiliter autem inclinatus erit, cum contactus ab alterutro medio puncto æquidiſtans fuerit.

τῆς διχοτομίας ὃ ὑπὸ γῆν τμήματος τοῦ θερινοῦ τροπικοῦ, πανεινότατος ἔσται πρὸς ἡμᾶς. καὶ αἰεὶ μᾶλλον πρόσωπον γινόμενος τῆ διχοτομίας τὸ ὑπὲρ γῆς τμήματος τοῦ θερινοῦ τροπικοῦ, μᾶλλον ἔσται κεκλιμένος· ὁμοίως δὲ ἔσται κεκλιμένος, ὅταν ἀπέχον ἑκατέρας τῶν διχοτομιῶν.

THEOREMA VIII.

Zodiaci circuli ſigna in ſegmentis horizontis inæqualibus oriuntur & occidunt: atque in maximis quidem, quæ prope æquinoctialem circulum ſunt; in minoribus, quæ deinceps ſequuntur; in minimis vero, quæ prope tropicos circulos ſunt; denique in ſegmentis æqualibus, quæ ab æquinoctiali circulo æque diſtant.

ΘΕΩΡΗΜΑ η'.

Τὰ ζώδια ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλει τε καὶ δύνει· καὶ ἐν μείζοσι μὲν τὰ πρὸς τῷ ἰσημερινῷ· ἐν ἐλάττοσι δὲ τὰ ἑξῆς τούτων· ἐν ἐλαχίστοις δὲ τὰ πρὸς τοῖς τροπικοῖς· ἐν ἴσοις δὲ τὰ ἴσον ἀπέχοντα τοῦ ἰσημερινοῦ κύκλου.

SIT horizon circulus ΑΒΓΔ, tropici autem ſint ΑΓ, ΒΔ, maximus vero ſemper-apparentium circulorum ſit circulus ΦΧ, zodiacus circulus poſitionem habeat ΓΒ, æquinoctialis circulus ſit ΕΖ; & dividatur utraque circumferentia ΓΗ, ΗΒ in tres partes æquales in punctis Ν, Κ, Π, Τ: dico quod circumferentiæ ΓΝ, ΝΚ, ΚΗ, ΗΠ, ΠΤ, ΤΒ in ſegmentis horizontis inæqualibus & oriuntur & occidunt; & quod circumferentiæ ΚΗ, ΗΠ in maximis; & ΚΝ, ΠΤ in minoribus; in minimis autem circumferentiæ ΓΝ, ΒΤ; at in æqualibus ipſæ ΚΗ, ΗΠ; ΚΝ, ΠΤ; & denique ΝΓ, ΤΒ, & oriuntur & occidunt.



Sint quidem circuli paralleli ΜΞ, ΘΛ, ΟΡ, ΣΥ, in quibus puncta Ν, Κ, Π, Τ ferantur. quoniam igitur [per conſtr.] circumferentiæ ΗΚ, ΚΝ, ΝΓ æquales invicem ſunt; circumferentiæ ΖΛ, ΛΞ, ΞΓ majores invicem ſunt, initium ſumentes à maxima circumferentia ΖΛ. eadem ratione etiam circumferentiæ ΕΘ, ΘΜ, ΜΑ majores quoque ſunt invicem, initium ſumentes à maxima circumferentia ΕΘ: quinetiam & ipſæ ΖΡ, ΡΤ, ΤΔ majores etiam invicem ſunt, initium ſumentes à maxima circumferentia ΖΡ; & denique circumferentiæ ΕΟ, ΟΣ, ΣΒ majores invicem ſunt, initium ſumentes à maxima circumferentia ΕΟ. & quoniam circumferentiæ ΓΝ, ΝΚ, ΚΗ, ΗΠ, ΠΤ, ΤΒ oriuntur quidem in circumferentiis ΓΞ, ΞΛ, ΛΖ, ΖΡ, ΡΥ, ΥΔ; occidunt autem in circumferentiis ΑΜ, ΜΘ, ΘΕ, ΕΟ, ΟΣ, ΣΒ: quare in ſegmentis horizontis inæqualibus dictæ circumferentiæ & oriuntur & occidunt. & quoniam circuli paralleli ΘΛ, ΟΡ maximi cujuſdam circuli ΓΒ circumferentias ΠΗ, ΗΚ æquales auferunt ad ma-

Ἔστω ὁρίζων κύκλος ὁ ΑΒΓΔ, τροπικοὶ δὲ οἱ ΑΓ, ΒΔ, μέγιστος δὲ τῶν ἀεὶ φαινομένων ὁ ΦΧ, ὁ δὲ τῶν ζωδίων κύκλος θέσιν ἐχέτω τὴν ΓΒ, ἰσημερινὸς δὲ κύκλος ὁ ΕΖ, καὶ διῃρήσθω ἑκατέρα τῶν ΓΗ, ΗΒ εἰς τρία ἴσα κατὰ τὰ Ν, Κ, Π, Τ σημεῖα· λέγω ὅτι καὶ αἱ ΓΝ, ΝΚ, ΚΗ, ΗΠ, ΠΤ, ΤΒ περιφέρειαι ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλουσί τε καὶ δύνουσι, καὶ ἐν μείζοσι μὲν αἱ ΚΗ, ΗΠ, ἐν ἐλάττοσι δὲ αἱ ΚΝ, ΠΤ, ἐν ἐλαχίστοις δὲ αἱ ΓΝ, ΒΤ, ἐν ἴσοις δὲ ἡ μὲν ΚΗ τῇ ΗΠ, ἡ δὲ ΚΝ τῇ ΠΤ, ἡ δὲ ΝΓ τῇ ΤΒ.

Ἐπεὶ οὖν φέρεται τὰ Ν, Κ, Π, Τ σημεῖα ταῖς παραλλήλοις κύκλοις οἷς ΜΞ, ΘΛ, ΟΡ, ΣΥ. ἐπεὶ ἴσαι εἰσὶν αἱ ΗΚ, ΚΝ, ΝΓ ἴσαι ἀλλήλαις εἰσίν· αἱ ΖΛ, ΛΞ, ΞΓ ἄρα μείζονές εἰσιν ἀλλήλων ἀρχόμεναι ἀπὸ μείζονος τῆς ΖΛ. διὰ τὰ αὐτὰ δὴ καὶ μὴν ΕΘ, ΘΜ, ΜΑ μείζονές εἰσιν ἀλλήλων ἀρχόμεναι ἀπὸ μείζονος τῆς ΕΘ· καὶ ἔτι αἱ μὲν ΖΡ, ΡΥ, ΥΔ μείζονές εἰσιν ἀλλήλων ἀρχόμεναι ἀπὸ μείζονος τῆς ΖΡ, καὶ ἔτι αἱ ΕΟ, ΟΣ, ΣΒ μείζονές εἰσιν ἀλλήλων ἀρχόμεναι ἀπὸ μείζονος τῆς ΕΟ. καὶ ἐπεὶ αἱ ΓΝ, ΝΚ, ΚΗ, ΗΠ, ΠΤ, ΤΒ ἀνατέλλουσι μὲν κατὰ τὰς ΓΞ, ΞΛ, ΛΖ, ΖΡ, ΡΥ, ΥΔ περιφερείας, δύνουσι δὲ κατὰ τὰς ΑΜ, ΜΘ, ΘΕ, ΕΟ, ΟΣ, ΣΒ· ὥστε ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλουσί τε καὶ δύνουσι. καὶ ἐπεὶ παράλληλοι αἱ ΘΛ, ΟΡ μείζονός τινος κύκλου περιφερείας τῆς ΓΒ τὰς ΠΗ, ΗΚ ἴσας ἀφαιροῦσι πρὸς τὸν μείζονα

τῶν

τῶν ωδαλλήλων τὸν ΕΖ· ἴσος ἄρα ἐστὶν ὁ ΘΛ κύκλος τῷ ΟΡ κύκλῳ. ἐπεὶ ἓν ἐν σφαίρᾳ ἴσοι τε καὶ ωδάλληλοι κύκλοι οἱ ΘΛ, ΟΡ μείζονός τινος κύκλου περιφερείας τὰς ΑΒΓΔ τὰς ΛΖ, ΖΡ ἀφαιροῦσι πρὸς τὸν μέγιστον τῶν ωδαλλήλων τὸν ΕΖ· ἴση ἄρα ἐστὶν ἡ ΛΖ τῇ ΖΡ περιφερεία. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ΞΖ περιφέρεια ἴση ἐστὶ τῇ ΖΥ περιφερείᾳ, ὧν ἡ ΛΖ τῇ ΖΡ ἐστιν ἴση· λοιπὴ ἄρα ἡ ΞΛ λοιπῇ τῇ ΡΥ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΞ ἴση ἐστὶ τῇ ΥΔ.

Τὰ ἄρα ζώδια ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλει τε καὶ δύσει· καὶ ἐν μείζοσι μὲν τὰ πρὸς τῷ ἰσημερινῷ· ἐν ἐλάττοσι δὲ τὰ ἐξῆς τούτων· ἐν ἐλαχίστοις δὲ τὰ πρὸς τοῖς τροπικοῖς· ἐν ἴσοις δὲ τὰ ἴσον ἀπέχοντα τοῦ ἰσημερινοῦ κύκλου.

ximum parallelorum EZ: circulus igitur ΘΛ circulo OP æqualis eſt. quoniam autem in ſphæra æquales & paralleli circuli ΘΛ, OP maximi cujuſdam circuli ABΓΔ circumferentias, ſcilicet ΛZ, ZP auferunt apud maximum parallelorum EZ: æqualis igitur eſt circumferentia ΛZ circumferentiæ ZP. ſimiliter itaque demonſtrabitur quod & circumferentia ΞZ eſt æqualis circumferentiæ ZΥ; ex quibus ipſa ΛZ æqualis eſt ipſi ZP; & reliqua igitur ΞΛ reliquæ PΥ eſt æqualis. eadem ratione & circumferentia ΓΞ æqualis eſt ipſi ΥΔ.

Quare zodiaci circuli ſigna in ſegmentis horizontis inæqualibus & oriuntur & occidunt: & in maximis quidem quæ prope circulum æquinoctialem ſunt; in minoribus, quæ deinceps ſequuntur; in minimis porro, quæ ſunt prope circulos tropicos; denique in ſegmentis æqualibus, quæ ab æquinoctiali circulo æque diſtant.

ΘΕΩΡΗΜΑ θ'.

Τοῦ τῶ ζωδίων κύκλου τὰ ἡμικύκλια, ὅσα μὴ τὰς ἀρχὰς ἔχει ὅπου τοῦ αὐτοῦ τῶ ωδαλλήλων, ἐν ἀνίσοις χρόνοις ἀνατέλλει ὅλα· καὶ ἐν πλείονι μὲν τὸ μετὰ τὸ καρκῖνον, ἐν ἐλάττονι δὲ, τὰ ἐξῆς τούτου· ἐν ἐλαχίστοις δὲ τὸ μετὰ τὸν αἰγόκερω· ὅσα δὲ τὰς ἀρχὰς ἔχει ὅπου τοῦ αὐτοῦ τῶ ωδαλλήλων, ἐν ἴσοις χρόνοις ἀνατέλλει.

THEOREMA IX.

Zodiaci ſemicirculi, quicunque non habent initium ab eodem parallelo circulo, univerſi temporibus oriuntur inæqualibus: ac majori quidem tempore oritur ſemicirculus, qui poſt cancrum eſt; minori vero, qui hunc deinceps ſequuntur: in minimis porro qui eſt poſt capricornum; qui autem initium habent ab eodem parallelo, æqualibus temporibus oriuntur.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΑΔ, χειμερινὸς δὲ τροπικὸς ὁ ΒΓ, ὁ δὲ τῶν ζωδίων κύκλος θέσιν ἐχέτω τὴν ΔΕΒΖ, ἧς ἔστω ἀνατολικὰ μὲν τὰ Γ, Δ μέρη, δυτικὰ δὲ τὰ Α, Β, καὶ τὸ μὲν ΔΕΒ ἔστω τὸ μετὰ τὸν καρκῖνον ἡμικύκλιον, τὸ δὲ ΒΖΔ τὸ μετὰ τὸν αἰγόκερω· λέγω ὅτι τοῦ τῶν ζωδίων κύκλου τὰ ἡμικύκλια, ὅσα μὴ τὰς ἀρχὰς ἔχει ὅπου τοῦ αὐτοῦ τῶ ωδαλλήλων, ἐν ἀνίσοις χρόνοις ἀνατέλλει, καὶ ἐν πλείονι μὲν τὸ μετὰ τὸν καρκῖνον τὸ ΔΕΒ, ἐν ἐλάττονι δὲ τὰ ἐξῆς τούτου, ἐν ἐλαχίστῳ δὲ τὸ μετὰ τὸν αἰγόκερω τὸ ΒΖΔ, ὅσα δὲ τὰς ἀρχὰς ἔχει ὅπου τοῦ αὐτοῦ τῶ ωδαλλήλων ἐν ἴσοις χρόνοις ἀνατέλλει.



SIT in mundo circulus horizon ABΓΔ; tropicus æſtivus ſit AΔ, hybernus autem ſit BΓ; zodiacus vero circulus poſitionem habeat veluti ΔEBZ; ſint autem partes orientales Γ, Δ puncta, occidentales vero A, B; & ſit ſemicirculus ΔEB poſt cancrum, & ſemicirculus BZΔ poſt capricornum: dico quod ſemicirculi zodiaci, quicunque non habent initium ab eodem parallelo circulo, temporibus oriuntur inæqualibus; & majori tempore oritur ſemicirculus quidem ΔEB, qui eſt poſt cancrum; minori vero qui deinceps ſequitur; at minimo tempore oritur ſemicirculus BZΔ, qui eſt poſt capricornum; quicunque porro initium habent ab eodem parallelo circulo, æqualibus temporibus oriuntur.

Ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΔΕ, ΒΖ, καὶ γεγράφθωσαν ωδάλληλοι κύκλοι ΗΕΘΜ, ΚΖΛΝ, καθ' ὧν φέρεσθω τὰ Ε, Ζ σημεῖα, ἧς ἔστω αὐτῶν τὰ ὑπὲρ γῆς τμήματα τὰ ΗΜΘ, ΚΖΛ. ὁμοίως δὴ δείξομεν τοῖς πρότερον ὅτι κατὰ διάμετρόν ἐστι τὸ μὲν Ε σημεῖον τῷ Ζ σημείῳ, τὸ δὲ Μ τῷ

Sumantur æquales circumferentiæ ΔE, BZ; & deſcribantur circuli paralleli HEΘM, KZΛN, in quibus puncta E, Z ferantur; ſintque ſegmenta HMΘ, KZΛ ſupra terram. ſimiliter itaque demonſtrari poterit ac ſuperius [ad 7. Phæn.] quod punctum E per diametrum eſt ipſi Z, & punctum M

per diametrum eſt puncto N. & quoniam circumferentia Α Δ major eſt circumferentia Η Μ Θ quam ut ei ſimilis ſit; & Η Μ Θ major etiam eſt ipſa Κ Ζ Λ quam ut ei ſimilis ſit; quinetiam ipſa Κ Ζ Λ major eſt circumferentia Β Γ quam ut ei ſimilis ſit: majori igitur tempore punctum Δ incipiens à Δ circumferentiam Δ Α percurrit, quam punctum Ε inchoans à puncto Θ circumferentiam Θ Μ Η pertranſit; & punctum Ε incipiens à Θ majori tempore percurrit circumferentiam Θ Μ Η, quam punctum Ν inchoans à puncto Λ circumferentiam Λ Ζ Κ pertranſit; quinetiam punctum Ν inchoans à puncto Λ majori tempore percurrit circumferentiam Λ Ζ Κ, quam Β incipiens à puncto Γ circumferentiam Γ Β pertranſit. ſed quo quidem tempore punctum Δ circumferentiam Δ Α percurrit, hoc ipſo tempore punctum Β per diametrum ipſi Δ poſitum percurrit alternam circumferentiam Β Γ, & oritur quidem ſemicirculus Δ Ε Β; & quo tempore punctum Ε incipiens à puncto Θ circumferentiam Θ Μ Η percurrit, hoc ipſo tempore ipſi per diametrum poſitum Ζ incipiens à puncto Κ circumferentiam Κ Ν Α percurrit, & ſemicirculus Ε Β Ζ oritur; quinetiam quo tempore punctum Ν incipiens à puncto Λ circumferentiam Λ Ζ Κ pertranſit, hoc ipſo tempore & punctum Μ ipſi per diametrum poſitum incipiens à puncto Η circumferentiam Η Ε Θ percurrit, & ſemicirculus Ν Β Μ oritur; & etiam quo tempore punctum Β incipiens à puncto Γ circumferentiam Γ Β pertranſit, hoc ipſo tempore & punctum Δ ipſi per diametrum poſitum, inchoans à puncto Α circumferentiam alternam Α Δ percurrit, & ſemicirculus Β Ζ Δ oritur: quare ſemicirculus Δ Ε Β, qui eſt poſt cancrum, majori tempore oritur; ſed minori tempore oritur Ε Β Ζ quam Δ Ε Β; quinetiam minori tempore Ν Β Μ oritur quam ſemicirculus Ε Β Ζ; at vero minimo tempore oritur ſemicirculus Β Ζ Δ qui eſt poſt capricornum.



Dico etiam quod quicunque initium habent ab eodem circulo parallelo, æqualibus temporibus oriuntur. habeant ſiquidem ſemicirculi Μ Δ Ν, Ε Β Ζ initium ab eodem circulo parallelo: dico quod æqualibus temporibus oriuntur Μ Δ Ν, Ε Β Ζ.

Quoniam enim æquali tempore punctum Μ inchoans à puncto Θ circumferentiam Θ Μ Η percurrit, atque punctum Ε ſimiliter inchoans à puncto Θ circumferentiam Θ Μ Η pertranſit: ſed quo tempore punctum Μ incipiens a puncto Θ circumferentiam Θ Μ Η percurrit, hoc ipſo tempore & punctum Ν ipſi per diametrum poſitum incipiens à puncto Κ circumferentiam Κ Ν Λ pertranſit, & oritur Μ Δ Ν ſemicirculus; & quo tempore punctum Ε inchoans à puncto Θ circumferentiam Θ Μ Η percurrit, hoc ipſo tempore & punctum Ζ ipſi per diametrum poſitum

Ν. Ἐπεὶ μείζων ἐστὶν ἡ ὁμοία ἡ Α Δ περιφέρεια τῆς Η Μ Θ περιφερείας, ἡ δὲ Η Μ Θ τῆς Κ Ζ Λ, ἡ ἄρα Κ Ζ Λ τῆς Β Γ· ἐν πλείονι ἄρα χρόνῳ τὸ Δ σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν Δ Α περιφέρειαν διαπορεύεται, ἤπερ τὸ Ε ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν Θ Μ Η περιφέρειαν διαπορεύεται· καὶ τὸ Ε ἀρξάμενον ἀπὸ τοῦ Θ ἐν πλείονι χρόνῳ τὴν Θ Μ Η περιφέρειαν διαπορεύεται, ἤπερ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν Λ Ζ Κ περιφέρειαν διαπορεύεται· καὶ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Λ ἐν πλείονι χρόνῳ τὴν Λ Ζ Κ περιφέρειαν διαπορεύεται, ἤπερ τὸ Β ἀρξάμενον ἀπὸ τοῦ Γ τὴν Γ Β περιφέρειαν διαπορεύεται. ἀλλὰ ἐν ᾧ μὲν χρόνῳ τὸ Δ σημεῖον τὴν Δ Α περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Β σημεῖον τὴν ἐναλλὰξ τὴν Β Γ περιφέρειαν διαπορεύεται, καὶ ἀνατέλλει τὸ Δ Ε Β ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Ε ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν Θ Μ Η περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Κ τὴν Κ Ν Α περιφέρειαν διαπορεύεται, καὶ ἀνατέλλει τὸ Ε Β Ζ ἡμικύκλιον· ἐν ᾧ δὴ χρόνῳ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν Λ Ζ Κ διαπορεύει, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Η τὴν Η Ε Θ διαπορεύεται, καὶ ἀνατέλλει Ν Β Μ ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Β ἀρξάμενον ἀπὸ τοῦ Γ τὴν Γ Β διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Δ ἀρξάμενον ἀπὸ τοῦ Α τὴν ἐναλλὰξ τὴν Α Δ διαπορεύεται, καὶ ἀνατέλλει τὸ Β Ζ Δ ἡμικύκλιον· ἐν πλείονι ἄρα χρόνῳ ἀνατέλλει τὸ μετὰ τοῦ καρκίνου ἡμικύκλιον τὸ Δ Ε Β, ἐν ἐλάσσονι δὲ τοῦ Δ Ε Β τὸ Ε Β Ζ, καὶ ἔτι τοῦ Ε Β Ζ ἐν ἐλάσσονι τὸ Ν Β Μ, ἐν ἐλαχίστῳ δὲ τὸ μετὰ τοῦ αἰγόκερω τὸ Β Ζ Δ.

Λέγω ὅτι ὅσα τὰς ἀρχὰς ἔχει ἀπὸ τοῦ αὐτοῦ τῶν ἀλλήλων, ἐν ἴσοις χρόνοις ἀνατέλλει. ἐκκείσθω γὰρ τὰ Μ Δ Ν, Ε Β Ζ ἡμικύκλια τὰς ἀρχὰς ἀπὸ τοῦ αὐτοῦ τῶν ἀλλήλων· λέγω ὅτι ἐν ἴσοις χρόνοις ἀνατέλλει τὰ Μ Δ Ν, Ε Β Ζ ἡμικύκλια.

Ἐπεὶ γὰρ ἐν ἴσῳ χρόνῳ τὸ Μ σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν Θ Μ Η περιφέρειαν διαπορεύεται, καὶ τὸ Ε ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν Θ Μ Η περιφέρειαν διαπορεύεται· ἀλλ' ἐν ᾧ μὲν χρόνῳ τὸ Μ σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν Θ Μ Η διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Κ τὴν Κ Ν Λ περιφέρειαν διαπορεύεται, καὶ ἀνατέλλει τὸ Μ Δ Ν ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Ε σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ σημείου τὴν Θ Μ Η περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ζ ἀρξά-

ἀρξάμενον ἀπὸ τοῦ Κ τοῦ ΚΝΛ περιφερείαν διαπερήσεται, καὶ ἀνατελεῖ τὸ ΕΒΖ ἡμικύκλιον· ἐν ἴσῳ ἄρα χρόνῳ ἀνατέλλει καὶ τὰ ΜΔΝ, ΕΒΖ ἡμικύκλια.

incipiens à puncto K circumferentiam KNΛ pertranſit, & ſemicirculus EBZ oritur: quare tempore æquali ſemicirculi MΔN, EBZ oriuntur.

ΘΕΩΡΗΜΑ ι'.

Ἐὰν ᾖ τοῦ ζωδίου κύκλου δύο ἡμικύκλια ἀνατέλλῃ ἐν ἀνίσοις, χρόνοις, κοινόν τινα ἔχοντα περιφέρειαν· καὶ αἱ ἀπεναντίον περιφέρειαι ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσιν, καὶ αἱ αὐταὶ διαφοραὶ ἔσονται τῶν χρόνων ἐν οἷς ταῦτα ἡμικύκλια ἀνατέλλει καὶ αἱ ἀπεναντίον περιφέρειαι. καὶ ἐὰν ᾖ τῶν ζωδίων κύκλου δύο ἡμικύκλια ἐν ἴσοις χρόνοις ἀνατέλλῃ, κοινόν τινα ἔχοντα περιφέρειαν· καὶ αἱ ἀπεναντίον περιφέρειαι ἐν ἴσοις χρόνοις ἀνατέλλουσι.

THEOREMA X.

Si duo zodiaci ſemicirculi, communem aliquam habentes circumferentiam, temporibus inæqualibus oriuntur: & oppoſitæ circumferentiæ temporibus quoque inæqualibus oriuntur; atque eædem erunt temporum differentiæ, in quibus & ſemicirculi & oppoſitæ circumferentiæ oriuntur. quod ſi duo zodiaci ſemicirculi, communem aliquam etiam habentes circumferentiam, temporibus æqualibus oriuntur; & oppoſitæ circumferentiæ temporibus quoque æqualibus oriuntur.

Ἔστω ὁρίζων ὁ ΑΒΔΓ, καὶ θερινὸς μὲν τροπικὸς ὁ ΑΓ, χειμερινὸς δὲ ὁ ΒΔ, ζωδιακὸς δὲ ὁ ΓΒ, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΓΕ, ΒΖ· τὰ ἄρα ΓΕΒ, ΕΒΖ ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατέλλει. λέγω ὅτι καὶ αἱ ΓΕ, ΒΖ περιφέρειαι ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσιν.



Ἐπεὶ γὰρ τὸ ΓΕΒ τοῦ ΕΒΖ ἐν πλείονι χρόνῳ ἀνατέλλει, κοινὸς ἀφῃρήσθω ὁ τοῦ ΕΒ περιφερείας ἀνατολῆς χρόνος· (ἡ γὰρ ΕΒ περιφέρεια ἑαυτῇ αἰεὶ ἐν ἴσῳ χρόνῳ ἀνατέλλει) λοιπὴ ἄρα ἡ ΓΕ τοῦ ΒΖ ἐν πλείονι χρόνῳ ἀνατέλλει. καὶ φανερὸν ὅτι αἱ αὐταὶ διαφοραί εἰσι τῶν χρόνων ἐν οἷς ταῦτα ΓΕΒ, ΕΒΖ ἡμικύκλια ἀνατέλλει, καὶ αἱ ἀπεναντίον περιφέρειαι αἱ ΓΕ, ΒΖ. φανερὸν δὲ ὅτι κἂν ἡμικύκλιά τινα ἐν ἴσοις χρόνοις ἀνατέλλῃ, καὶ αἱ ἀπεναντίον περιφέρειαι ἐν ἴσοις χρόνοις ἀνατέλλουσιν.

SIT horizon circulus ABΔΓ; tropicus æſtivus ſit AΓ, hybernus ſit BΔ; zodiacus circulus ſit ΓB; & ſumantur zodiaci circuli æquales circumferentiæ ΓE, BZ: ſemicirculi igitur ΓEB, EBZ temporibus inæqualibus oriuntur. dico quod & circumferentiæ ΓE, BZ etiam temporibus inæqualibus oriuntur.

Quoniam enim [per 6 Ph.] ΓEB ſemicirculus majori tempore oritur quam ipſe EBZ, commune auferatur tempus quo circumferentia EB oritur: (ſemper ſiquidem ipſa æquali tempore ſibi ipſi oritur) quare & reliqua ΓE majori tempore oritur quam ipſa BZ. ac manifeſtum eſt quod eædem ſunt temporum differentiæ, in quibus & ſemicirculi ΓEB, EBZ oriuntur & circumferentiæ ΓE, BZ. & patet etiam, ſi ſemicirculi quidam æqualibus temporibus oriuntur, quod & in iis circumferentiæ oppoſitæ æqualibus quoque temporibus oriuntur.

ΘΕΩΡΗΜΑ ια'.

Τοῦ τοῦ ζωδίου κύκλου τῶν ἴσων τε καὶ ἀπεναντίον περιφερειῶν ἐν ᾧ χρόνῳ ἡ ἑτέρα ἀνατέλλει, ἡ ἑτέρα δύνει· ἐν ᾧ δὲ ἡ ἑτέρα δύνει, ἡ ἑτέρα ἀνατέλλει.

THEOREMA XI.

Ex æqualibus & oppoſitis zodiaci circumferentiis, quo tempore una oritur, altera occidit: & quo tempore una occidit, altera oritur.

Ἔστω ὁρίζων κύκλος ὁ ΑΒΔΓ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΑΓ, χειμερινὸς δὲ ὁ ΒΔ, ζωδιακὸς δὲ ἔστω ὁ ΓΒ, καὶ ἀπειλήφθωσαν ἐπ' αὐτοῦ ἴσαι καὶ ἀπεναντίον περιφέρειαι αἱ ΓΕ, ΒΖ· λέγω ὅτι ἐν ᾧ χρόνῳ ἡ ΓΕ ἀνατέλλει, ἡ ΒΖ δύνει.

Ἐκκείσθωσαν καθ' ὧν φέρεται τὰ Ε, Ζ σημεῖα παράλληλοι κύκλοι οἱ ΝΘ, ΚΛ. καὶ ἐπεὶ τὰ ὑπὸ τοῦ ζωδιακοῦ ἄστρα κατὰ διάμετρον ὄντα κατὰ

SIT horizon circulus ABΔΓ; æſtivus tropicus ſit AΓ, hybernus autem ſit BΔ, zodiacus circulus ſit ΓB; & ſumantur in zodiaco circulo æquales & oppoſitæ circumferentiæ ΓE, BZ: dico quod quo tempore ΓE circumferentia oritur, & BZ occidit.

Sint autem circuli NΘ, KΛ paralleli in quibus puncta E, Z ferantur. & quoniam [per 6. Phæn.] aſtra, quæ in circulo zodiaco ſunt per

diametrum posita, conjugate & oriuntur & occidunt; quare astro E oriente, & Z occidit: quo igitur tempore astrum E incipiens à puncto E circumferentiam E Θ percurrens pervenit ad punctum Θ, hoc ipso tempore & astrum Z incipiens à puncto Z circumferentiam Z K percurrens pervenit ad punctum K. verum quando E circumferentiam E Θ percurrens pervenit ad punctum Θ, tunc ipsa Γ E oritur; quando vero astrum Z percurrens ipsam Z K pervenit ad K punctum, tunc circumferentia B Z occidit: quare quo tempore Γ E oritur, hoc ipso tempore B Z circumferentia occidit.



συζυγίαν ἀνατέλλει τι καὶ δύνει, τῷ Ε ἄρα ἀνατέλλοντος τὸ Ζ δύνει· ἐν ᾧ ἄρα χρόνῳ τὸ Ε ἀρξάμενον ἀπὸ τοῦ Ε τὴν Ε Θ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ καταγίνεται, ἐν τούτῳ καὶ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Ζ τὴν Ζ Κ διελθὸν ἐπὶ τὸ Κ καταγίνεται. ἀλλ' ὅταν μὲν τὸ Ε τὴν Ε Θ διελθὸν ἐπὶ τὸ Θ καταγίνηται, ἀνατέλλει ἡ ΕΓ· ὅταν δὲ τὸ Ζ τὴν Ζ Κ διελθὸν ἐπὶ τὸ Κ καταγίνηται, δύνει ἡ ΒΖ περιφέρεια· ἐν ᾧ ἄρα χρόνῳ ἡ ΓΕ περιφέρεια ἀνατέλλει, ἐν τούτῳ καὶ ἡ ΒΖ περιφέρεια δύνει.

Dico etiam quod quo tempore circumferentia B Z oritur, & Γ E occidit. circumvolvatur namque zodiacus circulus, ut se habet in secunda figura, & habeat positionem veluti Γ E B Z: dico quod quo tempore circumferentia B Z oritur, & Γ E occidit. quoniam enim punctum Z est per diametrum ipsi E; quare Z oriente, & E occidit: quo igitur tempore Z circumferentiam Z A percurrens pervenit ad punctum A, hoc eodem tempore & E circumferentiam E N percurrens pervenit ad punctum N. sed quando Z circumferentiam Z A percurrens pervenit ad A, tunc ipsa B Z oritur; quando autem E circumferentiam E N percurrens pervenit ad N, tunc ipsa Γ E occidit: quare quo tempore B Z oritur, hoc ipso tempore & Γ E occidit.



Λ Ε Γ Ω ὅτι καὶ ἐν ᾧ χρόνῳ ἡ Β Ζ ἀνατέλλει ἡ Γ Ε δύνει. μετακεκινήθω γὰρ ἐν τῇ δευτέρᾳ πλάσει ὁ τῶν ζῳδίων κύκλος, καὶ ἔστω ἐχέτω τὴν Γ Ε Β Ζ· λέγω ὅτι ἐν ᾧ χρόνῳ ἡ Β Ζ ἀνατέλλει, ἡ Γ Ε δύνει. ἐπεὶ γὰρ κατὰ διάμετρόν ἐστι τὸ Ζ σημεῖον τῷ Ε σημείῳ, τῷ ἄρα Ζ ἀνατέλλοντι τὸ Ε δύνει· ἐν ᾧ ἄρα χρόνῳ τὸ Ζ τὴν Ζ Α περιφέρειαν διελθὸν ἐπὶ τὸ Α καταγίνεται, ἐν τούτῳ ἐστὶ τὸ Ε τὴν Ε Ν περιφέρειαν διελθὸν ἐπὶ τὸ Ν καταγίνεται. ἀλλ' ὅταν μὲν τὸ Ζ τὴν Ζ Α περιφέρειαν διελθὸν ἐπὶ τὸ Α καταγίνῃ, ἀνατέλλει ἡ Β Ζ· ὅταν δὲ τὸ Ε τὴν Ε Ν περιφέρειαν διελθὸν ἐπὶ τὸ Ν καταγίνηται, δύνει ἡ Γ Ε· ἐν ᾧ ἄρα χρόνῳ ἡ Β Ζ περιφέρεια ἀνατέλλει, ἐν τούτῳ ἡ Γ Ε περιφέρεια δύνει.

Theorema XII.

Semicirculi, *qui post cancrum est, circumferentiæ æquales temporibus occidunt inæqualibus; atque in maximis quidem, quæ prope contactus sunt tropicorum; in minoribus, quæ has deinceps sequuntur; in minimis autem, quæ prope æquinoctialem sunt circulum: denique temporibus æqualibus oriuntur & occidunt, quæ ab æquinoctiali circulo æqualiter distant.

Sit horizon circulus A B Γ Δ; maximus autem eorum qui semper apparent sit circulus E Z, æstivus tropicus sit A B, hybernus autem sit Δ Γ; & sit post cancrum semicirculus B Δ supra terram, æquinoctialis circulus sit H Θ, & dividatur utraque circumferentia B Ξ, Ξ Δ in tres partes æquales in punctis K, Λ, M, N: dico quod circumferentiæ B K, K Λ, Λ Ξ, Ξ M, M N, N Δ in inæqualibus

Θεώρημα ιβ'.

Τῶν * μετὰ τὸν καρκῖνον ἡμικυκλίων αἱ ἴσας περιφέρειαι ἐν ἀνίσοις χρόνοις δύνουσιν, καὶ ἐν πλείστοις μὲν αἱ πρὸς ταῖς συναφαῖς τῶν τροπικῶν, ἐν ἐλάσσοσι δὲ αἱ ἑξῆς τούτων, ἐν ἐλαχίστοις δὲ αἱ πρὸς τῷ ἰσημερινῷ· ἐν ἴσοις δὲ αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ κύκλου καὶ δύνουσι καὶ ἀνατέλλουσιν.

Ἔστω ὀρίζων κύκλος ὁ Α Β Γ Δ, μέγιστος δὲ τῶν ἀεὶ φαινομένων ὁ Ε Ζ, καὶ θερινὸς μὲν τροπικὸς ὁ Α Β, χειμερινὸς δὲ τροπικὸς ὁ Δ Γ, καὶ ἔστω τοῦ μετὰ τὸν καρκῖνον ἡμικυκλίου τὸ Β Δ ὑπὲρ γῆς, ἰσημερινὸς δὲ κύκλος ὁ Η Θ, καὶ διῃρήσθω ἑκατέρα τῶν Β Ξ, Ξ Δ εἰς τρία ἴσα κατὰ τὰ Κ, Λ, Μ, Ν σημεῖα· λέγω ὅτι αἱ Β Κ, Κ Λ, Λ Ξ, Ξ Μ, Μ Ν, Ν Δ ἐν ἀνίσοις χρόνοις δύνουσι

* Hoc est incipiens à cancro, & secundum seriem signorum productus.

δυσὶν, καὶ ἐν πλείοσις μὲν αἱ ΒΚ, ΝΔ, ἐν ἐλάττοσι δὲ αἱ ΚΛ, ΜΝ, ἐν ἐλαχίσοις δὲ αἱ ΛΞ, ΞΜ· ἐν ἴσοις δὲ ἡ μὲν ΛΞ τῇ ΞΜ, ἡ δὲ ΚΛ τῇ ΜΝ, ἡ δὲ ΒΚ τῇ ΝΔ.

occidunt temporibus; & quod circumferentiæ ΒΚ, ΝΔ in maximis; in minoribus autem circumferentiæ ΚΛ, ΜΝ; in minimis porro ΛΞ, ΞΜ occidunt temporibus: æqualibus vero temporibus occidunt circumferentiæ quidem ΛΞ, ΞΜ, item ΚΛ, ΜΝ, & denique ipſæ ΒΚ, ΝΔ.

Ἐστωσαν καθ' ὧν φέρεται τὰ Κ, Λ, Μ, Ν σημεῖα ὑποζώμηλοι κύκλοι οἱ ΟΠ, ΡΣ, ΤΤ, ΦΧ, καὶ γεγράφθωσαν ἀπὸ τῶν Κ, Λ σημείων μέγιστοι κύκλοι οἱ Ψα, Ωβ ἐφαπτόμενοι τοῦ ΕΖ κύκλου. καὶ ἐπεὶ αἱ ΒΚ, ΚΛ, ΛΞ ἴσαι ἀλλήλαις εἰσί· αἱ Ηα, αβ, βΞ ἄρα μείζονες εἰσιν ἀλλήλων, ἀρχόμεναι ἀπὸ μεγίστης τῆς Ηα. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ Ηα τῆς αβ, ἀλλ' ἡ μὲν Ηα τῇ ΟΚ ἐστιν ὁμοία, ἡ δὲ αβ τῇ ϛΛ· καὶ ἡ ΟΚ ἄρα τῆς ϛΛ μείζων ἐστὶν ἡ ὁμοία, τῆς δὲ ΛΡ ἐλάσσων ἡ ὁμοία ἡ ΟΚ. ἔστω τῇ ΟΚ ὁμοία ἡ Λγ· ἐν ᾧ ἄρα χρόνῳ τὸ Κ σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Κ τὴν ΚΟ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ο παραγίνεται, ἐν τούτῳ τῷ τὸ Λ ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν Λγ διελθὸν ἐπὶ τὸ γ παρέσται, καὶ ὁ τῶν ζωδίων κύκλος θέσιν ἕξει ὡς τὴν γΟδ. ἐπεὶ οὖν ὁμοία ἐστὶν ἡ ΟΚ περιφέρεια τῇ γΛ, ἀλλὰ ἡ ΟΚ τῇ Ρϛ ὁμοία ἐστί· καὶ ἡ Ρϛ ἄρα τῇ γΛ ἐστιν ὁμοία. καί εἰσι τοῦ αὐτοῦ κύκλου· ἴση ἄρα ἡ Ρϛ τῇ γΛ. κοινὴ προσκείσθω ἡ γϛ· ὅλη ἄρα ἡ Ργ τῇ ϛΛ ἐστιν ἴση. ἡ δὲ ΟΚ τῆς ϛΛ μείζων ἐστὶν ἡ ὁμοία· καὶ ἡ ΟΚ ἄρα τῆς Ργ μείζων ἐστὶν ἡ ὁμοία· ἐν πλείονι ἄρα χρόνῳ τὸ Κ τὴν ΚΟ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ο παραγίνεται, ἤπερ τὸ γ ἀρξάμενον ἀπὸ τοῦ γ τὴν γΡ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ρ παρέσται. ἀλλ' ἐν ᾧ μὲν χρόνῳ τὸ Κ τὴν ΚΟ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ο παραγίνεται, δυσὶν ἡ ΒΚ περιφέρεια, ἐν ᾧ δὲ χρόνῳ τὸ γ τὴν γΡ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ρ παραγίνεται, δυσὶ ἡ ΚΛ περιφέρεια· ἐν πλείονι ἄρα χρόνῳ ἡ ΒΚ δυσίν, ἤπερ ἡ ΚΛ. Πάλιν, ἐπεὶ μείζων ἐστὶν ἡ αβ τῆς βΞ, ἀλλ' ἡ αβ τῇ ϛΛ ἐστιν ὁμοία· καὶ ἡ ϛΛ ἄρα τῆς βΞ μείζων ἐστὶν

Sint itaque paralleli circuli ΟΠ, ΡΣ, ΤΤ, ΦΧ, in quibus puncta Κ, Λ, Μ, Ν ferantur; & deſcribantur per puncta Κ, Λ maximi circuli Ψα, Ωβ, qui tangant circulum ΕΖ. quoniam autem [ex hyp.] circumferentiæ ΒΚ, ΚΛ, ΛΞ æquales ad invicem ſunt: circumferentiæ igitur Ηα, αβ, βΞ majores ſunt invicem, initium ſumentes à maxima circumferentia Ηα. & quoniam circumferentia Ηα major eſt ipſa αβ; ſed & ipſa Ηα ſimilis eſt circumferentiæ ΟΚ, & ipſa etiam αβ ſimilis quoque ipſi ϛΛ: circumferentia igitur ΟΚ major eſt circumferentia ϛΛ quam ut ei ſimilis ſit, circumferentia vero ΟΚ minor eſt ipſa ΛΡ quam ut ei ſimilis ſit. ſit ipſi ΟΚ ſimilis circumferentia Λγ: quo igitur tempore punctum Κ incipiens à puncto Κ & circumferentiam ΚΟ percurrens pervenit ad punctum Ο, hoc ipſo tempore. & punctum Λ inchoans à puncto Λ & circumferentiam Λγ percurrens pervenit ad punctum γ, & circulus zodiacus poſitionem habebit veluti γΟδ. & quoniam circumferentia ΟΚ ſimilis eſt poſita ipſi γΛ; ſed & circumferentia ΟΚ ſimilis eſt ipſi Ρϛ: circumferentia igitur Ρϛ ſimilis eſt etiam ipſi γΛ. & ſunt ejuſdem circuli; quare circumferentia Ρϛ æqualis eſt ipſi γΛ. communis addatur ipſa γϛ: & tota igitur Ργ ipſi ϛΛ æqualis eſt. eſt autem & ΟΚ major ipſa ϛΛ quam ut ei ſimilis ſit: quare & ΟΚ major eſt etiam ipſa Ργ quam ut ei ſimilis ſit: majori igitur tempore punctum Κ circumferentiam ΚΟ percurrens pervenit ad punctum Ο, quam punctum γ incipiens à puncto γ & circumferentiam γΡ pertranſiens pervenit ad punctum Ρ. ſed quo tempore Κ circumferentiam ΚΟ percurrens pervenit ad punctum Ο, ipſa circumferentia ΒΚ occidit; quo vero tempore punctum γ circumferentiam γΡ percurrens pervenit ad punctum Ρ, circumferentia ipſa ΚΛ quoque occidit: quare majori tempore circumferentia ΒΚ occidit quam ipſa ΚΛ. Rurſus, quoniam circumferentia αβ ipſa Βπ major eſt; ſed & ipſa αβ ſimilis eſt circumferentiæ ϛΛ: quare & ϛΛ major eſt circumferen-



Ὅτι δὲ ἡ ΡΛ τῆς ΧΞ μείζων ἐστὶν ἡ ὁμοία δῆλον. ἐπεὶ γὰρ ἐφάπτεται μείζων ἐστὶν ἡ Ηα τῆς αβ, ἡ δὲ αβ τῆς βΞ· μείζων ἄρα καὶ ἡ Ηα τῆς βΞ. κοινῆς προσκειμένης τῆς αβ, μείζων ἐστὶν ἡ Ηβ τῆς αΞ· ὥστε καὶ μείζων ἡ ὁμοία ἡ Ηβ τῇ αΞ. ὁμοία δὲ ἡ Ηβ τῇ ΡΛ· μείζων ἄρα ἡ ὁμοία ἡ ΡΛ τῆς αΞ.

Quod autem circumferentia ΡΛ major ſit ipſa ΧΞ, quam ut ei ſimilis ſit, ita patet: quoniam circumferentia Ηα major eſt ipſa αβ, & αβ major quoque eſt ipſa βΞ: erit & circumferentia Ηα major etiam ipſa βΞ communis addatur αβ: quare Ηβ etiam major eſt ipſa αΞ: major igitur eſt Ηβ circumferentia ipſa αΞ quam ut ei ſimilis ſit. eſt autem ipſa Ηβ ſimilis circumferentiæ ΡΛ: quare & ΡΛ major quoque erit ipſa αΞ quam ut ei ſimilis ſit.

